PAUSANIAE
DESCRIPTIO GRAECIAE.

RECOGNOVIT

IOANNES HENRICUS CHRISTIANUS SCHUBART.

VOLUMEN SECUNDUM.

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLXXV.

PRAEFATIO.

Liber VII.

II, 10. *Κυάρυτος* La; *Κυνάρητος* Bekker. tacite (e PcAg?) eumque secuti SW; *Κυάρητος* edd. rell. MVabLb. Apud Strabonem XIV, 1, 3. p. 939. A. 633. C. 93. Kr. Myuntis conditor nominatur *Κυδρῆλος* (*Κυδρῦλος* cod. F.). *Κυνάρητος* librarii correctura, *Κυάρητος* et *Κυδρῆλος* non nominis, sed scripturae diversitas esse videtur; confusae sunt literae *Λ* et *Δ*, *Λ* et *Τ*. — III, 1. Inter *Κρῆτας* et *Ῥάκιον* e Kayseri coniectura inserui *καί*, in reliquis Bekkerum et Dindorfium secutus; e confusa codicum lectione certi nihil potui eruere. — 6. *ἔκ τε Ἀθηνῶν* e Sylburgii coniectura Bekker. SW. Dind.; praeter necessitatem. — 7. Qui Pausaniae est *Κλέοπος* a Strabone d. l. *Κνῶπος* vocatur; de Erythris Steph. Byz. s. n. *Ἐρυθραί* refert: *ἐκαλεῖτο δὲ Κνωπούπολις ἀπὸ Κνώπου*. — IV, 3. *διαβάντες ἐν τῇ Σάμῳ* habet quidem locum similem quo se tueatur, 3, 15, 3. *ἐλθόντα ἐν Σπάρτῃ*; at si respicimus lectionem variantem ad sequens (§. 4.) *ἐν τῇ Σάμῳ* haud improbabilis videtur coniectura priori loco haec verba correcturae margini adscriptae originem debere. Pro *ἀνεσώσαντο* praestat *ἀνεκτήσαντο*, quo deducit *ἀνεστήσαντο* in La. — V, 9. *ἐπὶ τῆς κεφαλῆς πῖλον* Va SW Dind.; probat Creuzerus; *πόλιν* MR; *πόλον* rell. Deinceps *τοῦ ἔνδον ἀγάλματος* dedi; *ἔνδον τοῦ ἀγάλματος* edd. codd., eodem fortasse sensu; *ἐσελθεῖν* scripsi cum Bekkero SW Dind., e Siebelisii coniectura; *ἐλθεῖν* edd. rell. et codd. Cf. de hoc loco Z. f. A. 1850. p. 112 seqq.; 1849. p. 292. Welcker kleine Schriften III, 516 seqq. — 10. *Πίονος* codd. omnes; eandem formam habemus apud Plinium h. n. 5, 29, 31. (monte Pione), numumque indicavit Kayserus (Mionnet. Supplem. V. 141.), in quo *Πείων Ἐφεσίων*. Salmasius in Exerc. Plin. p. 568. b. *Πρίωνος* proposuit; *Πρίονος* dedit Dind.; idem tamen in Praefatione p. XV. apud Strabonem et Pausaniam scribendum esse *Πρηών* iudi-

cat. Consentit Guil. Dindorfius, qui in Stephano Paris. s. v. *Πρίων* sic: „Straboni 14, 633. [vide Krameri notam ad h. l. p. 94.] *Πρηών* et *Πρηῶνος* ex cod. restituendum pro vulgato *Πριὼν*, *Πριῶνος*. Duplici vitio *Πίονος* apud Pausaniam 7, 5, 10. et monte Pione apud Plinium hist. nat. 5, 29, 31." Nostrum non est inquirere, num sit vitiosa nominis forma, sed num e rationibus criticis ad Pausaniam referri possit. — VI, 2. *τὸ μέγιστον ἐν τοῖς Ἀχαιοῖς* solet Pausanias, ut v. g. hoc ipso segmento *ἐν τοῖς Ἀχαιοῖς ἐδυνάστευον* et 7, 11, 7. Mox *Τέλλις* edd. recc. Vb(?)PcdAgLb; *Τέλις* La; *Τέλλης* edd. antiquae, M. Cf. Keil Analect. epigraph. p. 173. n. 1. Deinde *κτίσασθαι* dedi cum Sylburgio Clav. PcdAgLab; *κτήσασθαι* rell. — 3. Post *ἐπὶ τὴν Ἑλλάδα* (aptius *τὴν ἐπὶ Ἑλλάδα*) delevi *ὁδόν* cum Bekkero MLb; circumscribunt Siebel. SW Dind. — VII, 5. *Φιλίππῳ δὲ τῷ Δημητρίου [τὰ φάρμακα] τόλμημα ἦν ἐλαφρότατον?* Ad praecedens *φαρμάκων* erat lectionis varietas *φάρμακα* (vide SW. not. 21.) quae margini adscripta in hunc locum se insinuavit. Verba circumscripta eiicere voluit Clavierius. — 6. Quod olim proposui *κλοιοὺς τῆς Ἑλλάδος* adhuc placet; cf. Plutarch. Flamin. c. 10. — 7. *Ἑλλήνων καὶ βαρβάρων?* Etiam VIII, 4. *Μακεδόσι καὶ στρατιᾷ* aptius videtur. Hoc loco quid sit *ὅσα — ἐτάξαντο* non satis perspicio; „quaecunque adversus Macedones aut Syrorum exercitum decreverunt." Siebelis; decreta adversus exercitum? Mihi *ὅτι μὲν — ἐτάξαντο* placet. — VIII, 7. Locus vexatus; *ἐν Κυνὸς καλουμέναις Κεφαλαῖς ἐν λόγοις τὸ ἧττον ἠνέγκατο* codd.; *ἐν λόχοις*, *ἐν λόφοις*, *εὐλόγως*, *οὐκ ἀλόγως*, *ἐν ὀλίγοις* (Emperius), *οὐκ ἀδήλως* s. *οὐκ ἀμφιβόλως* (Kayser); deinde *τὸ κρεῖττον*, *τὸ ἴσον* sunt coniecturae virorum doctorum. Polybius, quem auctorem sequi videtur Pausanias, libro 18, 5. sic: *οἱ γὰρ προειρημένοι λόφοι καλοῦνται μὲν Κυνὸς κεφαλαί*; unde Pausaniae restituo *ἐν Κυνὸς καλουμέναις κεφαλαῖς λόφοις*; cf. Plutarch. Flam. c. 8. Steph. Byz. s. n. *Κυνὸς κεφαλαί*. Iam sequens *ἀλλά* negationem flagitat, *οὐ τὸ ἧττον ἠνέγκατο, ἀλλὰ ...*, ita ut *τὸ ἧττον φέρειν* opponatur cladi internecivae; *κατὰ δύναμιν* restitui e vestigiis codicis La (*καὶ δύναμις*); *καὶ δυνάμεσιν* rell.; *οὗτος ὁ Φίλιππος* cancellis circumscripsi, non aeque *αὐτὸς* (cf. Kayser.), quod cum vi quadam positum est; recte, nam dextrum cornu, cui praeerat Philippus, bene rem gessit. Conf. loci supra laudati Polybii et Plutarchi.

Deinceps ἐς τοσοῦτον ἐκρατήθη scribendum videri, recte observat Kayserus; minus necessarium puto quod idem proponit ἀλλ' ἅτε δὴ et ἐξαγαγεῖν, hoc tamen admodum esse probabile non nego. — IX, 1. τὰ circumscripsi; ante πάντα ponit Dind. — 2. Fortasse ἀνελθοῦσιν et segmento 4. ἀνιέναι scribendum; certe hoc Pausaniae de Romam proficiscentibus solemne est. — 3. ἐσελθόντες? — 5. Inter Λακεδαιμονίους et ἐς τὸ Ἀχ. desideratur articulus; vid. c. XI, 3. — 7. Τόδε (τάδε, ταῦτα) μὲν δὴ ἐς τοσοῦτον ἐπράχθη constans Pausaniae usus postulat. — X, 2. Φίλαγρος Palmer. Wesseling. Valcken. Siebel. Dindorf.; Φίλαβρος codd. praeter Vb, in quo Φίλαυρος. Deinceps fortasse cum codd. omnibus scribendum erat δι' Ἀλευάδου. Cum Dindorfio (praef. p. X.) Τιμαγενίδας scribere nolim, quum ex Herodoto 9, 86. ionicam nominis formam hausisse videatur. — 5. ἐκρατήθησαν, παρὰ δὲ τὸ ἔργον χιλίων φονευθέντων scripsi et distinxi; παρὰ τὸ ἔργον dictum est ut παρὰ τὴν μάχην 1, 32, 4.; ἐκρατήθησαν (ἐκράτησαν), παρὰ τὸ ἔργον, χιλίων δὲ φονευθέντων edd. codd. — XI, 3. ὡς ante πλείστας notat Dind. (cf. praef. p. XXVI.); at unde ortum est? Mihi ὡς πλείστας explicatio videtur ad ὁπόσας ἐστὶν οἷός τε. — 6. αὐτὸ εἰργασμένους? — 7. Post Ἀχαιοὺς hiare sermonem post SW. vidit Dind.; quod inter σφισιν et Ἀχαιοῖς edd. habent ἐδέοντο, expunxi cum Bekkero et (praeter Vb) codd. omnibus; circumscribunt SW Dind. — 8. τῆς βοηθείας, quod e margine, sensu inepto, huc irrepsit, notavi et capitis sequentis initio post γενομένης reposui. — XII, 2. εἴγε καὶ Καλλικράτην κ. τ. λ. Locus corruptus; ante ὑπερῆρεν codd. habent μέν; Kayserus alterum Καλλικράτην expungit, et ὁ δὲ ἐλάσσων scribit. Utrumque probo. — 9. σχολαιτέρα Bekker PcLab; σχολιτέρα Ag; σχοτλοτέρα Vb; σχολαιοτέρα rell. — XIII, 4. τῆς Σπάρτης glossema manifestum; τεῖχος εἰς Σπάρτην PcAgLb, quod librarii laevigantes in τῆς Σπάρτης mutarunt; utrumque copulat La ἐς τὸ τεῖχος εἰςπῆρξε τῆς Σπάρτης εἰς Σπάρτην, νῦν δέ. Etiam ὑπῆρξεν ἂν suspectum est; omittunt haec verba MPcAgLb; eorum fragmentum loco alieno servavit La; quare notanda verba, et indicanda lacuna videtur, nisi fortasse ἐσέδραμεν ἂν malis. — 7. μεμενηκυίας δι * * * ας ὅμως scripsi, praeter lacunae signum, cum MPc AgRLab (διᾶς Pc, δι' ἃς MRAgLab); quod ante ὅμως Va, post ὑπερβῆναι Vb inserunt πείθει, id expunxi cum MRPcAgLab. Quomodo explenda lacuna mihi videatur dixi in SW. T. 1, p. XLIII; possis

etiam: *μεμενηκυίας* * * * [*Μεναλκί*]*δας ὅμως τὰς σπονδὰς ὑπερβῆναι*. Praestat certe locum relinquere lacunosum, quam obducere lacunam cum codice interpolato. Cf. Franz in Berl. Jahrbb. f. wiss. Kr. 1841. p. 218. — 8. *ἑαυτοῦ νῷ* uncis circumscribunt Siebel. SW. Dind.; *ἂν* om. PcAg; eius originem aperit La, in quo *ὡς ἀν-* (fin. pag.) *ἀνθρώπων*. — XIV, 1. Lacuna fortasse nihil aliud hausit quam *ὁ δὲ*, ut recte suspicatur Kayserus. — 3. *Θεαρίδαν* e Polyb. 38, 2. Clav. Dind.; *Θερίδαν*, *Θέριδαν*, *Θεριδαν*, *Θερίδα* codd. — XV, 1. *φθάνῃ* Emperius; *φανῇ* edd. codd. — 5. *ἐς τοσοῦτο* e Siebelisii coniectura; *ἐς τοῦτο* edd. codd. — 7. Post *βούλευμα* repetendus videtur articulus. — XVI, 2. *πρὸ* post *σταδίοις* melius abest; mox post *ἐπιτίθενται* expunxi *τοῖς*, ut in SW propositum a Dind. probatum est. — 4. *καταστάντες* Sylb. codd.; *καταστάντα* A; *καταστάντος* Sylb. Bekk. SW. Dind. — 10. *καὶ τὸ ἐν τῇ ὑπερορίᾳ* La; *καὶ τὴν ἐν τῇ ὑπερ.* VabAgLb; *καὶ γῆν ἐν τῇ ὑπερορ.* rell. — XVII, 2. *Λακεδαιμονίοις δὲ Ἐπαμ.* — *τὸ Ἀχαικόν.* Locum corruptum intactum reliqui; *Λακεδαιμονίοις* LaPcd; *Λακεδαιμονίους* rell. Pro *καὶ εὐθὺς* in SW scriptum erat, approbante Creuzero, *κληματίς*, quod a literis non nimis remotum quoad sensum absque controversia est aptissimum: ut ex truncata arbore sarmentum saepe redivivum surgit, ita a Graecia depressa Achaeorum imperium. Sylburgius pro *ἐγένετο* proposuit *ἐσίνετο*, idque recepit Dind.; contra pugnat Kayserus; non mutandum esse *ἐγένετο*, sed inserendum *συμφορά* vel *ὀλέθρου αἴτιος*; utrum sit facilius alii videant. Deinde idem (Z. f. A. 1849. p. 296.) pergit: Weiterhin traf eher Buttmann mit *αὖον* das Rechte, als SW mit *κληματίς*, sowohl darum, weil man, wenn letzteres geschrieben wird, *τὰ πλείονα nicht ohne Zwang* auf das fernerstehende *λελωβημένου* bezieht [quod mihi quidem in mentem non venit; ego copulo *τὰ πλείονα ἀναβλαστάνει*], als auch weil der erste Blick schon zeigt, wie leicht *αὖον* in *εὐθύ* überging. Ne quid dicam de hac facilitate, scire velim qualis nunc sensus his verbis insit; Achaeorum imperium surgere conatur quasi e truncata et maiori ex parte arida arbore? Dindorfius (praef. XXXII seq.) recipit Buttmanni *αὖον* et tres Pausaniae locos profert, in quibus *αὖον ξύλον*, unum in quo *αὖα δέρματα* commemorantur; cui bono id fecerit, non expiscor. Deinde idem *ὅτε* mutat in *ὀψέ*, „quod adverbium non infrequens apud Pausaniam" (sequuntur exempla); rei veritatem non negans argumen-

tationis desidero vim atque valorem. — 5. σταδίους ὅσον τε τριάκοντα ἀπέχουσα SW Dind. (τε τριάκοντα e Bekkeri coniectura); ὅσον τετρακοσίους AgPd; ὅσον τε τριακοσίους AVbPcLa; ὅσον περὶ τριακοσίους MVnLb; ὅσον περὶ τετρακοσίους Va. Deinde ἀπέχουσα Va; ἀπέ τοῦ (sic) M; ἀπέχει rell. Correctura ουσα margini adscripta ad verbum numerale relata cum hoc coaluit et sic duplex vitium procreavit. Mox Σουλπίκιος Palmer. Dind. (cf. Praef. p. XXXII.); ταύτης οὐλιμπικος La; Οὐλυμπικός rell. Cf. Hermann de Graeciae post captam Corinthum conditione p. 7. n. 15. — 7. Ἀχαιοῖς PcdAg; Ἀχαιοῖο MVa Vn Lb; Ἀχαιὸς AVb La. Hoc probat Kayserus, θῆκ' non tertiam, sed primam personam esse existimans. — 9. Ἄττης δὲ ὅστις ἦν — ἐξευρεῖν. Recte in his verbis offendit Kayserus, minus tamen placet quod proponit οὐδὲν ἀναντίρρητον; fortasse ἀπόρρητον ὄν, absolute dictum. De toto hoc loco conferendus est Schneidewin. Philolog. III, 256. — 10. δήσαντες quod propositum erat in SW recepit Schneidewinus, probavit Creuzerus (Mythol. ed. tert. II, 375. n. 1.); δείσαντες edd. codd. „Liber ex setis scientissime complicatis unum plantae iniicit laqueum, parte altera proles cum ipsis genitalibus occupat.“ Arnob. 5, 6. p. 418. Hildebr. — XVIII, 1. Σταδίους ὅσον τε scripsi; σταδ. τε ὅσον τε R; τε ὅσον AMVabPcAgLab; δὲ ὅσον Sylb. edd. recc.; δὲ ὅσον τε SW; idem voluit Bekker. Mox ἐλάχιστόν σφισι δεῖγμα dedi, ἐλάχιστον cum La; ἐλάχιστά σφισι δείγματα rell.; in sequentibus ξενίων ab La omissum cancellis circumscripsi. — 2. καὶ ἀρόσαι διδαχθείς Kayserus; mihi οἰκίσαι πόλιν et ὠνόμασεν Ἀρόην copulanda videntur. — 4. ὑπὸ Τιτάνων Clav. Bekk. Dind.; ὑπὸ Πανῶν edd. rell. et codd. Deinde verba τῆς Μεσάτεως τὸ ὄνομα quid sibi velint, non intelligo; fortasse post κίνδυνον hiat oratio. — 10. Malim τεκμαίρομαι. — 11. καὶ ἐς ἑκκαίδεκα ἕκαστον; male sibi respondent καὶ et ἕκαστον; in La scriptum est ἑκκέδεκα; fortasse in codice antiquo eadem scriptura et correctura superimposita vel margini adscripta procreavit ineptum illud καί. — XIX, 2. ὑπηγάγετο AMVa VnLab et Pc pr. man.; ἐπηγάγετο Bekk. SW Dind. Pc corr. Ag Vb. — XX, 2. στεφάνους μὲν τοὺς ἀσταχύων? — 3. Fortasse ... παρὰ τὸν θρόνον, τῆς τε Ἥρας ἄγαλμα. Τοῦ Ὀλυμπίου πέραν. — 7. κατ' αὐτὴν τὴν διέξοδον scripsi; κατὰ ταύτην τὴν διέξοδον (ἔξοδον) edd. codd.; κατὰ τὴν ταύτῃ ἔξοδον voluit Siebel. — 8. ἐν Μεσόᾳ — ἐκ Μεσόας est error in nomine sive Pausaniae, sive librariorum. De Mesoa Laconica

cogitari nequit. — XXI, 4. ἔργῳ Sylb.; placet. — 6. Τοῦ θεάτρου — ἀγάλματα. Locus vix sanus, fortasse mutilus. Kayserus ante γυναικὸς inserit ὑπό; at plura excidisse videntur. — 9. ἵππων τε δωτῆρα; lectio vitiosa, incerta medela. „Equidem ex h. Hom. 21, 5. corrigam δμητῆρα, quod tantum ad ἵππων pertinet. Substantivum enim quod in altero versu sequeretur, quo referendum esset νεῶν omisisse videtur Pausanias, de priore tantum sollicitus.“ A. Hecker in Schneidewini Philologo III, 488. Idem iam invenit Prellerus (Pauly Real-Encyclopaedie s. n. Neptunus. p. 553. not.); at eiusmodi omissio sensum mancum efficiens apud Pausaniam est sine exemplo. Lobeckii coniecturam ἵππων τ' ἰθυντῆρα (Paralipom. p. 429.) probat Kayserus; non placet versus male sonans. Quidni ἵππων μὲν δωτῆρα? — 10. πεποιημένα Ἄρεως, τὸ δὲ Ἀπόλλωνος· καὶ Ἀφροδίτης, ἧς καὶ πρὸς τῷ λιμένι τέμενος, λίθου scripsi et distinxi ex auctoritate codicis La, nisi quod hic οἷς habet pro ἧς; in SW. scriptum est πεποιημένον e coniectura, οἷς cum La et sine distinctione post Ἀπόλλωνος; secutus est Dind.; πεποιημένον Lb; πεποιημένα edd. codd. rell.; Ἀπόλλωνος· καὶ Ἀφροδίτης καὶ πρὸς τῷ λιμένι δέ ἐστι τέμενος· λίθου Bekk. PacdAg et omisso posteriore καί AMVab; δέ om. AgLa; mutilam esse suam lectionem vidit Bekkerus. — XXII, 2. ἔχων καὶ γένεια dedi cum AMVabAg; ἔχον edd. rell. PcdLab; deinde προσέχονται Schneider. Dind.; προσέχοντες edd. rell. codd. — 4. ἐστιν. Ἑρμοῦ νᾶμα scripsi, viam monstrante Valckenario (Diatr. p. 289.), cuius ingeniosam coniecturam ἐστιν Ἑρμοῦ· Ἑρμοῦ νᾶμα laudant Clav. Siebel. Bekker. Creuzerus (Mythol. III, p. 503. n. 1.); ἔστι τοῦ Ἑρμοῦ· Ἅμα edd. codd. Sic Νυμφῶν νᾶμα Plat. Phaedr. p. 278. B. — 5. Φυλοδαμείας Dind. Ag.; Φιλοδαμείας rell. — 6. Hoc loco et 6, 12, 9. 7, 6, 1. codices omnes sibi constant in Τρίτεια s. Τριτία, ne unus quidem per αι scribit nomen; eadem constantia Τριτία offerunt codices Strabonis 8, 3. p. 112. 113. Kram., Tritia codd. Ciceronis ad Attic. 6, 2. In Τριταία consentiunt libri Herodoti et Polybii. Nomen gentile §. 9. codices omnes scribunt per αι (Τριταεῖς Vb; me quasi nolente impressum est Τριτεεῖς); apud Strabonem Τριτιέων meliores pag. 112. l. 11., Τριταιεῖς ut videtur omnes p. 202. l. 13. Stephanus Byz. habet Τρίτεια et Τριταία, de duabus urbibus. (Cf. Meineke p. 637.) Utraque forma etiam in Achaica urbe in usu fuisse, gentile vero ab altera derivatum praevaluisse videtur, cuius rei plura

obvia sunt exempla. — XXIII, 3. λουομένοις (λουμένοις e Siebel. coniectura dedit Dind.) usque γίνεσθαι a glossatore profecta videntur; dissentit Kayserus. — 4. δὲ om. La; deinceps ἐς τὴν θάλασσαν ἔχει est contra usum Pausaniae, qui ἀνέχει dicere solet; ἀν absorptum a praecedenti terminatione — αν, et margini adscriptum se insinuavit post ἀθάνατον, (ἀθάνατον ἂν PcAgLb.). — 5. Μειγανίτας MVbAgLab; Μαγανίτας Va; Μεγανίτας edd.; nomen vix sanum. — 8. Ὑγίειάν τε ὀνομάζεσθαι; locus corruptus; cf. 2, 11, 6. — 9. καὶ Ἥρας ἐστιν ἄλλος scripsi; ἄλσος edd. codd.; eadem confusio saepius redit, ut 2, 13, 5. 7, 27, 12. 9, 8, 1 et 2, 29, 1. Mox ἢ ἂν — ἔχῃ scripsi cum Dind. e Bekkeri coniectura; ἢ ἀεὶ — ἔχει est alia Bekkeri coniectura; ἢ ἂν — ἔχει edd. codd. Deinde ἔχων dedi cum codd. omnibus (silet Pc); ἔχον edd.; constructio haec frequentata Pausaniae. — 10. κατευθὺ τῆς ἐσόδου malit Siebel. Allg. Lit. Ztg. 1839. p. 264., haud improbabili coniectura. Deinde scripsi θεοὺς — ἐξ Ἄργους e Buttmanni auctoritate cum Bekk. SW. Dind.; nolo tamen negare aptius esse quod a Palmerio et Siebelisio propositum est Ἀργείους; illud propius accedit ad literas; ἐσακτοὺς Kuhn. Clav.; ἐπακτοὺς Porson.; ἐς αὐτοὺς edd. rell. et codd. — 11. ἀνηλωμένα et οὕτω pro αὐτοὺς Kayserus; utrumque placet, nisi fortasse pro αὐτοὺς malis αὐτά. — XXIV, 2. Κόρης — τῆς Δήμητρος scripsi; Κόρη — τῆς Δήμητρος codd.; Κόρῃ — τῇ Δήμητρος edd. — 3. ἄλλα τοιαῦτα codd.; ἄλλα τε καὶ τοιαῦτα edd. — 5. διαμεμένηκε Porson.; διαμεμενηκέναι edd. codd. — 8. Pro ὑφήγησις scribendum fortasse φύσησις. — 10. Vel expungendum est ἢ post μᾶλλον cum Emperio, vel scribendum τέκτονες. — 11. εἰ — ὤθοιτο, locus corruptus; pro εἰ codd. habent εἴη; ὤθοιτο omittunt omnes praeter Vb; silet M. — 12. ἀνακλίνουσαν scripsi, ut §. 10. legitur; ἀνακινοῦσαν edd. codd. — 13. Τοιοῦτό γε — τοῦ ὄρους; locus desperatus, vix sanandus; coniecturis in SW expositis addantur Prelleri et Kayseri conamina in Z. f. A. 1849. p. 299. — XXV, 8. ὁδεύσαντι — κεῖται; Locum conformavi secundum coniecturam meam in SW. T. II. p. XXIV. propositam, a Kaysero probatam; ἐς Βοῦραν ἀποτραπέσθαι· θαλάσσης δὲ ἐν δεξιᾷ καὶ ἡ Βοῦρα ἐν ὄρει κεῖται edd. codd. — 10. μαντεία scripsi; μαντείας edd. codd.; post ἔστιν expunxi λαβεῖν cum VaPcAgLab. — XXVI, 1. Αἰγειρατῶν — Αἰγείρων; nihil mutavi, malim vero Αἰγειρατῶν utroque loco; ubique enim apud Pausaniam est ἡ Αἴγειρα,

contra quem usum constantem nihil proficere videmur si in alio scriptoris cuiusdam loco longe dissito τὰ Αἴγειρα invenitur. Apud Stephanum Byz. s. n. Φενεός pro Αἰγείροις Meinekius suspicatur Αἰγείρᾳ; praeter hunc locum ἐν Αἰγείροις legitur adhuc ap. Plut. Quaest. gr. extr., sed de loco quodam in Megarensium finibus. — 2. Ἰώνων ἔτι οἰκούντων adhuc placet. — 10. Mendum latet in verbis οὐδὲ ἀεὶ ᾤκεῖτο καὶ Ἰώνων ἔτι ἐχόντων; scripserim equidem ὃ δὲ ἀεὶ ᾤκεῖτο. — 14. Genuinum nomen navalis Pellenensium Ἀργοναῦται fuisse videtur, quo deducit nominis interpretatio et scriptura codicis La, Ἄργοστοναῦται et Ἄργοστοναυτας. — XXVII, 5. εἰκόνας ... τὴν μὲν Clav. Siebel. SW. Dind. PdAg; εἰκόνα ... τὴν μὲν edd. rell. MVabLbPc. Quum utraque structura Pausaniae sit familiaris (vid. ad 9, 11, 4.), lectio codicis La vero ambigua, praeferendum est εἰκόνα.

Liber VIII.

I, 1. Μοθώνην La; sic 4, 3, 10. 4, 24, 4. 4, 18, 1. 4, 23, 1. 4, 35, 3; Μεθώνην edd. et rell. codd. — 2. τῆς δὲ γῆς — εἰσιν ὅροι; absurda haec descriptio a Pausania profecta non est; post ἐκβολὰς haec fere excidisse videntur: τὰς ἐκβολὰς (ἡ Τριφυλία ἐστὶ καὶ τῆς Νέδας αἱ ἐκβολαὶ) πρὸς τὴν Μεσσ., s. τὰς ἐκβολὰς (ἡ Τριφυλία ἔχεται καὶ Λέπρεος, τῆς δὲ Νέδας αἱ ἐκβολαὶ) πρὸς τ. Μεσσ. Deinde Δυμαίων εἰσὶν ὅμοροι e Steph. Byz. s. n. Δύμη esse recipiendum recte observat Kayserus; Δυμαῖοί εἰσιν ὅμοροι Siebel. SW. Dind.; Δυμαίων εἰσιν ὅροι codd. et rell. edd. — 5. δερμάτων τῶν οἰῶν placet. — III, 3. Θυραιάτα τούτου codd.; Θυραίου τούτου e cap. 35, 7. Sylburg. edd. recc.; variat nominis forma. — 7. ἐσορῶντα codd.; correxerunt ex Homero edd. recc.; at cur non correxerunt v. g. 9, 41, 5? Deinde ἀστέρες ἢ ἐπὶ τιμῇ? — IV, 9. Displicet γυνὴ γυμνή; „γυμνὴ, ut quae nuda e mari enataverit" Siebel., quod unde resciverit nescio; mihi γυμνή vel e dittographia, vel ex hac scriptura πεποιημενον (superscr. μένη) γυνή = i. e. πεποιημένη γυνή ortum videtur. — V, 3. Ἀλέᾳ δ' ἀνέθηκεν Ἀθηνᾷ satis speciosa Spengelii (Rhein. Mus. N. F. V, 362.) est coniectura; at cf. A. Hecker. Comment. crit. de Anthol. p. 100. — 6. ἐπὶ τρίτης — γενεᾶς Emperius; placet. Deinceps τε τὰ ἐς scripsi; τε ἐς codd.; τὰ ἐς Clav. Siebel.;

διὰ ἐς Sylb. Dind. — VI, 4. πρὸς μὲν Ὑσιῶν ἡ ὑπὲρ τὸ ὄρος? — VII, 7. δῆλά ἐστιν Ἀλεξάνδρου θάνατος codd.; δῆλός ἐστιν ὁ Ἀλ. θάνατ. Bekker. SW. Dind.; recte Ἀλεξ. θάν. damnat Siebel.; cf. Hall. Lit. Zeit. 1840. p. 751. — 8. Malim τῶν ἐς Γλαῦκον. — VIII, 4. φαίνεται οἰκήσας ἡ Πόλιν (s. Πτόλιν) ὀνομάζουσι? cf. cap. 12, 7. — IX, 2. Ἐπιδώτου καλουμένου scripsi; idem vult Kayserus; Ἐπιδ. καλούμενον edd. codd.. — 5. Ἀντινόην Palmer. Clav. Siebel. coll. cap. 8, 4, 5. (cf. Hall. Lit. Zeit. 1840. p. 751.); Αὐτονόην edd. rell. codd. — 6. καὶ ἄγαλμα ἐλείπετο Goldhag. Clav. Siebel.; ἀγάλματος SW Dind. e coni. Bekkeri; ἀγάλματα codd. — 8. ἔργον ἔχει Sylburg. Valcken. Kayser.; εἶχε edd. codd. — 9. Διομένειαν s. Λεωμένειαν Meineke (Z. f. A. 1845. p. 1067.); Δεομένειαν edd. codd.; καὶ ante Μαντινεῖς expunxerim. — X, 2. οὐ πρόσω ϛ΄ σταδίων A. Schäfer (Rhein. Mus. N. F. V, 61.). Coniectura speciosa, comprobata a Kaysero et Curtio (Peloponn. I, 268. n. 9.), quam tamen neque loci interpretatio postulat, neque rationes criticae suadent, quum apud Pausaniam omnes coniecturae e signis numeralibus derivatae, suspectae sint fidei. — 4. Ὀσογῶα scripsi ex auctoritate titulorum Mylasensium et Strabonis; cf. Böckh. Corp. Inscr. II, p. 476. N. 2693. 2700. Hentzen in Bullet. dell' Inst. archeol. 1849. p. 187. Kramer. ad Strabon. 14. p. 136. Meineke Vind. Strab. p. 226; Ὀγῶα, Ὀγῶα, Ὀγῶνα edd. codd. Mox ἄνεισι καὶ SW. Dind.; damnat Franz. (Berl. Jahrbb. 1841. p. 216.); ἄνεισιν edd. rell. codd. — 7. Ante συγκειμένου expunxi τοῦ cum Bekk. PcAgLa, post hanc vocem αὐτῷ cum AgLa; utrumque uncis notant SW Dind. — 10. ὅτ' ἐς Ἴλιον ἦλθ' Ἀγαπήνωρ. Kayser. — XI, 4. Fortasse: τούτων· ὁ δὲ Φοίζων. Nomen suspectum. — 5. τὰ ἱππικὰ τὸ Ἀθ. Bekker. PcAgLb et ut videtur La; τὰ ἱππ. τῶν Ἀθ. rell. — 6. θάψαντες ἔνθα ἔπεσε καὶ ἀναθέντες εἰκόνα A. Schäfer d. l. p. 61.; accederem si scriptum esset τὴν εἰκόνα. — XII, 1. Verba Ἀρκάδων δὲ ἐν τοῖς δρυμοῖς — φελλὸν ὀνομάζουσιν omnino aliena sunt ab hoc loco; apte collocantur cap. XI, 1. post διὰ τῶν δρυῶν. — 2. ὀνομαζόμενον Ἀλκιμέδοντος Kayser; placet. — XIII, 6. τῶν κατειλεγμένων πόλεων scripsi; ταῖς κατειλεγμέναις πόλεσι edd. codd.; dativus a librario repositus est autumante haec pendere ab ὑπόκειται, quod est contra regionis naturam. Deinde Καφυαί et capitis sequentis segmento primo. Καφυαῖς, Καφυῶν e Sylburgii coniectura scripserunt Siebel. (ed. min.) Bekker. SW.

Dind., pro eo quod codices habent *Καρυαί*. Factum nolim; sed vide quas turbas excitet Curtius in libro suo praestantissimo: „Sylburg hat *Καφυαί* geschrieben, und diese durch keinen vernünftigen Grund (bona verba, quaeso!) gestützte, allen Handschriften fremde (quae omnium coniecturarum indoles esse solet), der Lage der Orte durchaus widersprechende Lesart (in ipsius Curtii carta Caryae situ iusto indicatae non videntur) haben J. Bekker, sowie SW aufgenommen. Die Stelle beweist recht deutlich, wie unmöglich es ist, ohne Kenntniss des Landes den Text des Pausanias kritisch festzustellen." (Peloponn. I, 214. n. 23.). Idem in Indice s. n. Pausanias: „Texteskritik des Pausanias ohne Ortskenntniss unmöglich." Frustra igitur desudarunt omnes qui hucusque in emaculando Pausania operam collocarunt; placeat aliquando viro in his regionibus versato laborem suum bono scriptori dicare; ab eodem exspecto interea interpretationem verborum *ταῖς κατειλεγμέναις πόλεσι*. — XIV, 3. *τὸ ἔλυτρον* Schneider. Siebel. Curtius (Pelop. I, 210. n. 2.); *τὸ* om. edd. codd. — XV, 1. Scribendum puto *καὶ τὰ παρὰ σφίσι*; expungere *τὰ αὐτά* malit Kayser. — 3. *ὑποχθονίους* Kuhn. Clav. Siebel. SW. Dind.; *ἐπιχθονίους* edd. rell. codd. — XVI, 1. *Γερόντειον κατ' αὐτὴν τὴν ὁδόν*? — 3. *χόρῳ Δαιδάλου, ποιηθέντα σοφώτερα οὐ θεασάμενος*? — XVIII, 4. *καὶ αἶξιν*; quid sibi vult *καί*? Fortasse *γυναιξίν*? — 7. Verba *θυσίαις τε ἀπορρήτοις καὶ καθαρμοῖς* hoc loco inepta rectius §. 8. post *τῆς μανίας* collocantur; *ἰάσατο τὴν νόσον ὁ Μελάμπους διά τε ἱκεσιῶν καὶ θυσιῶν τὴν Ἥραν μειλιξάμενος* Pherecydes ap. Schol. Hom. Od. 15, 225. p. 125 Sturz.; *τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη* Apollod. 2, 2 7. ib. Heyne. — XIX, 4. *παρὰ τοῦτον ἡ ὁδός* edd. codd. — XXI, 3. *τὸ δὲ Ἀσκληπιοῦ* Kayser; *τό τε Ἀσκληπιοῦ* edd. codd. — XXII, 6. *δύναιτο ἂν ἀποτετμημένη ποτὲ μοῖρα ἐξ αὐτῶν*? — 8. Pro *τετρακοσίους* Curtius Pelop. I, 216. n. 28. vult *τεσσαράκοντα*. — XXIII, 2. *πεποίηται γῆς χῶμα δι' οὗ ἀπείργεται* Musuri interpolatio videtur; *πεποίηται τῆς γῆς χώματος ἀπείργ.*, *πεπ. γῆς χώματος ἀπείργ.*, *πεπ. τοῦ χώματος ἀπείργ.* (*ἐπείργ.*) codd.; *πεπ. γῆς χῶμα ὃς ἀπείργεται* La (*χῶμα * * ος ἀπείργ.*?). Deinde e codicum vestigiis *Καφυεῦσιν βλάβος* scribendum videtur. Mox *ἀνατείλαντος* codd. omnes, quod dictum est ut *ἀποθανόντος* 3, 12, 3; *ἀνατεῖλαν* e Goldhageni coniectura edd. recc. Cf. etiam 9, 39, 2. — 4. Post *Μενέλαον* expunxi *γάρ*; uncis circumscribunt Bekker.

SW. Dind. — XXIV, 1. τοῦ Ἀρίστα — Νυκτίμου; latent corruptelae in nominibus; παρθρίονος codd. omnes; deinde περιφήτου φρουνυκτίμου s. φρουνυκτίμοῦ s. φρουνηκτίμου codd., ἐνυκτίμου La. Vestigia nominis Πορφυρίωνος inter Περιφήτου et Νυκτίμου deprehendere mihi videor. — 3. Post Ζάκυνθος expunxi γε (τε); pro Σειραίων praestat Σειρῶν. — 7. ἐς τοσοῦτον ὕψους scripsi ex usu Pausaniae; ὕψος edd. codd.; in simili locutione 7, 15, 3. et 9, 31, 7. erratum videtur; illo loco ἐς τοσοῦτο δείματος, hoc ἡλικίας ἐς τοσοῦτο scripserim; fortasse etiam 7, 8, 4. ἐς πλεῖστον ὠμότητος; cf. 8, 28, 3. n. 14. SW. — XXV, 1. Confusa est descriptio geographica; ordine inverso iter fecisse videtur Pausanias. — 2. τὸν καὶ Ἀλοῦντα ὀνομάζ. Bekker SW. Dind.; hic tamen τε malit delere (praef. p. XXII.). — 3. καὶ ante Θέλπουσαν notavi; addidit librarius a μετὰ pendere Θέλπουσαν sibi persuadens. — 4. Ὄγκιος La; οἶκος codd. rell.; Ὄγκος cum Steph. Byz. Palmer. edd. inde a Facio; mox Ὀγκίου AVaPcAgLab; Ὀγκείου MVb; Ὄγκου e Sylburgii coniectura edd. recc.; segmento 10. Ὄγκου codd. edd., quod non mutavi, collatis exemplis similibus, ut Ἴασος, Ἰάσιος, Ἴκαρος, Ἰκάριος, Ἰσμηνός, Ἰσμήνιος, Ὤλενος, Ὠλένιος, al. — 9. εὐαινέτω G. Hermann. ap. Stoll. ad Antimach. p. 54; ἑῶ αἰνετῶ La, Buttm. Bekker. SW. Dind.; variant codd. rell.; πόδας αἰνετῶ Düntzer Ep. Fragm. I, 102. Bergk. in Bullet. dell' Inst. archeol. 1848. p. 140. — 12. Ὅσοι δὲ ἥγηνται deleto seq. ἃ οἱ Porson., quod placet; certe οἱ expungendum post ἅ. — XXIX, 1. Θεαῖς ταῖς μεγάλαις? — 2. Verba Ἐθέλουσι — καλεῖσθαι inepta et ab hoc loco prorsus sunt aliena. — XXX, 3. Οἰνόεις et Οἰνόης scripsi ex emendatione Siebelisii (ad h. l.) et Dindorfii (praef. p. XV.); Σινόεις et Σινόης (συνόεις et συνόης MVa) edd. codd. — XXXI, 3. Ἡρακλέα La; Ἡρακλῆν edd. et rell. codd.; cf. Keil Analect. p. 123. Stephan. Paris. s. n. Ἡρακλῆς. — 6 Ἀφροδίτης γὰρ ἕνεκα dedi; Ἀφρ. γε ἕν. e coniectura in SW. proposita Dind.; idem suspicatur ante Ἀφροδ. excidisse ἐπεὶ (praef. p. XXXIII.); Ἀφροδ. τε ἕν. (εἵν.) edd. rell. codd.; deinde post μὲν delevi γάρ, utpote correcturam loco alieno insertam, cum Clav. Bekk. SW Dind. VabPcdAgLb. Pro ἐς λόγους apte Dind. malit ἐς δόλους. — 7. Ante μεγέθει edd. (inter uncos Dind.) habent ἱερόν; at plura exciderunt. — 9. Πολιάδος, ἐπὶ δ' αὐτῶν τῷ ἑτέρῳ? — XXXII, 2. ἐπίκλησις δὲ scripsi; ἐπίκλησιν δὲ edd. codd. — 5. ἐς ὕστερον nullo alio loco scripsit Pausanias; fortasse ἐς

πλέον ὕστερον. — XXXIV, 3. Nomen excidit ante ὀνομαζόμενον. — XXXV, 3. Vel σταδίοις — ἥξεις vel σταδίους — ἥξεις scribendum videtur. — 5. Σκιάδις scripsi; Σκιάδη La; Σκιά AMVabPcAgLb; Σκιάς Sylb. Clav. Sieb. Bekk. SW. Dind.; deinde Σκιαδίτιδος AM VaPcLab; Σκιάτιδος Sylb. Palmer. edd. recc. Vb (?) Pd; utramque lectionem habet Ag. — 6. ἐν ἀριστερᾷ dedi; ἐς ἀριστερᾷ PcAgLa; ἐς ἀριστερά Dind. VbLb; ἐς ἀριστεράν rell. — 10. ὑπὲρ τούτου Siebel. SW. Dind. PacdLa; ὑπὸ τούτου rell.; litem dirimere potuit Curtius. — XXXVI, 3. ἱερείαις τῆς θεοῦ? — XXXVII, 2. ἐπὶ τὸν τύπον La; ἐπὶ τῶν τύπων codd. rell.; excidisse numerum plures viderunt. — 2. 3. μεγάλης Μητρός. Θεῶν δὲ αὐτὰ τὰ dedi cum SW; μεγάλης Μητρὸς θεῶν. Αὐτὰ δὲ τὰ edd. rell.; μεγ. μητρὸς θεῶν δὲ αὐτὰ τὰ PcLab; δὲ om. MVab; μεγ. μητρὸς καὶ θεῶν δὲ αὐτὰ τὰ Ag. Nunquam μεγάλη μήτηρ θεῶν dixit Pausanias; quae Franzius contra lectionem meam disputavit (Berl. Jahrbb. f. wiss. Kr. 1841. p. 216.) ex usu Pausaniae quodam proprio, ab ipso Pausania non comprobantur; cf. v. g. 8, 31, 5. 7. 10, 35, 4. — 3. σιδήρῳ ἢ κόλλῃ? — 7. τὴν ἀρχήν nullo alio loco apud Pausaniam invenitur. — XXXVIII, 3. ἡ ante ἐν om. La; in rell. codices se insinuavit in hunc locum pronomen ἣ, quod post πηγή exciderat, ubi e coniectura repositum est a Bekkero. — 4. προευξάμενος? Amat Pausanias verba composita cum praepositione πρό. — 5. γένους τῶν ἀπὸ Ἀρκ. Siebel. (cf. Hall. L. Z. E. Bl. 1840. p. 755.); placet. — 6. ἐς τὰς σκιάς; haec verba ab interprete addita videntur. — 11. μέλος ἀπὸ τῆς σύριγγος et genitivus Πανός a vulgari sermone abhorrent; fortasse τὸ τῆς σύριγγος μέλος ἐνταῦθα ὑπὸ Πανὸς εὑρεθῆναι. — XXXIX, 5. ἄγουσι πάντα ἐς τέλος scripsi; ἄγουσιν ἐς πάντα ἐπὶ τέλος edd. codd.; neque ἐς πάντα, neque ἄγειν ἐπὶ τέλος dicit Pausanias; ἐς erat correctura ad ἐπί; cf. 3, 9, 7. 4, 12, 4. 8, 37, 11. — XL, 2. τῶν ἐν τῷ ποδὶ e Siebelisii coniectura; τὸν ἐν τ. ποδ. edd. codd. — XLI, 7. Hoc loco et c. 42, 1, 3. codices meliores habent Ἐλάϊνον; recte fortasse. Articulum ante αὐτῷ expungit Kayserus. — 10. Ἔστι δὲ ὑπὲρ — ἐν Κωτίλῳ. Locus corruptus; nunquam, quantum reminiscor, Pausanias ἐπίκλησις ponit pro ὄνομα; fortasse: . . Ἐπικουρίου Κώτιλον ὀνομαζόμενον· (hoc verbum partim syllaba praecedente absorptum est, partim latet in μεν) · Ἀφροδίτη τέ ἐστιν ἐν Κωτίλῳ ἐπίκλησιν, καὶ αὐτῇ.. — XLII, 7. γενεᾷ Siebel. Bekk. SW. Dind.; γενεαῖς edd.

rell. et codd.; quidam viri docti addunt δύω vel δυσίν. — 9. 10. μνᾶμα ἐν Αἰγίνᾳ? — XLIV, 7. ἱερὸν θεοῦ Ἀφνειοῦ? — XLV, 4. δευτέρῳ Goldhagen, Dind.; ὑστέρῳ edd. codd. — XLVI, 4. Post ἰόντι desideratur aliquid. — 5. τὴν περίμετρον τοῦ μήκους; verba absurda; variat lectio inter παρεχόμενος et περιεχόμενος; praepositio περι (γρ. περι) margini adscripta et deinceps male cum μέτρον copulata turbavit sensum; scribendum τὸ μέτρον τοῦ μήκους παρεχόμενος. — XLVII, 2. Αὔγης εἰκών scripsi; cf. Z. f. A. 1847. p. 292; αὐτῆς εἰκών edd. codd. Mox Χοίρας dedi e correctura Dindorfii (praef. p. II.) et Schneidewini (Gött. gel. Anz. 1848. p. 1276.); χώρας La; χήρας edd. et rell. codd.; eodem modo c. 48, 5. ubi χῶραν La, χώραν Lb, χῆραν MVb, χήραν rell. — 6. Ἡγεμόνην τὴν αὐτήν; verba corrupta; fortasse τὴν ταύτῃ. — XLVIII, 1. καλουμένης Dind. praef. p. XXX; καλούμενος edd. codd. Deinde Κρῖσος Meineke (Z. f. A. 1845 p. 1067.); Κροῖσος edd. codd.; Πυρρίας Dind.; Πυρίας edd. rell. codd. — 2. καὶ ἐν Νεμέᾳ τὰ σέλινα Meineke ad Euphor. p. 114.; καὶ τὰ ἐν Νεμ. σέλ. edd. codd. — 4. αὐτὸν ἐπὶ * * τὸν Λακ. Dind.; αὐτόν. ἐπὶ γὰρ τὸν Λακ. edd. rell.; γὰρ om. LaVb; γὰρ τὸν om. MVaPcAgLb. Deinde §. 5. τὰ ἐπινίκια dedi; τε ἐπιν. edd. recc. codd.; γε edd. antiqq.; [τε] Dind. — 7. Αὔγην ἐν γόνασι Valcken. Jahn archäol. Aufs. p. 49. Welcker kleine Schr. III, 186. Curtius Pelop. I, 272. n. 25. Dind.; αὐτὴν ἐν γόνασι edd. rell. codd. — XLIX, 2. πόλει οἰκῶν μετὰ τὴν scripsi; πόλει μετοικῶν κατὰ τὴν edd. antiqq. codd.; correctura ad κατὰ male adhaesit verbo οἰκῶν; SW. Dind. πόλει μετοικῶν μετὰ τὴν. — 3. τά τε ἄλλα η ψυχὴ κ. τ. ἕ. Desideratur aliquid; ψυχὴ κάλλιστα καὶ μάλιστα πρᾴως coni. Sieb.; ψυχὴ κάλλιστα καὶ πρᾴως coni. Bekk.; fortasse τά τε ἄλλα εὖ ἡ ψυχὴ καὶ μάλιστα πρᾴως. — L, 8. τὸ ἐν Γυθίῳ? — LI, 4. Ubi lacunam indicavi edd. inserunt νικησάντων, quod ignorant codd.; latius patet lacuna; cf. Plutarch. Philop. c. 17. — LII, 3. ἐπὶ τοῦ Πελοποννησίων malim. — 5. τίθεμαι Sylb. edd. recc.; τιθέναι A codd., in quo τιθείην ἂν potius latere videtur. Mox τὸ ἐν Πέρσαις Bekk. SW. Dind.; καὶ ἐν Πέρσαις A codd. praeter La, qui neque τὸ neque καὶ habet. Scriptum fuit ἐν Περσ. (hoc per compendium), quod in καὶ ἐν Πέρσαις resolverunt librarii, quum deberent ἐκ Περσῶν. — 6. τῷ ἐν Τεγέᾳ? In epigrammate aptius fortasse distinctio ponitur post τυράννων; deinde ἀμώμητον scripsi; ἀμαιμύτον La;

ἀμωμήτου edd. et rell. codd. — LIV, 3. *διεξελθών?* — 6. *εἰπεῖν πρὸς αὐτὸν ἃ Ἀθηναῖοι?* La om. *τά.*

Liber IX.

II, 3. *Ἀκταίωνος κοίτην* Bekk. SW. Dind.; *Ἀκτ. καὶ τὴν* MVa PcAgLb; *Ἀκτ. καὶ* sine *τὴν* edd. antiqq. VbLa. Deinde *φασὶ τῇ* edd. antiqq. *φασὶν τῇ* Vb; *φασὶν οἱ τῇ* MPcAgLb; *φασὶν οἱ τὴν* Va; *φάμενοι τῇ* Bekk. SW. Dind.; at *οι* correctura est ad praecedens *καὶ τὴν.* ($\overset{\textit{οι}}{\textit{καιτην}}$; sed correctura in margine.) — III, 7. *κοσμήσαντες* edd. antiqq. et codd. omnes; *κομίσαντες* Sylb. Bekk. SW. Dind. Lacunam indicavi. — 9. *Ὑπὸ* Dind. e coniectura Bekkeri; *ὑπὲρ* edd. codd.; correctura adscripta procreavit [*ὑπο*]*καταβάντι.* Deinde *Σφραγιτίδων* probandum videtur. — IV, 2. *δὲ Ἀδράστου καὶ Ἀργείων* Kayser; idem voluit Dind. praef. p. III.; *δὲ Ἄργους* (*ἄγους* PcAg) *τοῦ καὶ Ἀργείου* MVaPcAg; *δὲ ἄργους οὐ καὶ ἀργίου* Lb; *δὲ Ἀργείων* edd.; *δὲ ἐπὶ*, omissis mediis Vb. — 4. Pro *ἡμίσεα* malim *ἡμίεργα*, ut 1, 40, 4. 9, 2, 1. 9, 39, 4. — V, 8. Lacuna fortasse nihil aliud hausit quam *περί.* — 9. *κατὰ δὲ τὴν τιμωρίαν κ. τ. ἕ.* Verba vix sana; *ἔχει δὲ* sc. *ἡ τιμωρία*; cf. Welcker Ep. Cycl. I, 258. n. 415. — 11. *Οἰδιποδίαν* malim cum Porsono et Markscheffel Fragm. Hesiod. p. 251. 258. Cf. Welcker Ep. Cycl. I, 321. n. 527. — 13. Post *ἄγουσι* expunxi *Ἀργεῖοι* cum codd. omnibus. — 14. *ἀποθανεῖν* om. codd. omnes; Musuri videtur interpolatio. Mox verba *ἐς Καΐκου πεδίον ἐλαύνοντι* locum occuparunt ineptum. Turbas componere mihi videor scribendo *καὶ τὸν Θέρσανδρον ἐς Καΐκου πεδίον ἐλαύνοντα ἀποθανεῖν κατέλαβεν ὑπὸ Τηλέφου.* — VII, 3. *ὁ μετ' ἐκεῖνον*; articulum ego adieci; cf. Plutarch. Pyrrh. c. 6. — VIII, 2. *ἴαμα* Spengel. Kayser; *ἅμα* codd., quod in *μάντευμα* mutant e Siebel. coniectura SW. Dind. — X, 2. *τῶν πυλῶν καὶ ἱερὸν Ἀπόλλωνος?* — XI, 3. *εἰκόνες ἀμυδρότεραι ἤδη*, expunctis *τὰ ἀγάλματα* Kayser; placet. — 4. *ἄγαλμα* codd.; *ἀγάλματα* Siebel. Bekk. SW. Dind.; praeter necessitatem; utraque constructione utitur Pausanias. — 6. *Ἀθηνᾶν καὶ Ἡρακλέα κ. τ. ἕ.* Corruptam codicum dedi lectionem; *τούτου* pro *τύπου* La; fort. *κολοσσοὺς λίθου τοῦ Πεντέλησιν.* — XII, 3. *τοῦ μὲν* La; *τοῦ δὲ* MVabLb; *τοῦ τε* edd. — 4. *Διόνυσον καλέσαι Κάδμον* dedi cum La, ut v. g. *Ἡρακλῆς Μάντικλος* 4, 23, 10. 4, 26, 3. *Ἑρμῆς Αἴπυτος* 8, 47, 4.;

Κάδμιον s. *Καδμεῖον* codd. rell. et edd.; correctura margini adscripta in locum se insinuavit alienum, et in seqq. novas procreavit turbas, ubi *βωμὸν* habent MVaRAgLb; *Κάδμον* LaPcVb et R marg. Reliqua sana sunt. — XIII, 7. *Βακχυλίδης* SW Dind.; *Βακχυλλίδης* La; *Βαγχυλίδης* (sic) Va; *βαγχυλλίδης* Vb; *βραγχυλλίδης* Lb; *Βραγχυλίδης* rell.; *Βραχυλλίδης* voluit Kuhn. idque probarunt Dind. praef. p. II. et Keil Sylloge Inscr. Boeot. p. 48. Idem tamen p. 210. retractat suam sententiam et Plutarchi locum (de genio Socr. 13.) respiciens pronior est ad *Βακχυλίδης*. — 11. *ἐπιφανεστάτη* voluit Siebel.; *ἐπιφανέστατα* edd. codd. — XIV, 2. *ἐς τὴν* notant Siebel. Kayser. — XV, 3. *τῶν Ὀρχομενίων* malim cum Sylburgio. — 4. *Φοιβίαν* e Sylb. coniectura edd.; *Φουβίαν* A codd.; nolim damnare; haud male Westermannus (in Pauly Real-Encycl. s. n. Phoebia) suspicatur urbem *Βουφία* a Stephano Byz. commemoratam et *Φουβίαν* nostram eandem esse; cf. Curtius Pelop. II, 587. n. 66. Ross Reise 56. Pro *στιγμὴν*, probabilis Spengelii est coniectura *συνηγμένοι*. Asteriscum post *στιγμὴν* habet Dind. — 6. In Epigrammate *Θήβης* et *Μεγάλη πόλις* dedi cum Dind. e Sylburgii coniectura; *Θῆβαι* et *μεγάλη πόλις* rell. — XVII, 4. Ubi lacunam indicavi editiones inserunt *περιάψωσι*; idem in Vb invenitur, sed in medio nomine *τιθορεεῦσιν* (sic: *μνήματι τι περιάψωσι θορεεῦσιν*); a reliquis codd. abest. In forma *τιθορεεῦσιν* consentiunt h. l. codd. quod non mutavi in loco corrupto. Cf. Meineke ad Steph. Byz. s. n. *Τιθοραία*. — 6. Dedi corruptam lectionem codicum MVaPcR; *περιτίθοσιν ἥτις οὖν* Ag; *περιτιθόσιν ἥτις ἦν* Lb. Interpolati sic: *περιτυχεῖν αὐτῇ* R marg. edd.; *περιτυχεῖν αὐτὴν* La; *Φῶκον δὲ περιτυχεῖν αὐτῇ τὸν Ὀρυτ.* Vb. — XVIII, 2. *παρέσχον τῶν ἐν* e coniectura; *παρχόντων ἐν* codd.; *παρέχουσι τὸ ἐν* edd. — 3. *μνήματα, τὰ δ' ἐπ'* scripsi et post *δρώμενα* expunxi *ἅ*; *μνήματα καὶ τὰ ἐπ'* VbLa; *καὶ τὰ* om. MVaPcAgLb; *καὶ* om. Clav. Siebel.; *ἃ* om. iidem, cancellis circumscribit Dind. — 6. *Ἀμφιδίκου· καὶ Ἀμφίδικος* Dind. — XIX, 5. *πέφυκεν ἡ γῇ φέρειν ἃ διὰ παντὸς* dedi ex emendatione Spengelii; *πέφυκεν ἡ γέφυρα διὰ παντὸς* MVaPcAgLbR; *πέφυκε γίνεσθαι· ταῦτα δὲ διὰ παντὸς* VbLa et marg. R. edd. — 8. *γῆς κεραμεῖς* non placet; *τέχνης κεραμεῖς* Emperius; fortasse *πάντες κεραμεῖς*. — XXI, 1. *ἐν δὲ τῷ* AgLbPc, quare coll. Strab. 9, 2, 7. p. 618. A. 403. C. 236. Kr. et Stephano Byz. s. n. *Δήλιον* suspicor *ἐν δὲ τῷ* (*ναῷ Ἀπόλλωνός*

τε) καὶ Ἀρτέμιδος .. — 3. τά τε ἐπὶ γῆς? — 6. πείθομαι bis ponendum, et cum omnibus codicibus δὲ ὅτι scribendum est. — XXII, 2. τε om. Va; circumscripsi cum Dind.; deinde ὑπὸ τῷ δένδρῳ... τούτῳ (hoc cum BPcAgLa) scripsi; ὑπὸ τῶν δένδρων... τούτων rell.; τραφῆναι vix sanum. — 6. καὶ Πίνδαρος· (προςτίθησι δὲ Πίνδαρος) ὡς ἐπιλάβοι suspicatur Siebelis; lacunae signum habet SW; id delevit Dind. — 7. ἐπεί τινος πόας vel ἐπεὶ τῆς ἐνταῦθα πόας Siebel. Z. f. A. 1841. p. 508; mihi herbae potius nomen excidisse videtur. — XXIII, 3. ἀπάρχοιντο Siebel. d. l. — 7. Λιμὴν Ulrichs Reisen u. Forschungen in Griechenland I, 233, n. 13. Dind.; λίμνη codd. (λίμνης AgLb) et rell. edd. — XXIV, 5. ὑπερβαλόντι Lb SW. Dind.; propter seq. ὑπὸ δὲ αὐτῷ et καταβάντων restitui ὑπερβάλλοντι cum codd. edd. rell. — XXV, 1. ὡραίου MVaR; πρέου Ag LbPc; πλέου Pd (i. e. ὡραίου, ὡρέου, πρέου, πλέου); πεπείρου VbLa edd. — 3. Post εἶδον edd. habent λίθου ὂν; utramque vocem omittunt MVabAgPcLb; posteriorem LaPa. — 5. καὶ Δήμητρι τὰ δρώμενα malit Siebel.; accedo. — XXVII, 7. ὥςπερ δὴ θεῷ scribendum est. — 8 ἐς Ἰωνίαν vix tolerandum. — XXVIII, 2. Ad αἱ ῥίζαι herbae cuiusdam nomen desidero. — 4. ὑπὸ ἔχεως? — XXIX, 6. ἐν πέτρᾳ μικροῦ σπηλαίου τρόπον malim. — 7. Ἕλλησιν post οἱ δέ correctura videtur quae in locum irrepsit alienum; in proxime sequentibus enim Ἑλλήσιον, Ἑλλήσιον ὄν, Ἑλλήνιον, Ἕλλησιν ὄν (sic) habent codd. — XXX, 1. Post ἀγάλματα addidi articulum; deinde codicum lectionem ὁ μὲν Λυσίππου restitui, quum articulus in sequentibus τὸ δὲ ἄγ... τὸ ὀρθόν indicare videatur, duo Bacchi tantum simulacra sibi opponi; οἱ μὲν Λυσ. Bekk. SW. Dind. e probabili quidem, at non necessaria Sillìgii coniectura. — 2. τοσῶνδε Dind.; τόσων edd. codd. — 8. ἑβδομήκοντα πέντε est contra usum Pausaniae, qui πέντε καὶ ἑβδομήκοντα postulat. — 12. ἤκουσι Emperius; ἔχουσι edd. codd. — XXXI, 5. καὶ om. Bekk. cum Schleiermachero; cancellis circumscribunt SW. Dind.; debet abesse copula propter seq. ἐπονομάζουσιν. — XXXII, 2. οὐ πελαγίῳ Dind. e Bekkeri coniectura; οὐ πλάνῳ VaLbPcAgR; οὐκ ἄνω VbLa, marg. R. edd. rell. — 5. γέγονε καὶ Κορωνείας Siebel. Hall. L. Z. EBl. 1840. p. 756. Z. f. A. 1841, p. 510; γέγονεν ἡ Κορωνείας edd. codd. — 7. εἶλεν αὐτῶν τὰς πλείους e Bekkeri coniectura dedit Dind.; placet. — XXXIV, 1. Ἰτωνίου codd.

omnes; debuit fortasse restitui; cf. ad 8, 25, 4. — 2. καὶ αἴθειν πῦρ Emperius. — 3. ἔργον codd.; ἔριν Valcken. Dind.; possis etiam ἀγῶνα. — 4. καὶ πηγαὶ — εἰκασμέναι; constructio turbata, nomen Πέτρα corruptum. — 9. ποιητῶν scripsi; πολιτῶν edd. codd. — 10. ἡ κώμη τότε ἐκλήθη Siebel. Z. f. A. 1841. p. 510; αἱ κῶμαι τότε ἐκλήθησαν edd. codd. — XXXV, 2. καὶ τὰ παρ' Ἀθηναίοις? — 3. οἵ γε Διονύσου τὸν Ἀπόλλωνα est lectio corrupta codicum ab aliis aliter tentata; cf. SW. ad h. l.; Τεκταῖος, οἱ Μουσηγέτην τὸν Ἀπόλλωνα Kayser; Τεκταῖος, οἵ γε δύο ὁμοῦ τὸν Ἀπόλλωνα Siebel. d. l. p. 510 seq. Prae reliquis placet Bergkii coniectura οἱ τὸν Διονυσόδοτον Ἀπόλλωνα. — 6. ἀγαλμάτων χρυσοῦ Χάριτες AM VabLa Bekk. Dind.; ἀγαλμάτων χρυσῶν Χάριτες Clav. Siebel. SW. PcAgLb. — XXXVII, 5. ἦλθεν ἤδη? — XXXVIII, 1. Lacunam indicavi; seq. πέτρας est accusativus, non genitivus. — 5. Verba πέτραν ἔχον εἴδωλον interpretantur „larva quae saxo insideret;" ideoque in sequentibus πρὸς τῇ πέτρᾳ dederunt Cor. Siebel. SW. Dind.; mihi sensus esse videtur „larva manibus saxum tenens", ut v. g. ἔχων τὸ ξίφος 5, 18, 4. ἔχων μάζας 9, 39, 11. et innumeris aliis in locis; quam ob causam πρὸς πέτρᾳ restitui. Pro εἴ τι ἦν aptius est ὅ τι ἦν. — 9. Chersiae reddidi Μιδείης ex Ag; idem voluit Dind. praef. p. VIII; Μιδείας rell. — XXXIX, 4. Κόρης.. καλουμένη Θήρα Sylb. Siebel. Bekk. SW. VaPcMAgLb; Κόρης.. καλουμένη Θήρας AVb; Κόρης.. καλουμένης Θήρας (Θήρας) Fac. Dind. La; καλουμένης Ἥρας Ulrichs Reisen und Forschungen in Griechenl. I, 177. n. 22; Ἥρας ἐστι καλουμένης Ἡνιόχης Kayser. — 11. τοὺς πόδας post ὀπήν expunxerim; ante ἄνθρωπον additum est ἄν volente Dind. praef. p. XX. — XL, 2. συνες** εται edidi; sic habent LbVn et lacuna latius hiante Ag; συνεσ: ἔσται Pc; συνέσεται MVaR; συνειςῆλθε (συνεσῆλθε) edd. Vb et in marg. VaR; συνῆλθε La. — 9. ἐθέλοντα scripsi; ἐλθόντα edd. codd.; ἑκόντα Emperius.

Liber X.

I, 3. ταῦτα om. MVabLab; silent PcAg; cancellis notat Dind. — 10. Ἀπόλλωνι SW. Dind.; Ἀπόλλωνα codd. et rell. edd.; post hoc nomen expunxi καὶ cum Dind. et τε τὸν scripsi cum Porsono Bekk. Dind.; τότε τὸν codd. et edd. antiqq. — 11. ἐπὶ τῇ γύψῳ coni. Bekk.; receperunt SW. Dind. et sic habet La a pr. m.; ὑπὸ τῇ

γύψῳ AMVaPcAgLb et sine articulo Vb. Vituperat lectionem meam, utpote ab uno tantum codice oblatam Siebelisius (Z. f. A. 1841. p. 511.); ipse ὑπὸ τῆς γύψου edit, quod ne unus quidem habet codex; ἐπὶ genuinum esse probat articulus additus; cf. 7, 22, 7. 10, 13. 3. — II, 4. ἐς τοὺς συλῶντας Dind. e Facii coniectura a Siebel. Bekk. probata; ἐς τοὺς συνόντας codd. edd. — 6. Φαῦλον scripsi; Φάϋλον hoc loco et postea codd.; geminant λ edd. Mox χαλκοῦ edd. antiqq. et codd. Locus difficilis, de quo conferendi Kayserus et Welcker. Kleine Schriften III, 222. Mihi Hippocrates sceletum dedicasse videtur. — 7. (αἰτίαν) ἰδίᾳ dedi cum edd. recc.; fortasse ἰδίᾳ mutandum in αἰτίαν. — III, 2. Στεῖρις scripsi; Στῖρις Dind.; Στίρις Siebel. Bekk.; Στερρὶς edd. rell. MVabAgLb; Στερίς La; cf. ad 10, 35; 8. — 4. Κρανυῶνι Dind.; Κράννωνι Lb; Κράνωνι rell.; 5, 8, 8. literam geminant codd. omnes. — IV, 2. γε expungit Dind. praef. p. XXII. — 5. ἐστιν a librario additum est non animadvertente τὸ ἔπος copulandum esse cum seq. πεποιῆσθαί φασιν. — V, 2. ἡ Ἀθηνᾷ; articulum adiecit Dind. praef. p. XIX. — 4. ἐνταῦθα SW Dind.; possis etiam ταύτῃ; ταυτὰ APc; ταῦτα rell. edd. MVabPad AgLab; deinde ἐστι La; ἔτη Pc; ἔτι edd. et rell. codd.; quod post τριόδου SW Dind. e LaPa inserunt ἐστι omisi cum edd. codd. rell. — 8. εὔμναστος? — 9. παρεσχημένος Sylb. Dind.; παρεσχηματισμένος edd. codd.; deinceps ἀπὸ τοῦ τε Bekk. PcdAgVbLb; ἀπό τε τοῦ rell.; corruptela latere videtur. Cf. Kayser. — 12. Pindari verba sic leguntur apud Galenum (T. III, p. 615. ed. Basil.): Χρυσαῖ αἱ δ' ὀξυμπεραὶ αἱ τοῦ ἄειδον Κληδόνες*), unde Χρύσειαι δ' ὑπὲρ αἰετοῦ ἄειδον Κηληδόνες eruit Cobet (de arte interpretandi p. 128.); Χρύσειαι δ' ἐξ ὑπὲρ αἰετοῦ | Ἄειδον Κηληδόνες Schneidewin. Philolog. 5, 366 seq.; Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ | Ἄειδον Κηληδόνες Bergk. Rhein. Mus. N. F. 8, 147 seq.; Χρύσειαι δ' ὀξὺ παρ' αἰετοῦ | Ἄειδον Κηληδόνες Wieseler. in Schneidew. Philol. 6, 736 seq.; Χρύσειαι δ' ἐξ ὑπερῴου ἄειδον Κηληδόνες edd. Pausaniae; Χρύ-

*) Reddidi haec verba qualia a Cobeto, Bergkio (Poët. Lyr. Gr. p. 222.), Schneidewino et ex parte a Wieselero producuntur, quum editionem Basileensem (1538.) inspicere non potuerim, in qua hoc Pindari fragmentum legitur Tomo V (non III.) p. 615. Non consentiunt in fragmenti lectione editiones Galeni recentiores; sic enim habent (in Galeni Comment. ad Hippocrat. de articulis 3, 23.) Charterius T. XII. p. 376. et Kühn. T. XVIII, 1, p. 519: Χρύσεα δ' ὀξύπτερα αἰετοῦ κληδόνες.

σιαι Vb; ὑπαρέτου Pc; υπερέτου MRLbPd; ὑπηρέτου Ag. Equidem Bergkium secutus sum proxime ad codicum Pausaniae vestigia accedentem. — 13. τις expungit Kayserus. — VI, 1. Lacunam indicat Dind.; loci integritatem tueri videtur Franzius in Berl. Jahrbb. f. wiss. Kr. 1841. p. 225. — 4. μητρὸς εἶναι Μελαίνης Kayser. — 5. Πύθην Dind. La; Πύθιν rell. — 7. δέ ἑ Κρήσιοι ἄνδρ. Meineke Z. f. A. 1845. p. 1067.; δὲ Κρήσιοι ἄνδρ. edd.; δὲ ἐκ κρησιν οἱ ἄνδρ. Va; δὲ ἐκρήσοι (sic) οἱ ἄνδρ. Vb; δὲ ἐκ κρησιν οἱ ἄνδρ. M; δὲ ἐκ κρησίν οἱ ἄνδρ. Lb; δὲ ἐκρησι οἱ ἄνδρ. Ag; δὲ ἐκρήσιοι ἄνδρ. La. Etiam ἁγιστεύουσι (ἁγιστεύσουσι) corruptum est; cf. Kayser. — VII, 4. ὃς λάμποι Bekk. MVaLbRPcAg; ὁ Λάμπου edd. antiqq. Vb ὁλάμπου La et R ad marg.; Μελάμπους Böckh. SW. Dind.; quod prae reliquis placet. — 5. αὐλῳδίαν τότε κατέλυσαν Dind. Mox egregie idem μέλη restituit pro μελέτη, quod habent codd. et seq. καὶ θρῆνοι (καὶ om. MPcAgLb) circumscripsit; potest expungi. — 8. καὶ Ἰολαΐδας Keil Sylloge Inscr. Boeot. p. 216, idem tamen correcturam suam retractare videtur in Archäol. Zeitung 1850. p. 208.; καὶ Ὀλαΐδας edd. codd. — VIII, 1. συνεδρεύοντες MVabPcLab; συνεδρεύσοντες edd. Ag. — 3. συντελεῖν om. MPcAgLb; additur a VabLa, non satis apte. — IX, 1. Malim τέτμηνται δὲ διέξοδοι. — 7. Ἄβας; imo Ἀγίας; cf. 3, 11, 5. — 8. Ἠίσωνος edd. recc. VaLa, et geminata litera Vb; Πίστωνος Bekk. MPcAgLb; Παίσωνος edd. antiqq. — 10. Μύνδιον SW Dind. La; Μίδιον VabPcAgLb; Μήλιον Bekk.; Μίδειον edd. rell. Mox Πυρρίας Dind.; Πυρίας rell. edd. et codd. Κώμων edd. recc. PcAg; Κόμων Lab; Κόνων edd. antiqq. MVab. Deinde Ἀγασιμένης Dind. praef. p. XV; Ἀγεσιμένης SW Va; Ἀγαμένης Clav. Sieb. Bekk. M.; Ἀγεμένης VbPcAgLab; Ἀγιμένης edd. rell. Denique τελευταῖοι scripsi cum Kuhn. Clav. SW Dind. et ante Λακεδαιμόνιοι expunxi οἱ; τελευτᾷ codd.; correctura αι οι margini adscripta procreavit literas ει οἱ αι, ει οἱ αι, εἰ οἵ αι, quas inter δὲ et καὶ habent LbPcAg, unde εἶναι fecit Böckhius, quod receperunt Bekk. SW Dind.; ex eodem fonte fluxit articulus ante Λακεδαιμόνιοι. — 11. φερεπτολέμοισι Dind. (praef. p. III.); φέρει πολέμοισι MVabAgLab; φέρει πολέμοιο edd. In seqq. κακίῃ τε νομήων conicit Siebel. Hall L. Z. EBl. 1840. p. 757. Etiam in Musaei oraculo latent corruptelae; codices monstra producunt; in ηπταλοισ quo codd. plerique alludunt (ad ηγαλις alii), ἠπ-

της invenit Bergkius conferens Syriani locum in Rhet. Gr. ed. Walz IV, 569. — X, 1. οὗτοι μὲν δή, quod omittunt edd. antiqq. VbLa, varia lectio ad seq. οὗτοι μὲν καί esse videtur. — 5. τὸ ἐφεξῆς αὐτῶν γένος — Περσέα; verba prorsus absurda; postulat sensus: γένος τὸ ἐς Περσέα καὶ ἔτι πορρωτέρω καθῆκον ἐς Ἡρακλέα. — XI, 5. Οἱ δὲ θησαυροὶ οἱ Θηβαίων Dind. praef. p. XVIII; contra sensum; si quid mutandum, θησαυροὶ ὁ Θηβαίων scribendum foret; at non puto necessarium. Deinde ἐστιν ὡσαύτως MRPcAgLb; εἰσιν ὡσαύτως edd. VabLa. — XII, 1. Lacuna haec fere hausit: ... ἐπίκλησιν. Σίβυλλαν δὲ τὴν πρότερον γενομένην ταύτης ταῖς μάλιστα..., nisi malis fortasse ... ἐπίκλησιν· τὴν δὲ πρότ. γενομ. ταύτης ταῖς μάλ. — Verba ὑπὸ τῶν Λιβύων — ὀνομασθῆναι vix sana sunt. Sic scriptum

Λιβυ...

fuisse suspicor: ὑπὸ τῶν Δελφῶν Σίβυλλαν λέγ. ὀν. i. e. ὑπὸ τῶν Δελφῶν Λίβυσσαν λέγ. ὀν.; quod librarii correcturam ad nomen praecedens referentes in ὑπὸ τῶν Λιβύων Σίβυλλαν depravarunt. Ad rem cf. Siebel. ad h. l. — 3. πατρὸς δ' ἐκ σιτοφάγοιο dedi e coniectura Dindorfii praef. p. III; πατρὸς δὲ κητοφάγοιο Bekk. SW. Dind. PcAgLb et M per correcturam; πατρὸς δ' αὖ κητοφάγοιο edd. rell. VabLa; at κητοφάγος neque est hominis mortalis descriptio, neque recte opponitur Νύμφῃ ἀθανάτῃ. — 6. In epigrammate κευθομένα restituit Meineke Z. f. A. 1849. p. 415; πυθομένα edd. codd. In seqq μοῖραν ἔχουσα (ἔχοισα) κάτω Emperius. Formas doricas ubique restituit Dindorfius. — 10. Lacunam indicavi cum SW Dind. La; quod edd. inserunt ῥᾴδιον id codices omittunt. — XIII, 1. Δέοντος nomen vitiosum. — 3. ἐλαχίστων dittographia ad ἐλύτρων videtur. — 6. Κορινθίων AVaLa; Κυρηναίων SW Dind. MVbPcAgLb et in marg. Va; recte fortasse. — 7. Ἀμύκλαιος? — 9. ὑπελίποντο Dind.; ὑπελείποντο rell. edd. et codd. — 10. Καλύνθου — εἰκόνες. Lectionum monstra praebent codices, in quibus equidem verborum fragmenta deprehendere mihi videor; a vulnere letali abstineo manus. Ante ναυαγίᾳ expunxi καί cum Dind., auctoribus Sieb. Bekk. — XV, 2. Στρατηγοὶ — ἔστιν Αἰτωλῶν; locus turbatus; οἱ Αἰτωλοὶ SW Dind.; οἱ πολλοὶ edd. rell. codd. In sequentibus sic scripserit Pausanias: καὶ ἄγαλμα (s. ἀγάλματα, haec enim varietas turbarum causa fuisse videtur) Ἀρτέμιδος, τὸ δὲ Ἀθηνᾶς, δύο τε Ἀπόλλωνος ἀναθήματά ἐστιν Αἰτωλῶν. — 3. Oraculi verba non mutavi, nisi quod e Bekkeri coniectura πᾶσι dedi cum Dind.; πάγχυ edd. rell. et aliquot

codd.; om. MPcAgLb — 5. ὁπόσοι Ἀθηναίων τὰ ἐπιχώρια ἔγραψαν A. Hecker in Schneidew. Philol. 5, 422. Non necessarium. — XVII, 1. πεντήκοντα uncis includunt Bekk. SW Dind.; at non eiicienda, sed corrigenda est vox. Kayserus 5, 12, 6. respiciens προήκει scribit, et simile verbum postulat sensus. — 5. ἢ καὶ αὐτοῖς... μετέσχον (μετεῖχον) Ἀγρυλεῖς Dind. in Stephan. Paris. s. n. Ὀγρύλη et praef. p. XVI. — 6. καταστῆναι — δέος; impedita constructio; Pausaniae manum restituere mihi videor sic scribens: καταστῆναι δὲ ἐς μάχην τῷ Ἑλληνικῷ καὶ τοῖς Τρωσὶν ἐκώλυσε τοὺς βαρβάρους, παρασκευῇ γὰρ (τε om. Va) ἴσοι τῇ ἁπάσῃ τὰ ἐς πόλεμον ἦσαν, ὁ Θόρσος ποταμὸς ὃς διὰ μέσου σφίσι ῥέων κ. τ. ἑ. — 10. ναυσὶν οὔτε ὅρμους Emperius; ναυσί τε ὅρμους edd. codd. — 12. ἀπὸ τῆς κεφαλῆς ἐς εὐθύ, ἀλλὰ παρὰ τὰ ὦτα? — XVIII, 4. ἀπώσαιντο e Bekkeri coniectura; ἀπώσαιτο edd. codd. — 7. Post Γοργίας ἐστι expunxi εἰκών; cancellis notant edd. recc. — XIX, 11. διάφορα La; διαφορὰ edd. et rell. codd. — XX, 2. ἑξακισχιλίους ἀριθμοίη τις Dind.; ἑξ. ἀριθμὸν ἥ τις Pc; ἀριθμῶν ἥτις VaAgLb; ἀριθμῶν εἴ τις Vb; ἑξ. ἣν ἀριθμόν rell. — 4. τούτων ἦγε τὸ ἱππικὸν Μεγαρεύς; intactam reliqui corruptam codicum lectionem; ἡγεῖτο scripserunt e Böckhii coniectura SW Dind.; in ἱππικόν ducis latet nomen; Μεγαρεύς alienum est ab hoc loco. Deinde lacunam indicavi sic fere explendam: ἐνενήκοντα καὶ (ἑπτακόσιοι, πλέονες δὲ) ἑπτακισχιλίων ἀρ. ἦσαν οἱ ὁπλιτεύοντες. Excidisse μυρίων suspicatur Brandstäter Aetol. Geschichte p. 188. — XXI, 4. ἢ ἐπὶ πλεῖστον dedi e coni. Bekkeri; ἢ ἐπὶ πλεῖστ. Dind. e coni. SW.; ἐπὶ πλ. Ag; ἐπιπλεῖστον La; ἐπεὶ πλεῖστον rell. — 5. Ἧμαι δὴ Jacobs; Ἄδ' ἄρα δὴ Bergk. Epistol. gratul. ad Creuzerum p. 17; ἥμμαι δὴ A. Hecker Comment. crit. de Anthol. Graec. (Lugd. B. 1852.) I, 71; ἡ μαρδαλη (sic) M; ἡ μαρλαδ η ποθέουσα (sic) Ag; ἡμαρλαδιη Lb (?); in Pc epigrammatis initium evanuit; ἢ μάλα δὴ rell. Deinde λαιὸν τότε Spengel; λαιόν ποτε edd.; λαιὸν ὁπότε MVabPcAgLb, hic sine accentu. Denique εὖτ' ἐπὶ τὸν Γαλατᾶν ἤχμασε θοῦρον Ἄρη Bergk., qui praeterea ubique formas Doricas restituit; θοῦρον habent MVaPcLb. — XXII, 1. στενὴ καὶ ταύτῃ Sylb.; (cf. §. 8.); στενὴ καὶ ταύτης edd. antiqq. et codd.; στενὴ καὶ ἀνάντης Clav. Siebel. et edd. seqq. Deinde μετ' αὐτὰ SW; μετὰ ταῦτα (ταύτα Va) codd.; κατ' αὐτὰ Bekk. Dind. Post ὑπὲρ τῆς excidit πόλεως. Etiam sequentia sunt lacunosa et corrupta; in οιομενου latet fortasse οἱ ὁμοῦ. — 10. ἢ circumscripsi; om. Ag. — ὑπ' αὐ-

τῆς Lab; probat Siebel. Hall. LZ. EBl. 1840. p. 758; ἀπ' αὐτῆς rell. — XXIII, 6. ἐκ τῆς μάχης οἱ βάρβαροι, πανταχόθεν δέ σφισιν? — XXIV, 3. ἱεροῖς θ' ὑπὸ κύμασιν; coniecturam in SW propositam probat Siebel. d. l. — XXV, 4. ἀνασκοπουμέναιςDind. (praef. p. XXXI.); ἀνασκοπουμέναις Siebel. Bekk. SW.; non displicet; ἀνασκοπούμενοι edd. rell. et codd. Deinde codicum lectionem θεράπαινα restitui; θεράπαιναι SW Dind., et ἢ ante Ὅμηρος adieci ex emendatione Porsoni; idem fecit Dind. — 5. καὶ notavi, expunxit Dind. volente Siebel. Αἰσχυλίνου Dind.; Αἰσχυλήνου edd. codd. — XXVI, 1. ὡς Αἰνείου μήτηρ Ἀφροδίτη? Coniecturam in SW propositam probare videtur Dind.; ἡ post ὡς, et καὶ post μήτηρ om. La. — 3. Αἴας δὲ Οἰλέως scripsi; Α. δὲ ὁ ἰλέως VbPcAgLab; Αἴας δὲ ὁ Οἰλέως rell. In segmenti fine turbae sunt; ἱερείοις h. l. ineptum est; ἱεροῖς (i. e. θυσίᾳ) certe exspectatur; deinde ἐπὶ τούτοις interpolati tantum habent codices, reliquorum varietas satis demonstrat in libro archetypo iam fuisse corruptelas, fortasse correcturas. Mihi ἐπὶ τοῖς ἱερείοις correctura videtur quae in locum alienum se insinuavit; Pausaniae manum sic fere restaurari arbitror: τοῦ ἐν Αὐλίδι φανέντος τέρατος ἕνεκα· ἐπὶ τοῖς ἱερείοις τὸν Αἴαντα ἐξορκοῦσιν. Alii aliter; cf. Kayser et Welcker Composition d. Polygnotischen Gemälde in Abh. d. Berl. Akad. 1847. 2. p. 90. n. 20. — 4. ὑπὲρ τοῦ Νεοπτολέμου τὸν τάφον est descriptio loci et praepositio eadem prorsus significatione usurpata, qua v. g. 6, 24, 1. legimus ὑπὲρ τοῦ Ἀχιλλέως τὸν τάφον. Mox Ἀχιλλεὺς ab uncis liberavi, quibus circumscriptum est nomen ap. SW Dind. Cf. Kayser. Welcker Z. f. A. 1834. p. 47. Ep. Cycl. II. 14. 516. et Jacobs ap. Welcker. in Abh. d. Berl. Ak. d. l. p. 85. — 5. τὸ μὲν ἔμπροσθεν τῷ ὄπισθεν προςῆγον? — XXVII, 1. Στεκτορηνῶν (Στεκτορήνων Dind.) Eckhel. D. N. III, 173. (cf. Franz. in Berl. Jahrbb. 1841. p. 227.); φρυγῶν ἐς τεκτορήνων edd. VabLa; φρυγῶνες τεκτορήνων MPcAgLb — 4. κάθηται δὲ καὶ ἐπὶ ὄνου La SW Dind.; καὶ om. rell.; duo erant aselli (ἐπὶ ὄνου, non ἐπὶ τοῦ ὄνου.). — XXVIII, 1. Ante ὁ πορθμεὺς excidisse γέρων probare videntur sequentia. — 4. τῷ circumscripsi Dindorfium secutus; fortasse inter μάλιστα et τῷ hiat oratio; μάλιστα ἄξιον ὅτι (τῷ) ὑπὸ codd. interpolati AVbLa. — 7. Etiam hunc locum correctura apposita turbasse videtur; sic scripserit Pausanias: μνήμη γὰρ καὶ ἐν ταύταις Ἅιδου. — XXIX, 1. ἀνωτέρω τούτων ἱερεῖα οἱ ἑταῖροι SW Dind.; ἀνώτεροι τούτων ἱερεῖα καὶ οἱ ἑταῖροι rell. edd. et codd., quod qui velit conservare, lacunam

debet statuere post *ἀνώτεροι*. Omnino in describenda hac picturae parte errasse videtur Pausanias. — 2. Verba *Ὄκνον δ' οὖν — καὶ οὗτος* adeo sunt inepta, ut ne ab insulsissimo quidem scriptore sic potuerint iustae descriptioni obtrudi. — 3. *Ἐπιδόντι* (*ἀπιδόντι?*) scripsi; sic v. g. *ἀποβλέψαντι* c. 30, 6; *εἰ δὲ ἀπίδοις* c. 31, 1; *ἐπιόντι* edd. eodd.; cf. etiam 7, 17, 3. 8, 9, 8, ubi eodem vitio *ἀπιόντι* habent codices. — 4. *πεπλεγμένος* La SW Dind.; *πεπλεγμένοις* edd. codd. rell.; cf. Siebel. Z. f. A. 1841. p. 515. — 5. *ἦσαν γὰρ δὴ κ. τ. ἕ.* cf. ad h. l. Kayser Siebel. d. l. Welcker. d. l. p. 120.; *ἐξ Ὀρχομενοῦ τοῦ ἐν Βοιωτίᾳ ἡ Χλῶρις, ἡ δὲ* * *. *Εἶπον δὲ καὶ ἄλλοιον* dedit Dindorfius. — 7. Post *γυναικῶν* expunxi *δὲ*, quod om. PcAgLb, et simul cum *τῶν κατειλεγμένων* MVab. Post *θυγάτηρ* excidisse *Τυρώ* suspicatur Siebel. d. l. p. 515. — 8. Interpretes neque *πρόσιασιν* eodem sensu accipiunt, quo *ἄνεσιν* (1, 15, 3.), quod neque usus Pausaniae, neque praepositio *ἐπί* permittere videtur. — XXX, 3. Neque quid sit *ἐπανέχων*, neque quid *ῥάβδον* satis intelligo, neque omnino qualis Agamemnonis figura cogitanda sit assequor; fortasse legendum est: *ταῖς χερσίν ἐστιν ἀνέχων τὴν ῥάβδον* i. e. sceptri hastile? Cf. 6, 25, 5. — 4. *γενείων ὧδε εὖ ἔχει* Jacobs apud Welck. d. l.; *Ἰασεύς· γενείων δὲ εὖ ἔχει* Siebel. Bekk. SW Dind.; *καὶ ἐς εὐγένειαν δὲ εὖ ἔχει* codd.; *γένεια δὲ ἔχει* malit Dind. praef. p. XXXII. — XXXI, 11. *ὑπὸ τῇ πέτρᾳ* Welck. l. d. p. 124. n. 53. et Alte Denkmäler III, 113; *ἐπὶ τῇ πέτρᾳ* edd. codd. — XXXII, 2. Inter *ἀνδρὶ* et *ἡμιόνοις* Porson. Bekk. SW. Dind. addunt *ἤ*, contra sensum; comparat Pausanias eam itineris partem quae ex urbe proficiscenti est usque ad antrum Corycium cum ea quae ab hoc antro usque ad montis cacumen perducit (§. 7.). — 8. Post *διάφορα* expunxi *δέ* cum codd. omnibus. — 9. *Τιθορέᾳ — νύμφης*; procul dubio excidit *ὄνομα*; cf. 10, 33, 4. 6. 9. 10, 38, 4. — 10. Ante *κατασκευὴ* expunxi *καὶ* cum Bekk. Dind.; fortasse in *ἡ* mutandum erat. — 11. *Τιθορέων* scripsi ubique; *Τιθορέεων*, *Τιθοραίων* alii; cf. SW ad 10, 32, n. 46. Meineke ad Steph. Byz. p. 623. — 12. *εἰσιν αἱ οἰκήσεις* malim cum Sylburgio; cf. 9, 5, 2. — 19. *τό τε* circumscripsi; *τὸ* solus habet La, *τε* codex nullus; cf. Dind. praef. p. XVIII. — XXXIII, 3. *καὶ ὥρᾳ χειμῶνος* est „vel hiberno tempore." — 5. *παρέχεσθαι φ. ἀνερχόμενον* Dind.; *παρέχεται φ. ἀνερχόμενον* codd.; *ἀνερχόμενος* edd. quaedam. — 8. *Αἰχμέας* Dind. La; *Αἰχμαίας* rell.; cf. Keil Analect. onomat. p. 235. — 10. *ὑπὸ τῶν ποιμένων* La; probat Kayser, nec mihi displicet. Sequentia *ἃ μά-*

λιστα ἄξιον κ. τ. ἕ. sunt corrupta, mutila; Dind. lacunam indicat ante Ἅ et post ἄξιον. Bekkerus post ἄξιον plenius distinguit, ad lectionem editionum antiquarum et codicis Vb (imo La) redit Kayserus; θέας δὲ μάλιστα ἄξια La, θέας δὲ μάλιστα ἄξιον AVb, quod ab interpolatore profectum adhuc mihi videtur. Omnino circa libri finem multa perdite sunt corrupta; sic statim hoc ipso capite ἡ εὐθεῖα aptam vix admittit interpretationem, post ἀριστερὰ (ἀριστεράν) hiat oratio, lectioque inter φασί et σφίσι varians corruptelam indicat, cui medelam fortasse adferunt Lab; Φώκου enim habet Lb, σφίσι Φώκου παῖδα φασὶν τοῦ Αἰακοῦ La, unde ante Φώκου excidisse Ναύβολον mihi adhuc est verisimile. — XXXIV, 3. ἐοικυῖαι scripsi cum MVaLb; εἰκυῖαι PcAg; ἐν κοινῷ edd. VbLa; cf. 5, 19, 2. Deinceps δωρεαῖς praestat; δωρεᾶς La. — 7. ὡς ἀνιᾶν τε μηδὲν Dind. e coni. SW; ὡς ἀνιόντι μηδὲν edd. codd.; ὡς ἀνιᾶν τὸ μηδέν Buttmann. — 8. μίμημα τῶν ἐπὶ Kayser; placet. — XXXV, 3. οἰκοδόμημα τῶν ἀσθενεστάτων? — 8. Στεῖρις; urbis nomen cum derivatis scripsi per ει, quod voluerunt Sylb. Siebel. Dind. alii; Στειρίτιδος habent AgLab; ἐν στείρι Ag, ἐν στίρει La; Στίριν, Στῖριν, Στιρίων rell. — 10. ὁπόσα Δήμητρι ἐς τιμήν; nunquam sic locutus est Pausanias, ut recte observat Kayserus; minus tamen placet quod idem proponit ὁπόσα Δήμητρι ἐποιήθη. Malim Δήμητρος scribere cum La et ἐς τιμὴν mutare in ἔστιν. — XXXVI, 7. Ante λευκὸς articulum adieci. — 8. Scribendum est Ποσειδῶνος. — XXXVII, 2. Post Φωκίδι excidit Βοῦλις. — 3. κόχλων τῶν ἐς βαφήν? — 4. ἀγῶνα Πύθια non dixit Pausanias; Πύθια vel eiiciendum, vel e vestigiis codicis Lb (πυθίῳ) mutandum in Πυθίων. — 7. ὕδατος, [καὶ] οἱ μὲν; cf. 1, 26, 5. — XXXVIII, 6. Πρωτοθρονίας Dind. praef. p. XXXI; Πρωτοθρονίης edd. codd. — 7. Ἀνάκων, Ἄνακες e Siebel. coniectura Dind. — 8. Μυονία La Steph. Byz. Dind.; Μυωνία edd. codd. rell.; deinde ad Μυᾶνες (Μύανες) cf. quae dixi ad 6, 19, 4.

Signorum explicatio: A = editio Aldina; B ed. Bekkeri; SW edit. Schubarto-Walziana. M codex Mosquensis; Vab codices Vindobonenses; Lab codd. Lugdunenses; Pabcd codd. Parisini; Ag cod. Angelicus; R cod. Riccardianus; Vn cod. Venetus.

Α Χ Α Ι Κ Α.

521 I. Ἡ δὲ τῆς Ἠλείας μέση καὶ Σικυωνίας καθήκουσα
μὲν ἐπὶ τὴν πρὸς ἕω θάλασσαν, Ἀχαΐαν δὲ ὄνομα τὸ ἐφ'
ἡμῶν ἔχουσα ἀπὸ τῶν ἐνοικούντων, αὐτή τε Αἰγιαλὸς τὸ
ἀρχαῖον καὶ οἱ νεμόμενοι τὴν γῆν ἐκαλοῦντο Αἰγιαλεῖς,
λόγῳ μὲν τῷ Σικυωνίων ἀπὸ Αἰγιαλέως βασιλεύσαντος
ἐν τῇ νῦν Σικυωνίᾳ, εἰσὶ δὲ οἵ φασιν ἀπὸ τῆς χώρας, εἶ-
ναι γὰρ τὰ πολλὰ αὐτῆς αἰγιαλόν. 2. Χρόνῳ δὲ ὕστερον 2
ἀποθανόντος Ἕλληνος Ξοῦθον οἱ λοιποὶ τοῦ Ἕλληνος
παῖδες διώκουσιν ἐκ Θεσσαλίας ἐπενεγκόντες αἰτίαν ὡς
ἰδίᾳ χρήματα ὑφελόμενος ἔχοι τῶν πατρῴων. Ὁ δὲ ἐς
Ἀθήνας φυγὼν θυγατέρα Ἐρεχθέως ἠξιώθη λαβεῖν, καὶ
παῖδας Ἀχαιὸν καὶ Ἴωνα ἔσχεν ἐξ αὐτῆς. ἀποθανόντος δὲ
Ἐρεχθέως τοῖς παισὶν αὐτοῦ δικαστὴς Ξοῦθος ἐγένετο
ὑπὲρ τῆς ἀρχῆς, καί, ἔγνω γὰρ τὸν πρεσβύτατον Κέκροπα
βασιλέα εἶναι, οἱ λοιποὶ τοῦ Ἐρεχθέως παῖδες ἐξελαύ-
νουσιν ἐκ τῆς χώρας αὐτόν· ἀφικομένῳ δὲ ἐς τὸν Αἰγια- 3
λὸν καὶ οἰκήσαντι αὐτῷ μὲν ἐγένετο ἐνταῦθα ἡ τελευτή,
τῶν δέ οἱ παίδων Ἀχαιὸς μὲν ἐκ τοῦ Αἰγιαλοῦ παραλαβὼν
καὶ ἐξ Ἀθηνῶν ἐπικούρους κατῆλθεν ἐς Θεσσαλίαν καὶ
ἔσχε τὴν πατρῴαν ἀρχήν, Ἴωνι δὲ ἐπὶ τοὺς Αἰγιαλεῖς
στρατιὰν καὶ ἐπὶ Σελινοῦντα τὸν βασιλέα αὐτῶν ἀθροί-
522 ζοντι ἀγγέλους ἔπεμπεν ὁ Σελινοῦς, τὴν θυγατέρα Ἑλί-
κην, ἣ μόνη οἱ παῖς ἦν, γυναῖκα αὐτῷ διδούς, καὶ αὐτὸν
Ἴωνα ἐπὶ τῇ ἀρχῇ παῖδα ποιούμενος. καί πως ταῦτα τῷ 4
Ἴωνι ἐγένετο οὐκ ἄπο γνώμης, καὶ τῶν Αἰγιαλέων τὴν
ἀρχὴν Ἴων ἔσχεν ἀποθανόντος Σελινοῦντος, καὶ Ἑλίκην
τε ἀπὸ τῆς γυναικὸς ᾤκισεν ἐν τῷ Αἰγιαλῷ πόλιν, καὶ

τους ἀνθρώπους ἐκάλεσεν Ἴωνας ἀφ' αὑτοῦ. Τοῦτο οὐ μεταβολὴ τοῦ ὀνόματος, προσθήκη δέ σφισιν ἐγένετο· Αἰγιαλεῖς γὰρ ἐκαλοῦντο Ἴωνες. τῇ χώρᾳ δὲ ἔτι καὶ μᾶλλον διέμεινεν ὄνομα τὸ ἐξ ἀρχῆς. Ὁμήρῳ γοῦν ἐν καταλόγῳ τῶν μετὰ Ἀγαμέμνονος ἐξήρκεσε τὸ ἀρχαῖον δηλῶσαι τῆς γῆς ὄνομα·

Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν.

5 τότε δὲ ἐπὶ τῆς Ἴωνος βασιλείας πολεμησάντων Ἀθηναίοις Ἐλευσινίων, καὶ Ἀθηναίων Ἴωνα ἐπαγαγομένων ἐπὶ ἡγεμονίᾳ τοῦ πολέμου, τὸν μὲν ἐν τῇ Ἀττικῇ τὸ χρεὼν ἐπιλαμβάνει, καὶ Ἴωνος ἐν τῷ δήμῳ μνῆμα τῷ Ποταμίων ἐστίν· οἱ δὲ ἀπόγονοι τοῦ Ἴωνος τὸ Ἰώνων ἔσχον κράτος, ἐς ὃ ὑπ' Ἀχαιῶν ἐξέπεσον καὶ αὐτοὶ καὶ ὁ δῆμος. 3. Τοῖς δὲ Ἀχαιοῖς τηνικαῦτα ὑπῆρξε καὶ αὐτοῖς ἐκ Λακεδαίμο-

6 νος καὶ Ἄργους ὑπὸ Δωριέων ἐξεληλάσθαι. τὰ δὲ ἐς Ἴωνας καὶ Ἀχαιούς, ὁπόσα ἐπράχθη σφίσιν ἐπ' ἀλλήλους, ἐπέξειμι αὐτίκα ὁ λόγος μοι προδιηγησαμένῳ καθ' ἥντινα αἰτίαν τοῖς Λακεδαίμονα οἰκοῦσι καὶ Ἄργος πρὸ τῆς τῶν Δωριέων καθόδου μόνοις Πελοποννησίων ὑπῆρξεν Ἀχαιοῖς καλεῖσθαι. Ἄρχανδρος Ἀχαιοῦ καὶ Ἀρχιτέλης ἐς Ἄργος ἀφίκοντο ἐκ τῆς Φθιώτιδος, ἐλθόντες δὲ ἐγένοντο Δαναοῦ γαμβροί, καὶ Αὐτομάτην μὲν Ἀρχιτέλης, Σκαιὰν δὲ ἔλαβεν Ἄρχανδρος. Δηλοῦσι δὲ ἐν Ἄργει καταμείναντες οὐχ ἥκιστα ἐν τῷδε· Μετανάστην γὰρ τῷ

7 παιδὶ ὄνομα ἔθετο Ἄρχανδρος. δυνηθέντων δὲ ἔν τε 523
Ἄργει καὶ Λακεδαίμονι τῶν Ἀχαιοῦ παίδων, τοὺς ἀνθρώπους τοὺς ἐνταῦθα ἐξενίκησεν Ἀχαιοὺς κληθῆναι. τοῦτο μέν σφισιν ὄνομα ἦν ἐν κοινῷ, Δαναοὶ δὲ Ἀργείοις ἰδίᾳ. Τότε δὲ ὑπὸ Δωριέων ἐκπεπτωκότες ἔκ τε Ἄργους καὶ ἐκ Λακεδαίμονος ἐπεκηρυκεύοντο Ἴωσιν αὐτοί τε καὶ ὁ βασιλεὺς Τισαμενὸς ὁ Ὀρέστου γενέσθαι σύνοικοί σφισιν ἄνευ πολέμου. τῶν δὲ Ἰώνων τοὺς βασιλέας ὑπῄει

δέος, μὴ Ἀχαιῶν ἀναμιχθέντων αὐτοῖς Τισαμενὸν ἐν
κοινῷ βασιλέα ἕλωνται κατά τε ἀνδραγαθίαν καὶ γένους
δόξαν. Ἰώνων δὲ οὐ προσεμένων τοὺς Ἀχαιῶν λόγους, 8
ἀλλὰ ἐπεξελθόντων σὺν ὅπλοις, Τισαμενὸς μὲν ἔπεσεν ἐν
τῇ μάχῃ, Ἴωνας δὲ Ἀχαιοὶ κρατήσαντες ἐπολιόρκουν κα-
ταπεφευγότας ἐς Ἑλίκην, καὶ ὕστερον ἀφιᾶσιν ἀπελθεῖν
ὑποσπόνδους. Τισαμενοῦ δὲ τὸν νεκρὸν Ἀχαιῶν ἐν
Ἑλίκῃ θαψάντων, ὕστερον χρόνῳ Λακεδαιμόνιοι τοῦ ἐν
Δελφοῖς σφίσιν ἀνειπόντος χρηστηρίου κομίζουσι τὰ
ὀστᾶ ἐς Σπάρτην, καὶ ἦν καὶ ἐς ἐμὲ ἔτι αὐτῷ τάφος ἔνθα
τὰ δεῖπνα Λακεδαιμονίοις ἐστὶ τὰ Φειδίτια καλούμενα.
4. Ἴωνας δὲ ἀφικομένους ἐς τὴν Ἀττικὴν Ἀθηναῖοι καὶ 9
ὁ βασιλεὺς αὐτῶν Μέλανθος Ἀνδροπόμπου συνοίκους
ἐξεδέξαντο, Ἴωνός τε δὴ ἕνεκα καὶ ἔργων ἃ ἔπραξε πο-
λεμαρχῶν Ἀθηναίοις. λέγεται δὲ ὡς ἐν ὑπονοίᾳ ποιού-
μενοι τοὺς Δωριέας οἱ Ἀθηναῖοι, μὴ οὐδὲ αὐτῶν ἐθέλω-
σιν ἀπέχεσθαι, ἰσχύος μᾶλλον οἰκείας ἕνεκα ἢ εὐνοίᾳ τῇ
ἐς τοὺς Ἴωνας συνοίκους σφᾶς ἐδέξαντο.

II. Ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον Μέδων καὶ Νειλεὺς
πρεσβύτατοι τῶν Κόδρου παίδων ἐστασίασαν ὑπὲρ τῆς
ἀρχῆς, καὶ οὐκ ἔφασκεν ὁ Νειλεὺς ἀνέξεσθαι βασιλευό-
μενος ὑπὸ τοῦ Μέδοντος, ὅτι ὁ Μέδων τὸν ἕτερον ἦν τῶν
524 ποδῶν χωλός. Δόξαν δέ σφισιν ἀνενεγκεῖν ἐς τὸ χρηστή-
ριον τὸ ἐν Δελφοῖς, δίδωσι Μέδοντι ἡ Πυθία βασιλείαν
τὴν Ἀθηναίων. οὕτω δὴ ὁ Νειλεὺς καὶ οἱ λοιποὶ τῶν Κό-
δρου παίδων ἐς ἀποικίαν ἀπεστάλησαν, ἀγαγόντες μὲν
καὶ αὐτῶν Ἀθηναίων τὸν βουλόμενον, τὸ δὲ πλεῖστόν
σφισιν ἦσαν τοῦ στρατεύματος οἱ Ἴωνες. 2. Ἐκ δὲ τῆς 2
Ἑλλάδος τρίτος δὴ οὗτος στόλος ὑπὸ βασιλεῦσιν ἀλλοίοις
ὄχλοις τε ἀλλοίοις ἐστάλησαν. τὰ μὲν γὰρ ἀρχαιότατα
Ἰόλαος Θηβαῖος, ἀδελφιδοῦς Ἡρακλέους, Ἀθηναίοις ἐς
Σαρδὼ καὶ Θεσπιεῦσιν ἡγήσατο· γενεᾷ δὲ μιᾷ πρότερον

ἢ ἐξέπλευσαν ἐξ Ἀθηνῶν Ἴωνες, Λακεδαιμονίους τε καὶ
Μινύας τοὺς ἐκβληθέντας ὑπὸ Πελασγῶν ἐκ Λήμνου
Θήρας ὁ Αὐτεσίωνος Θηβαῖος ἤγαγεν ἐς τὴν νῆσον τὴν
νῦν μὲν ἀπὸ τοῦ Θήρα τούτου, πρότερον δὲ ὀνομαζομέ-
3 νην Καλλίστην. τρίτον δὲ τότε οἱ Κόδρου παῖδες ἐπετά-
χθησαν Ἴωσιν ἄρχοντες, οὐδέν σφισι γένους τοῦ Ἰώνων
μετόν, ἀλλὰ Μεσσήνιοι μὲν τῶν ἐκ Πύλου τὰ πρὸς Κό-
δρου καὶ Μελάνθου, Ἀθηναῖοι δὲ ὄντες τὰ πρὸς μητρός.
Ἴωσι δὲ τοῦ στόλου οἱ μετασχόντες οἵδε Ἑλλήνων, Θη-
βαῖοί τε οἱ ὁμοῦ Φιλώτᾳ γεγονότι ἀπογόνῳ Πηνέλεω, καὶ
4 Ὀρχομένιοι Μινύαι συγγενείᾳ τῶν Κόδρου παίδων. με-
τέσχον δὲ καὶ Φωκεῖς οἱ ἄλλοι πλὴν Δελφῶν, καὶ Ἄβαντες
ἐξ Εὐβοίας. τοῖς δὲ Φωκεῦσιν Φιλογένης καὶ Δάμων οἱ
Εὐκτήμονος Ἀθηναῖοι ναῦς τε διδόασιν ἐς τὸν πλοῦν,
καὶ αὐτοί σφισιν ἐς τὴν ἀποικίαν ἐγένοντο ἡγεμόνες. ὡς
δὲ ταῖς ναυσὶν ἐς τὴν Ἀσίαν κατῆραν, ἐπ᾽ ἄλλην ἐτρέ-
ποντο ἄλλοι τῶν ἐπὶ θαλάσσῃ πόλεων, Νειλεὺς δὲ καὶ ἡ
5 σὺν αὐτῷ μοῖρα ἐς Μίλητον. 3. Μιλήσιοι δὲ αὐτοὶ τοιάδε
τὰ ἀρχαιότατά σφισιν εἶναι λέγουσιν· ἐπὶ γενεὰς μὲν
δύο Ἀνακτορίαν καλεῖσθαι τὴν γῆν, Ἄνακτός τε αὐτό-
χθονος καὶ Ἀστερίου βασιλεύοντος τοῦ Ἄνακτος· Μι-
λήτου δὲ κατάραντος στόλῳ Κρητῶν, ἥ τε γῆ τὸ ὄνομα
μετέβαλεν ἀπὸ τοῦ Μιλήτου καὶ ἡ πόλις. ἀφίκετο δὲ ἐκ 525
Κρήτης ὁ Μίλητος καὶ ὁ σὺν αὐτῷ στρατὸς Μίνω τὸν
Εὐρώπης φεύγοντες. οἱ δὲ Κᾶρες οἱ πρότερον νεμόμενοι
6 τὴν χώραν σύνοικοι τοῖς Κρησὶν ἐγένοντο. τότε δὲ ὡς
ἐκράτησαν τῶν ἀρχαίων Μιλησίων οἱ Ἴωνες, τὸ μὲν γέ-
νος πᾶν τὸ ἄρσεν ἀπέκτειναν πλὴν ὅσοι τῆς πόλεως ἁλι-
σκομένης ἐκδιδράσκουσι, γυναῖκας δὲ καὶ θυγατέρας τὰς
ἐκείνων γαμοῦσι. τοῦ δὲ Νειλέως ὁ τάφος ἰόντων ἐς Δι-
δύμους ἐστὶν οὐ πόρρω τῶν πυλῶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ.
4. Τὸ δὲ ἱερὸν τὸ ἐν Διδύμοις τοῦ Ἀπόλλωνος καὶ τὸ

μαντεῖόν ἐστιν ἀρχαιότερον ἢ κατα την Ιωνων ἐσοίκη-
σιν· πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν
Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. οὐ μὴν πάντα γε τὰ ἐς τὴν 7
θεὸν ἐπύθετο, ἐμοὶ δοκεῖν, Πίνδαρος, ὃς Ἀμαζόνας τὸ
ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας
τε καὶ Θησέα. αἱ δὲ ἀπὸ Θερμώδοντος γυναῖκες ἔθυσαν
μὲν καὶ τότε τῇ Ἐφεσίᾳ θεῷ, ἅτε ἐπιστάμεναί τε ἐκ πα-
λαιοῦ τὸ ἱερόν, καὶ ἡνίκα Ἡρακλέα ἔφυγον, αἱ δὲ καὶ
Διόνυσον τὰ ἔτι ἀρχαιότερα, ἱκέτιδες ἐνταῦθα ἐλθοῦσαι·
οὐ μὴν ὑπὸ Ἀμαζόνων γε ἱδρύθη, Κόρησος δὲ αὐτόχθων
καὶ Ἔφεσος, Καΰστρου δὲ τοῦ ποταμοῦ τὸν Ἔφεσον
παῖδα εἶναι νομίζουσιν, οὗτοι τὸ ἱερόν εἰσιν οἱ ἱδρυσά-
μενοι, καὶ ἀπὸ τοῦ Ἐφέσου τὸ ὄνομά ἐστι τῇ πόλει. Λέ- 8
λεγες δὲ τοῦ Καρικοῦ μοῖρα καὶ Λυδῶν τὸ πολὺ οἱ νεμό-
μενοι τὴν χώραν ἦσαν· ᾤκουν δὲ καὶ περὶ τὸ ἱερὸν ἄλλοι
526 τε ἱκεσίας ἕνεκα καὶ γυναῖκες τοῦ Ἀμαζόνων γένους.
5. Ἄνδροκλος δὲ ὁ Κόδρου, οὗτος γὰρ δὴ ἀπεδέδεικτο
Ἰώνων τῶν ἐς Ἔφεσον πλευσάντων βασιλεύς, Λέλεγας
μὲν καὶ Λυδοὺς τὴν ἄνω πόλιν ἔχοντας ἐξέβαλεν ἐκ τῆς
χώρας· τοῖς δὲ περὶ τὸ ἱερὸν οἰκοῦσι δεῖμα ἦν οὐδέν,
ἀλλὰ Ἴωσιν ὅρκους δόντες καὶ ἀνὰ μέρος παρ' αὐτῶν
λαβόντες ἐκτὸς ἦσαν πολέμου. ἀφείλετο δὲ καὶ Σάμον
Ἄνδροκλος Σαμίους, καὶ ἔσχον Ἐφέσιοι χρόνον τινὰ Σά-
μον καὶ τὰς προσεχεῖς νήσους. 6. Σαμίων δὲ ἤδη κατεληλ- 9
λυθότων ἐπὶ τὰ οἰκεῖα Πριηνεῦσιν ἤμυνεν ἐπὶ τοὺς Κᾶ-
ρας ὁ Ἄνδροκλος, καὶ νικῶντος τοῦ Ἑλληνικοῦ ἔπεσεν
ἐν τῇ μάχῃ. Ἐφέσιοι δὲ ἀνελόμενοι τοῦ Ἀνδρόκλου τὸν
νεκρὸν ἔθαψαν τῆς σφετέρας ἔνθα δείκνυται καὶ ἐς ἐμὲ
ἔτι τὸ μνῆμα κατὰ τὴν ὁδὸν τὴν ἐκ τοῦ ἱεροῦ παρὰ τὸ
Ὀλυμπιεῖον καὶ ἐπὶ πύλας τὰς Μαγνήτιδας· ἐπίθημα δὲ
τῷ μνήματι ἀνὴρ ἐστιν ὡπλισμένος.

7. Οἱ δὲ Ἴωνες οἱ Μυοῦντα ἐσοικισάμενοι καὶ Πριη- 10

νην Κᾶρας μὲν καὶ οὗτοι τὰς πόλεις ἀφείλοντο· οἰκισταὶ δὲ Μυοῦντος μὲν Κύαρητος ἐγένετο ὁ Κόδρου, Πριηνεῖς δὲ Ἴωσιν ἀναμεμιγμένοι Θηβαῖοι Φιλώταν τε τὸν ἀπόγονον Πηνέλεω καὶ Αἴπυτον Νειλέως παῖδα ἔσχον οἰκιστάς. Πριηνεῖς μὲν δὴ ὑπὸ Ταβάλου τε τοῦ Πέρσου καὶ ὕστερον ὑπὸ Ἱέρωνος ἀνδρὸς ἐπιχωρίου κακωθέντες ἐς τὸ ἔσχατον ὅμως τελοῦσιν ἐς Ἴωνας· Μυοῦντος δὲ οἱ οἰκή-
11 τορες ἐπὶ τύχῃ τοιᾷδε ἐξέλιπον τὴν πόλιν. κατὰ τὴν Μυουσίαν χώραν θαλάσσης κόλπος ἐσεῖχεν οὐ μέγας· τοῦτον λίμνην ὁ ποταμὸς ἐποίησεν ὁ Μαίανδρος, ἀποτεμόμενος τὸν ἔσπλουν τῇ ἰλύϊ· ὡς δὲ ἐνόσησε τὸ ὕδωρ καὶ οὐκέτι ἦν θάλασσα, οἱ κώνωπες ἄπειρον πλῆθος ἐγίνοντο 527
ἐκ τῆς λίμνης, ἐς ὃ τοὺς ἀνθρώπους ἠνάγκασαν ἐκλιπεῖν τὴν πόλιν. ἀπεχώρησαν δὲ ἐς Μίλητον Μυούσιοι τά τε ἄλλα ἀγώγιμα καὶ τῶν θεῶν φερόμενοι τὰ ἀγάλματα· καὶ ἦν κατ' ἐμὲ οὐδὲν ἐν Μυοῦντι ὅτι μὴ Διονύσου ναὸς λίθου λευκοῦ. Μυουσίοις δέ γε κατέλαβεν ἐοικότα καὶ Ἀταρνείτας παθεῖν τοὺς ὑπὸ Περγάμου.

III. Κολοφώνιοι δὲ τὸ μὲν ἱερὸν τὸ ἐν Κλάρῳ καὶ τὸ μαντεῖον ἐκ παλαιοτάτου γενέσθαι νομίζουσιν· ἐχόντων δὲ ἔτι τὴν γῆν Καρῶν ἀφικέσθαι φασὶν ἐς αὐτὴν πρώτους τοῦ Ἑλληνικοῦ Κρῆτας καὶ Ῥάκιον καὶ ὅσον εἵπετο ἄλλο τῷ Ῥακίῳ πλῆθος, ἔχον τὰ ἐπὶ θαλάσσῃ καὶ ναυσὶν ἰσχῦον· τῆς δὲ χώρας τὴν πολλὴν ἐνέμοντο ἔτι οἱ Κᾶρες. Θερσάνδρου δὲ τοῦ Πολυνείκους καὶ Ἀργείων ἑλόντων Θήβας, ἄλλοι τε αἰχμάλωτοι καὶ ἡ Μαντὼ τῷ Ἀπόλλωνι ἐκομίσθησαν ἐς Δελφούς· Τειρεσίαν δὲ κατὰ τὴν πορείαν
2 τὸ χρεὼν ἐπέλαβεν ἐν τῇ Ἁλιαρτίᾳ. Ἐκπέμψαντος δὲ σφᾶς ἐς ἀποικίαν τοῦ θεοῦ, περαιοῦνται ναυσὶν ἐς τὴν Ἀσίαν, καὶ ὡς κατὰ τὴν Κλάρον ἐγένοντο, ἐπεξίασιν αὐτοῖς οἱ Κρῆτες μετὰ ὅπλων καὶ ἀνάγουσιν ὡς τὸν Ῥάκιον. ὁ δέ, μανθάνει γὰρ παρὰ τῆς Μαντοῦς οἵτινές τε ἀνθρώ-

πων ὄντες καὶ κατὰ αἰτίαν ἥντινα ἥκουσι, λαμβάνει μὲν
γυναῖκα τὴν Μαντώ, ποιεῖται δὲ καὶ τοὺς σὺν αὐτῇ συ-
528 νοίκους. Μόψος δὲ ὁ Ῥακίου καὶ Μαντοῦς καὶ τὸ παρά-
παν τοὺς Κᾶρας ἐξέβαλεν ἐκ τῆς γῆς. Ἴωνες δὲ ὅρκους 3
ποιησάμενοι πρὸς τοὺς ἐν Κολοφῶνι Ἕλληνας συνεπολι-
τεύοντο, οὐδὲν ἔχοντες πλέον. βασιλείαν δὲ Ἰώνων ἡγε-
μόνες Δαμασίχθων λαμβάνει καὶ Πρόμηθος Κόδρου παῖ-
δες. Πρόμηθος δὲ ὕστερον τὸν ἀδελφὸν Δαμασίχθονα
ἀποκτείνας ἔφυγεν ἐς Νάξον, καὶ ἀπέθανε μὲν αὐτόθι
ἐν τῇ Νάξῳ, τὸν νεκρὸν δὲ οἴκαδε ἀπαχθέντα κατεδέ-
ξαντο οἱ Δαμασίχθονος παῖδες· καὶ ἔνθα ὁ τοῦ Προμή-
θου τάφος, Πολυτειχίδες ὄνομά ἐστι τῷ χωρίῳ. Κολο- 4
φωνίοις δὲ ὅπως μὲν τὴν πόλιν συνέπεσεν ἐρημωθῆναι,
προεδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Λυσίμαχον· ἐμαχέσαντο
δὲ Λυσιμάχῳ καὶ Μακεδόσι Κολοφώνιοι τῶν ἀνοικισθέν-
των ἐς Ἔφεσον μόνοι. τοῖς δὲ ἀποθανοῦσιν ἐν τῇ μάχῃ
Κολοφωνίων τε αὐτῶν καὶ Σμυρναίων ἐστὶν ὁ τάφος
ἰόντι ἐς Κλάρον ἐν ἀριστερᾷ τῆς ὁδοῦ.

2. Λεβεδίοις δὲ ἐποίησε μὲν Λυσίμαχος ἀνάστατον 5
τὴν πόλιν, ἵνα δὴ συντέλεια ἐς μέγεθος τῇ Ἐφέσῳ γέ-
νοιτο· χώρα δέ σφισιν ἔς τε τὰ λοιπά ἐστιν εὐδαίμων,
καὶ λουτρὰ παρέχεται θερμὰ πλεῖστα τῶν ἐπὶ θαλάσσῃ
καὶ ἥδιστα. τὸ δὲ ἐξ ἀρχῆς καὶ τὴν Λέβεδον ἐνέμοντο οἱ
Κᾶρες, ἐς ὃ Ἀνδραίμων σφᾶς ὁ Κόδρου καὶ Ἴωνες ἐλαύ-
νουσι. τῷ δὲ Ἀνδραίμονι ὁ τάφος ἐκ Κολοφῶνος ἰόντι
ἐστὶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, διαβάντι τὸν Καλάοντα
ποταμόν.

3. Τέων δὲ ᾤκουν μὲν Ὀρχομένιοι Μινύαι σὺν Ἀθά- 6
μαντι ἐς αὐτὴν ἐλθόντες· λέγεται δὲ ὁ Ἀθάμας οὗτος
ἀπόγονος Ἀθάμαντος εἶναι τοῦ Αἰόλου· ἀναμεμιγμένοι
μέντοι τῷ Ἑλληνικῷ καὶ ἐνταῦθα ἦσαν οἱ Κᾶρες. ἐσήγαγε
δὲ Ἴωνας ἐς τὴν Τέων Ἄποικος ἀπόγονος Μελάνθου τέ-

ταρτος, ὃς τοῖς Ὀρχομενίοις οὐδὲ τοῖς Τηΐοις νεώτερον
ἐβούλευσεν οὐδέν. ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον ἔκ τε
Ἀθηναίων καὶ ἐκ Βοιωτίας ἀφίκοντο ἄνδρες· ἡγοῦντο δὲ
τοῦ μὲν Ἀττικοῦ Δάμασος καὶ Νάοκλος Κόδρου παῖδες,
τῶν δὲ Βοιωτῶν Γέρης Βοιωτός· καὶ σφᾶς συναμφοτέ-
ρους ὅ τε Ἄποικος καὶ οἱ Τήϊοι συνοίκους ἐδέξαντο.
7 4. Ἐρυθραῖοι δὲ τὸ μὲν ἐξ ἀρχῆς ἀφικέσθαι σὺν
Ἐρύθρῳ τῷ Ῥαδαμάνθυός φασιν ἐκ Κρήτης, καὶ οἰκι- 529
στὴν τῇ πόλει γενέσθαι τὸν Ἔρυθρον· ἐχόντων δὲ αὐτὴν
ὁμοῦ τοῖς Κρησὶ Λυκίων καὶ Καρῶν τε καὶ Παμφύλων,
Λυκίων μὲν κατὰ συγγένειαν τὴν Κρητῶν, καὶ γὰρ οἱ
Λύκιοι τὸ ἀρχαῖόν εἰσιν ἐκ Κρήτης, οἳ Σαρπηδόνι ὁμοῦ
ἔφυγον, Καρῶν δὲ κατὰ φιλίαν ἐκ παλαιοῦ πρὸς Μίνω,
Παμφύλων δὲ ὅτι γένους μέτεστιν Ἑλληνικοῦ καὶ τού-
τοις, εἰσὶ γὰρ δὴ καὶ οἱ Πάμφυλοι τῶν μετὰ ἅλωσιν Ἰλίου
πλανηθέντων σὺν Κάλχαντι, τούτων τῶν κατειλεγμένων
ἐχόντων Ἐρυθράς, Κλέοπος ὁ Κόδρου συλλέξας ἐξ ἁπα-
σῶν τῶν ἐν Ἰωνίᾳ πόλεων ὅσους δὴ παρὰ ἑκάστων ἐπει-
σήγαγεν Ἐρυθραίοις συνοίκους.
8 5. Κλαζομενίοις δὲ καὶ Φωκαεῦσι, πρὶν μὲν ἢ Ἴωνας
ἐς τὴν Ἀσίαν ἐλθεῖν, οὐκ ᾠκοῦντο αἱ πόλεις· Ἰώνων δὲ
ἀφικομένων μοῖρα ἐξ αὐτῶν πλανωμένη μετεπέμψατο
ἡγεμόνα παρὰ Κολοφωνίων Πάρφορον, καὶ πόλιν κτί-
σαντες ὑπὸ τῇ Ἴδῃ τὴν μὲν οὐ μετὰ πολὺ ἐκλείπουσιν,
ἐπανιόντες δὲ ἐς Ἰωνίαν Σκύππιον τῆς Κολοφωνίας ἔκτι-
9 σαν. ἀπελθόντες δὲ ἑκουσίως καὶ ἐκ τῆς Κολοφωνίας,
οὕτω γῆν τε ἔσχον ἣν καὶ νῦν ἔτι ἔχουσι, καὶ κατεσκευ-
άσαντο ἐν τῇ ἠπείρῳ Κλαζομενὰς πόλιν· ἐς δὲ τὴν νῆσον
διέβησαν δὴ κατὰ τὸ Περσῶν δέος. Ἀλέξανδρος δὲ ἀνὰ
χρόνον ἔμελλεν ὁ Φιλίππου χερρόνησον Κλαζομενὰς ἐρ-
γάσεσθαι χώματι ἐς τὴν νῆσον ἐκ τῆς ἠπείρου. τούτων
τῶν Κλαζομενίων τὸ πολὺ οὐκ Ἴωνες, Κλεωναῖοι δὲ

ησαν καὶ ἐκ Φλιοῦντος, ὅσοι Δωριέων ἐς Πελοπόννησον κατελθόντων ἐξέλιπον τὰς πόλεις. Οἱ δὲ Φωκαεῖς γένος 10 μὲν τὸ ἀνέκαθέν εἰσιν ἐκ τῆς ὑπὸ τῷ Παρνασῷ καλουμένης καὶ ἐς ἡμᾶς ἔτι Φωκίδος, οἳ Φιλογένει καὶ Δάμωνι ὁμοῦ τοῖς Ἀθηναίοις διέβησαν ἐς τὴν Ἀσίαν· τὴν χώραν δὲ οὐ πολέμῳ, κατὰ δὲ ὁμολογίαν λαμβάνουσι παρὰ Κυμαίων. Ἰώνων δὲ οὐ δεχομένων σφᾶς ἐς Πανιώνιον
530 πρὶν ἢ τοῦ γένους βασιλέας τοῦ Κοδριδῶν λάβωσιν, οὕτω παρὰ Ἐρυθραίων καὶ ἐκ Τέω Δεοίτην καὶ Πέρικλον λαμβάνουσι καὶ Ἄβαρτον.

IV. Αἱ δὲ ἐν ταῖς νήσοις εἰσὶν Ἰώνων πόλεις, Σάμος ἡ ὑπὲρ Μυκάλης καὶ Χίος ἡ ἀπαντικρὺ τοῦ Μίμαντος. 2. Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη, Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίῳ δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον καὶ Ἔνουδον καὶ Σάμον καὶ Ἀλιθέρσην καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην, Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον 2 ἐν τοῖς ἔπεσιν ἐδήλωσε· 3. Τότε δὲ οἱ τὴν νῆσον οἰκοῦντες ἀνάγκῃ πλέον ἐδέξαντο ἢ εὐνοίᾳ συνοίκους Ἴωνας. ἡγεμὼν δὲ ἦν τοῖς Ἴωσι Προκλῆς ὁ Πιτυρέως, αὐτός τε Ἐπιδαύριος καὶ Ἐπιδαυρίους τὸ πολὺ ἄγων, οἳ ὑπὸ Δηϊφόντου καὶ Ἀργείων ἐκ τῆς Ἐπιδαυρίας ἐξεπεπτώκεσαν· τούτῳ τῷ Προκλεῖ γένος ἦν ἀπὸ Ἴωνος τοῦ Ξούθου. Ἄνδροκλος δὲ καὶ Ἐφέσιοι στρατεύουσιν ἐπὶ Λεώγορον τὸν Προκλέους, βασιλεύοντα μετὰ τὸν πατέρα ἐν Σάμῳ, καὶ μάχῃ νικήσαντες ἐξελαύνουσιν ἐκ τῆς νήσου Σαμίους· αἰτίαν δὲ ἐπέφερον μετὰ Καρῶν σφᾶς ἐπιβουλεύειν Ἴωσι. Σαμίων δὲ τῶν φευγόντων οἱ μὲν ἐπὶ τῇ Θρᾴκῃ νῆσον 3

ᾤκησαν, καὶ ἀπὸ τούτων τῆς ἐνοικήσεως Σαμοθρᾴκην
τὴν νῆσον καλοῦσιν ἀντὶ Δαρδανίας· οἱ δὲ ὁμοῦ Λεω-
γόρῳ περὶ Ἀναίαν τὴν ἐν τῇ ἠπείρῳ τῇ πέραν βαλόμενοι
τεῖχος, δέκα ἔτεσιν ὕστερον διαβάντες ἐν τῇ Σάμῳ τούς
τε Ἐφεσίους ἐκβάλλουσι καὶ ἀνεσώσαντο τὴν νῆσον.
4 4. Τὸ δὲ ἱερὸν τὸ ἐν Σάμῳ τῆς Ἥρας εἰσὶν οἳ ἱδρύ-
σασθαί φασι τοὺς ἐν τῇ Ἀργοῖ πλέοντας, ἐπάγεσθαι δὲ
αὐτοὺς τὸ ἄγαλμα ἐξ Ἄργους. Σάμιοι δὲ αὐτοὶ τεχθῆναι
νομίζουσιν ἐν τῇ νήσῳ τὴν θεὸν παρὰ τῷ Ἰμβράσῳ πο-
ταμῷ καὶ ὑπὸ τῇ λύγῳ τῇ ἐν τῷ Ἡραίῳ κατ' ἐμὲ ἔτι πεφυ- 531
κυίᾳ. εἶναι δ' οὖν τὸ ἱερὸν τοῦτο ἐν τοῖς μάλιστα ἀρχαῖον
οὐχ ἥκιστα ἄν τις καὶ ἐπὶ τῷ ἀγάλματι τεκμαίροιτο· ἔστι
γὰρ δὴ ἀνδρὸς ἔργον Αἰγινήτου Σμίλιδος τοῦ Εὐκλείδου.
οὗτος ὁ Σμῖλίς ἐστιν ἡλικίαν κατὰ Δαίδαλον, δόξης δὲ
5 οὐκ ἐς τὸ ἴσον ἀφίκετο. 5. Δαιδάλῳ μὲν γὰρ γένους τε
Ἀθήνησιν ὑπῆρχεν εἶναι τοῦ βασιλικοῦ τῶν καλουμένων
Μητιονιδῶν, καὶ ὁμοῦ τῇ τέχνῃ τῆς πλάνης τε ἕνεκα καὶ
ἐπὶ ταῖς συμφοραῖς ἐπιφανέστερος ἐγένετο ἐς ἅπαντας
ἀνθρώπους. ἀποκτείνας μὲν ἀδελφῆς παῖδα καὶ ἐπιστάμε-
νος τὰ οἴκοι νόμιμα ἑκουσίως παρὰ Μίνω ἔφυγεν ἐς Κρή-
την, καὶ αὐτῷ τε ἀγάλματα Μίνῳ καὶ τοῦ Μίνω ταῖς θυ-
γατράσιν ἐποίησε, καθότι καὶ Ὅμηρος ἐν Ἰλιάδι ἐδήλωσε·
6 καταγνωσθεὶς δὲ ἀδικεῖν ὑπὸ τοῦ Μίνω καὶ ἐς δεσμωτή-
ριον ὁμοῦ τῷ παιδὶ ἐμβληθεὶς ἐκδιδράσκει τε ἐκ Κρήτης,
καὶ ἐς Ἴνυκον Σικελῶν πόλιν ἀφικνεῖται παρὰ Κώκαλον,
καὶ πολέμου παρέσχε τοῖς Σικελοῖς αἰτίαν πρὸς τοὺς Κρῆ-
τας, ὅτι ἐξαιτοῦντος Μίνω μὴ πρόοιτο αὐτὸν ὁ Κώκαλος.
καὶ ἐς τοσοῦτο ὑπὸ τοῦ Κωκάλου τῶν θυγατέρων ἐσπου-
δάσθη κατὰ τὴν τέχνην, ὡς καὶ θάνατον τῷ Μίνῳ βου-
7 λεῦσαι τὰς γυναῖκας ἐς χάριν Δαιδάλου. δῆλά τε ὡς ἀνὰ
πᾶσαν μὲν τὴν Σικελίαν, ἐπὶ πλεῖστον δὲ καὶ Ἰταλίας
ἀφίκετο τοῦ Δαιδάλου τὸ ὄνομα. ὁ δὲ Σμῖλις, ὅτι μὴ 532

παρὰ Σαμίους καὶ ἐς τὴν Ἠλείαν, παρ' ἄλλους γε οὐδέ-
νας φανερός ἐστιν ἀποδημήσας· ἐς τούτους δὲ ἀφίκετο,
καὶ τὸ ἄγαλμα ἐν Σάμῳ τῆς Ἥρας ὁ ποιήσας ἐστὶν οὗτος.

6. * * Ἴωνι δὲ τῷ ποιήσαντι τραγῳδίαν ἐστὶν ἐν τῇ 8
συγγραφῇ τοιάδε εἰρημένα, Ποσειδῶνα ἐς τὴν νῆσον ἐρη-
μον οὖσαν ἀφικέσθαι, καὶ νύμφῃ τε ἐνταῦθα συγγενέ-
σθαι, καὶ ὑπὸ τὰς ὠδῖνας τῆς νύμφης χιόνα ἐξ οὐρανοῦ
πεσεῖν ἐς τὴν γῆν, καὶ ἀπὸ τούτου Ποσειδῶνα τῷ παιδὶ
ὄνομα θέσθαι Χίον· συγγενέσθαι δὲ αὐτὸν καὶ ἑτέρᾳ
νύμφῃ, καὶ γενέσθαι οἱ παῖδας Ἀγελόν τε καὶ Μέλανα·
ἀνὰ χρόνον δὲ καὶ Οἰνοπίωνα ἐς τὴν Χίον κατᾶραι ναυσὶν
ἐκ Κρήτης, ἕπεσθαι δέ οἱ καὶ τοὺς παῖδας Τάλον καὶ
Εὐάνθην καὶ Μέλανα καὶ Σάλαγόν τε καὶ Ἀθάμαντα.
Ἀφίκοντο δὲ καὶ Κᾶρες ἐς τὴν νῆσον ἐπὶ τῆς Οἰνοπίωνος 9
βασιλείας καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ
τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφί-
κετο δὲ ἐξ Ἱστιαίας ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίᾳ κατὰ μάν-
τευμα ἐκ Δελφῶν. Ἕκτωρ δὲ ἀπὸ Ἀμφίκλου τετάρτῃ γε-
νεᾷ, βασιλείαν γὰρ ἔσχε καὶ οὗτος, ἐπολέμησεν Ἀβάντων
καὶ Καρῶν τοῖς οἰκοῦσιν ἐν τῇ νήσῳ, καὶ τοὺς μὲν ἀπέ-
κτεινεν ἐν ταῖς μάχαις, τοὺς δὲ ἀπελθεῖν ἠνάγκασεν
ὑποσπόνδους. Γενομένης δὲ ἀπαλλαγῆς πολέμου Χίοις, 10
ἀφικέσθαι τηνικαῦτα ἐς μνήμην Ἕκτορι ὡς σφᾶς καὶ
Ἴωσι δέοι συνθύειν ἐς Πανιώνιον· τρίποδα δὲ ἆθλον
λαβεῖν αὐτὸν ἐπὶ ἀνδραγαθίᾳ παρὰ τοῦ κοινοῦ φησὶ τοῦ
Ἰώνων. τοσαῦτα εἰρηκότα ἐς Χίους Ἴωνα εὕρισκον· οὐ
μέντοι ἐκεῖνό γε εἴρηκε καθ' ἥντινα αἰτίαν Χῖοι τελοῦσιν
ἐς Ἴωνας.

V. Σμύρναν δὲ ἐν ταῖς δώδεκα πόλεσιν οὖσαν Αἰο-
λέων, καὶ οἰκουμένην τῆς χώρας καθ' ἃ καὶ ἐς ἐμὲ ἔτι
πόλιν καλοῦσιν ἀρχαίαν, Ἴωνες ἐκ Κολοφῶνος ὁρμη-
θέντες ἀφελόμενοι τοὺς Αἰολεῖς ἔσχον· χρόνῳ δὲ ὕστε-

ρον καὶ Ἴωνες μετέδοσαν Σμυρναίοις τοῦ ἐν Πανιωνίῳ 533
συλλόγου. Ἀλέξανδρος δὲ ὁ Φιλίππου τῆς ἐφ' ἡμῶν πό-
2 λεως ἐγένετο οἰκιστὴς κατ' ὄψιν ὀνείρατος. Ἀλέξανδρον γὰρ θηρεύοντα ἐν τῷ ὄρει τῷ Πάγῳ, ὡς ἐγένετο ἀπὸ τῆς θήρας, ἀφικέσθαι πρὸς Νεμέσεων λέγουσιν ἱερόν, καὶ πηγῇ τε ἐπιτυχεῖν αὐτὸν καὶ πλατάνῳ πρὸ τοῦ ἱεροῦ, πεφυκυίᾳ δὲ ἐπὶ τοῦ ὕδατος. καὶ ὑπὸ τῇ πλατάνῳ καθεύδοντι κελεύειν φασὶν αὐτῷ τὰς Νεμέσεις ἐπιφανείσας πόλιν ἐνταῦθα οἰκίζειν καὶ ἄγειν ἐς αὐτὴν Σμυρναίους,
3 ἀναστήσαντα ἐκ τῆς προτέρας. Ἀποστέλλουσιν οὖν ἐς Κλάρον θεωροὺς οἱ Σμυρναῖοι περὶ τῶν παρόντων σφίσιν ἐρησομένους, καὶ αὐτοῖς ἔχρησεν ὁ θεός·

Τρὶς μάκαρες κεῖνοι καὶ τετράκις ἄνδρες ἔσονται,
οἳ Πάγον οἰκήσουσι πέρην ἱεροῖο Μέλητος.

οὕτω μετῳκίσαντο ἐθελονταί, καὶ δύο Νεμέσεις νομίζουσιν ἀντὶ μιᾶς, καὶ μητέρα αὐταῖς φασὶν εἶναι Νύκτα, ἐπεὶ Ἀθηναῖοί γε τῇ ἐν Ῥαμνοῦντι θεῷ πατέρα λέγουσιν εἶναι Ὠκεανόν.

4 2. Ἴωσι δὲ ἔχει μὲν ἐπιτηδειότατα ὡρῶν [κράσεως] ἡ χώρα, ἔχει δὲ καὶ ἱερὰ οἷα οὐχ ἑτέρωθι, πρῶτον μὲν τὸ τῆς Ἐφεσίας μεγέθους τε ἕνεκα καὶ ἐπὶ τῷ ἄλλῳ πλούτῳ, δύο δὲ οὐκ ἐξειργασμένα Ἀπόλλωνος, τό τε ἐν Βραγχίδαις τῆς Μιλησίας καὶ ἐν Κλάρῳ τῇ Κολοφωνίων. δύο δὲ ἄλλους ἐν Ἰωνίᾳ ναοὺς ἐπέλαβεν ὑπὸ Περσῶν κατακαυθῆναι, τόν τε ἐν Σάμῳ τῆς Ἥρας καὶ ἐν Φωκαίᾳ τῆς Ἀθηνᾶς· θαῦμα δὲ ὅμως ἦσαν καὶ ὑπὸ τοῦ πυρὸς λελυ-
5 μασμένοι. 3. Ἡσθείης δ' ἂν καὶ τῷ ἐν Ἐρυθραῖς Ἡρακλείῳ καὶ Ἀθηνᾶς τῷ ἐν Πριήνῃ ναῷ, τούτῳ μὲν τοῦ ἀγάλματος ἕνεκα, Ἡρακλείῳ δὲ τῷ ἐν Ἐρυθραῖς κατὰ ἀρχαιότητα. τὸ δὲ ἄγαλμα οὔτε τοῖς καλουμένοις Αἰγιναίοις οὔτε τῶν Ἀττικῶν τοῖς ἀρχαιοτάτοις ἐμφερές, εἰ
δέ τι καὶ ἄλλο, ἀκριβῶς ἐστὶν Αἰγύπτιον. σχεδία γὰρ 534

ξύλων, καὶ ἐπ' αὐτῇ ὁ θεὸς ἐκ Τύρου τῆς Φοινίκης ἐξέ-
πλευσε· καθ' ἥντινα δὲ αἰτίαν, οὐδὲ αὐτοὶ τοῦτο οἱ
Ἐρυθραῖοι λέγουσιν. ὡς δὲ ἐς τὴν θάλασσαν ἀφίκετο 6
ἡ σχεδία τὴν Ἰώνων, φασὶν αὐτὴν ὁρμίσασθαι πρὸς
ἄκρᾳ καλουμένῃ Μεσάτῃ· ἡ δὲ ἔστι μὲν τῆς ἠπείρου,
τοῖς δὲ ἐκ τοῦ Ἐρυθραίων λιμένος ἐς νῆσον τὴν Χίων
πλέουσι τοῦτό ἐστι μεσαίτατον. ἐπεὶ δὲ ἡ σχεδία κατὰ
τὴν ἄκραν ἔσχεν, ἐνταῦθα πολὺν μὲν οἱ Ἐρυθραῖοι
πόνον, οὐκ ἐλάσσονα δὲ ἔσχον οἱ Χῖοι ποιούμενοι σπου-
δὴν παρὰ σφᾶς καταγαγεῖν ἑκάτεροι τὸ ἄγαλμα. τέ- 7
λος δὲ Ἐρυθραῖος ἄνθρωπος, ᾧ βίος μὲν ἦν ἀπὸ θα-
λάσσης γεγονὼς καὶ ἄγρας ἰχθύων, διέφθαρτο δὲ ὑπὸ
νόσου τοὺς ὀφθαλμούς, ὄνομα δέ οἱ Φορμίων ἦν, οὗτος
ὁ ἁλιεὺς εἶδεν ὄψιν ὀνείρατος ὡς τὰς Ἐρυθραίων γυναῖ-
κας ἀποκείρασθαι δέοι τὰς κόμας, καὶ οὕτω τοὺς ἄνδρας
πλεξαμένους κάλον ἐκ τῶν τριχῶν τὴν σχεδίαν παρὰ
σφᾶς κατάξειν. αἱ μὲν δὴ ἀσταὶ τῶν γυναικῶν οὐδαμῶς
ὑπακούειν τῷ ὀνείρατι ἐβούλοντο· ὁπόσαι δὲ τοῦ Θρᾳ- 8
κίου γένους ἐδούλευον καὶ οὔσαις σφίσιν ἐλευθέραις ἦν
ἐνταῦθα βίος, ἀποκεῖραι παρέχουσιν αὑτάς· καὶ οὕτως
οἱ Ἐρυθραῖοι τὴν σχεδίαν καθέλκουσιν. ἔσοδός τε δὴ
ταῖς Θρᾴσσαις ἐς τὸ Ἡράκλειόν ἐστι γυναικῶν μόναις,
καὶ τὸ καλῴδιον τὸ ἐκ τῶν τριχῶν καὶ ἐς ἐμὲ ἔτι οἱ ἐπι-
χώριοι φυλάσσουσι. καὶ δὴ καὶ τὸν ἁλιέα οἱ αὐτοὶ οὗτοι
ἀναβλέψαι τε καὶ ὁρᾶν τὸ λοιπὸν τοῦ βίου φασίν. 4. Ἔστι 9
δὲ ἐν Ἐρυθραῖς καὶ Ἀθηνᾶς Πολιάδος ναὸς καὶ ἄγαλμα
ξύλου μεγέθει μέγα καθήμενόν τε ἐπὶ θρόνου, καὶ ἠλα-
κάτην ἐν ἑκατέρᾳ τῶν χειρῶν ἔχει καὶ ἐπὶ τῆς κεφαλῆς
πόλον. τοῦτο Ἐνδοίου τέχνην καὶ ἄλλοις ἐτεκμαιρόμεθα
εἶναι, καὶ ἐς τὴν ἐργασίαν ὁρῶντες τοῦ ἔνδον ἀγάλμα-
535 τος, καὶ οὐχ ἥκιστα ἐπὶ ταῖς Χάρισί τε καὶ Ὥραις, αἳ
πρὶν ἐσελθεῖν ἑστήκασιν ἐν ὑπαίθρῳ λίθου λευκοῦ. ἐποι-

ἤθη δὲ καὶ κατ' ἐμὲ Σμυρναίοις ἱερὸν Ἀσκληπιοῦ, μεταξὺ
Κορυφῆς τε ὄρους καὶ θαλάσσης ἀμιγοῦς ὕδατι ἀλλοίῳ.
10 5. Ἡ δὲ Ἰωνία παρὲξ τῶν τε ἱερῶν καὶ τῆς τοῦ ἀέρος
κράσεως παρέχεται καὶ ἄλλα ἐς συγγραφήν, ἡ μέν γε
Ἐφεσία χώρα τόν τε Κέγχριον ποταμὸν καὶ τοῦ Πίονος
τοῦ ὄρους τὴν φύσιν καὶ πηγὴν τὴν Ἁλιταίαν. Ἐν δὲ τῇ
Μιλησίᾳ πηγή τέ ἐστι Βιβλὶς καὶ ὅσα ἐς τῆς Βιβλίδος τὸν
ἔρωτα ᾄδουσιν. ἐν δὲ τῇ Κολοφωνίων ἄλσος τε τοῦ
Ἀπόλλωνος, δένδρα μελίαι, καὶ οὐ πόρρω τοῦ ἄλσους
11 Ἄλης ποταμὸς ψυχρότατος τῶν ἐν Ἰωνίᾳ. Λεβεδίοις δὲ
τὰ λουτρὰ ἐν τῇ γῇ θαῦμα ἀνθρώποις ὁμοῦ καὶ ὠφέλεια
γίνεται. ἔστι δὲ καὶ Τηΐοις ἐπὶ τῇ ἄκρᾳ λουτρὰ τῇ Μα-
κρίᾳ, τὰ μὲν ἐπὶ τῷ κλύδωνι ἐν πέτρας χηραμῷ, τὰ δὲ καὶ
ἐς ἐπίδειξιν πλούτου πεποιημένα. Κλαζομενίοις δὲ λου-
τρά ἐστιν· ἐν δὲ αὐτοῖς Ἀγαμέμνων ἔχει τιμάς. καὶ ἄν-
τρον μητρός σφισι Πύρρου καλούμενον, καὶ λόγον ἐπὶ
12 τῷ Πύρρῳ λέγουσι τῷ ποιμένι. Ἐρυθραίοις δὲ ἔστι μὲν
χώρα Χαλκίς, ἀφ' ἧς καὶ τῶν φυλῶν σφίσιν ἡ τρίτη τὸ
ὄνομα ἔσχηκεν, ἔστι δὲ τῆς Χαλκίδος κατατείνουσα ἐς τὸ
πέλαγος ἄκρα καὶ ἐν αὐτῇ λουτρὰ θαλάσσια, μάλιστα
τῶν ἐν Ἰωνίᾳ λουτρῶν ὠφέλιμα ἀνθρώποις. 6. Σμυρ-
ναίοις δὲ ποταμὸς Μέλης ὕδωρ ἐστὶ κάλλιστον, καὶ σπή-
λαιον ἐπὶ ταῖς πηγαῖς, ἔνθα Ὅμηρον ποιῆσαι τὰ ἔπη λέ-
13 γουσι. Χίοις δὲ ὁ τοῦ Οἰνοπίωνος τάφος θέαν τε παρέχε-
ται καί τινας καὶ λόγους ἐς τοῦ Οἰνοπίωνος τὰ ἔργα.
Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης
καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμέ-
νοις εὔχεσθαι καθέστηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα. τὰ μὲν
δὴ ἐν Ἰωνίᾳ θαύματα πολλά τε καὶ οὐ πολλῷ τινὶ τῶν ἐν
τῇ Ἑλλάδι ἀποδέοντά ἐστιν.

VI. Τότε δὲ ἀπεληλυθότων Ἰώνων τήν τε γῆν οἱ 536
Ἀχαιοὶ τὴν Ἰώνων διελάγχανον καὶ ἐσῳκίζοντο ἐς τὰς

πόλεις. αἱ δὲ δύο τε καὶ δέκα ἦσαν ἀριθμόν, ὁπόσαι γε
καὶ ἐς ἅπαν τὸ Ἑλληνικὸν γνώριμοι, Δύμη μὲν πρὸς
Ἤλιδος πρώτη, μετὰ δὲ αὐτὴν Ὤλενος καὶ Φαραὶ καὶ
Τρίτεια καὶ Ῥύπες καὶ Αἴγιον καὶ Κερύνεια καὶ Βοῦρα,
ἐπὶ ταύταις δὲ Ἑλίκη καὶ Αἰγαί τε καὶ Αἴγειρα, καὶ Πελ-
λήνη πρὸς τῆς Σικυωνίας ἐσχάτη. ἐς ταύτας οἱ Ἀχαιοὶ
καὶ οἱ βασιλεῖς αὐτῶν ἐσῳκίζοντο πρότερον ἔτι ὑπὸ Ἰώ-
νων οἰκουμένας. 2. Ἦσαν δὲ οἱ τὸ μέγιστον τοῖς Ἀχαιοῖς 2
ἔχοντες κράτος οἵ τε Τισαμενοῦ παῖδες Δαϊμένης καὶ
Σπάρτων καὶ Τέλλις τε καὶ Λεοντομένης· Κομήτης δὲ ὁ
πρεσβύτατος τῶν Τισαμενοῦ παίδων πρότερον ἔτι διεβε-
βήκει ναυσὶν ἐς τὴν Ἀσίαν. οὗτοί τε δὴ τηνικαῦτα ἐν τοῖς
Ἀχαιοῖς ἐδυνάστευον καὶ Δαμασίας ὁ Πενθίλου τοῦ Ὀρέ-
στου, τοῖς Τισαμενοῦ παισὶν ἀνεψιὸς πρὸς πατρός.
ἴσχυον δὲ ἐπ' ἴσης τοῖς κατειλεγμένοις καὶ Ἀχαιῶν τῶν
ἐκ Λακεδαίμονος Πρευγένης καὶ ὁ υἱός, ὄνομα δέ οἱ ἦν
Πατρεύς· καί σφισιν ὑπὸ τῶν Ἀχαιῶν ἐδόθη κτίσασθαι
πόλιν ἐν τῇ χώρᾳ, καὶ τὸ ὄνομα ἀπὸ τοῦ Πατρέως ἐτέθη
τῇ πόλει.

3. Τὰ δὲ ἐς πόλεμον τοιάδε ἦν τοῖς Ἀχαιοῖς. κατὰ 3
μὲν τὴν ἐς Ἴλιον ἐπιστρατείαν Ἀγαμέμνονος Λακεδαί-
μονα ἔτι καὶ Ἄργος οἰκοῦντες μεγίστη τοῦ Ἑλληνικοῦ
μοῖρα ἦσαν· κατὰ δὲ τὴν Ξέρξου καὶ Μήδων ἐπὶ τὴν Ἑλ-
λάδα οὔτε Λεωνίδᾳ τῆς ἐξόδου τῆς ἐς Θερμοπύλας εἰσὶν
οἱ Ἀχαιοὶ δῆλοι μετεσχηκότες, οὔτε Ἀθηναίοις ὁμοῦ καὶ
Θεμιστοκλεῖ πρὸς Εὐβοίᾳ καὶ Σαλαμῖνι ναυμαχήσαντες,
οὐδὲ σφᾶς κατάλογος συμμάχων ἔχει Λακωνικὸς ἢ Ἀττι-
537 κός. ὑστέρησαν δὲ καὶ ἔργου τοῦ Πλαταιᾶσι· δῆλα γὰρ 4
δὴ ὅτι ἐπὶ τῷ ἀναθήματι τῷ ἐν Ὀλυμπίᾳ τῶν Ἑλλήνων
μετῆν ἂν καὶ Ἀχαιοῖς γεγράφθαι. δοκεῖν δέ μοι, τὰς πα-
τρίδας τε ὑπολειφθέντες ἕκαστοι τὰς αὐτῶν ἔσωζον, καὶ
ἅμα διὰ τὸ ἔργον τὸ πρὸς Τροίαν Λακεδαιμονίους Δω-

ριεῖς ἀπηξίουν σφίσιν ἡγεῖσθαι. ἐδήλωσαν δὲ καὶ ἀνὰ
χρόνον· Λακεδαιμονίων γὰρ ἐς τὸν πρὸς Ἀθηναίους πό-
λεμον καταστάντων ὕστερον, ἐς τὴν συμμαχίαν ἦσαν οἱ
Ἀχαιοὶ πρόθυμοι Πατρεῦσι, καὶ ἐς τοὺς Ἀθηναίους οὐχ
5 ἧσσον εἶχον γνώμην. Πολέμων δὲ τῶν πολεμηθέντων
ὕστερον ὑπὸ τοῦ Ἑλληνικοῦ τοῦ μὲν ἐν Χαιρωνείᾳ Φι-
λίππου τε ἐναντία καὶ Μακεδόνων οἱ Ἀχαιοὶ μετέσχον,
ἐς δὲ τὴν Θεσσαλίαν καὶ ἐπὶ τὸν πρὸς Λαμίᾳ καλούμενον
πόλεμον οὔ φασιν ἐκστρατεύσασθαι· οὐ γάρ πω μετὰ τὸ
πταῖσμα ἀνενηνοχέναι τὸ ἐν Βοιωτοῖς. 4. Ὁ δὲ τῶν ἐπι-
χωρίων Πατρεῦσιν ἐξηγητὴς τὸν παλαιστὴν Χείλωνα
Ἀχαιῶν μόνον μετασχεῖν ἔφασκε τοῦ ἔργου τοῦ περὶ Λά-
6 μιαν. οἶδα δὲ καὶ ἄνδρα αὐτὸς Λυδὸν Ἄδραστον ἰδίᾳ καὶ
οὐκ ἀπὸ τοῦ κοινοῦ τοῦ Λυδῶν ἀμύναντα Ἕλλησι. τοῦ
δὲ Ἀδράστου τούτου χαλκῆν εἰκόνα ἀνέθεσαν οἱ Λυδοὶ
πρὸ ἱεροῦ Περσικῆς Ἀρτέμιδος, καὶ ἔγραψαν ἐπίγραμμα
ὡς τελευτήσειεν ὁ Ἄδραστος ἐναντία Λεοννάτῳ μαχόμε-
7 νος ὑπὲρ Ἑλλήνων. Ἡ δὲ ἐς Θερμοπύλας ἐπὶ τὴν Γαλα-
τῶν στρατιὰν ἔξοδος καὶ τοῖς πᾶσιν ὁμοίως παρώφθη
Πελοποννησίοις· ἅτε γὰρ πλοῖα οὐκ ἐχόντων τῶν βαρ-
βάρων, δεινὸν ἔσεσθαί σφισιν ἀπ᾽ αὐτῶν οὐδὲν ἤλπιζον,
εἰ τὸν Κορινθίων ἰσθμὸν ἐκ θαλάσσης τῆς κατὰ Λέχαιον
ἀποτειχίσειαν ἐς τὴν ἑτέραν τὴν ἐπὶ Κεγχρέαις θάλασσαν.
8 5. Τοῦτο μὲν δὴ Πελοποννησίων ἦν τότε ἁπάντων 538
βούλευμα· ἐπεὶ δὲ Γαλάται ναυσὶν ὅντινα δὴ τρόπον
διαβεβήκεσαν ἐς τὴν Ἀσίαν, ἐνταῦθα εἶχεν οὕτω τὰ Ἑλ-
λήνων. προεστήκεσαν κατ᾽ ἰσχὺν οὐδένες ἔτι τοῦ Ἑλλη-
νικοῦ. Λακεδαιμονίους μὲν γὰρ τὸ ἐν Λεύκτροις πταῖσμα,
καὶ ἅμα οἵ τε Ἀρκάδες συνεληλυθότες ἐς Μεγάλην πόλιν
καὶ οἱ Μεσσήνιοι παροικοῦντες, ἀνασώσασθαι τὴν προ-
9 τέραν ἔτι εὐδαιμονίαν ἐκώλυον· Θηβαίοις δὲ ἐς τοσοῦτο
ηρήμωσεν Ἀλέξανδρος τὴν πόλιν, ὡς ἔτεσιν ὕστερον οὐ

πολλοῖς καταχθέντας ὑπὸ Κασσάνδρου μηδὲ σώζειν τὰ
οἰκεῖα ἀξιόχρεως εἶναι· Ἀθηναίοις δὲ εὔνοια μὲν παρὰ
τοῦ Ἑλληνικοῦ τῶν ἔργων μάλιστα ὑπῆρχε τῶν ὕστερον,
ἀναπαύσασθαι δὲ οὔ ποτε ἐκ τοῦ Μακεδόνων πολέμου
παρῆν αὐτοῖς.

VII. Ἑλλήνων δὲ οὐ τασσομένων τηνικαῦτα ἔτι ἐν
κοινῷ, ἰδίᾳ δὲ ἑκάστων κατὰ σφᾶς συνισταμένων, οἱ
Ἀχαιοὶ μάλιστα ἴσχυον. τυράννων τε γὰρ πλὴν Πελλήνης
αἱ ἄλλαι πόλεις τὸν χρόνον ἅπαντα ἀπείρως ἐσχήκεσαν·
αἵ τε ἐκ πολέμων καὶ ἀπὸ τῆς νόσου συμφοραὶ τῆς λοι-
μώδους οὐκ ἐς τοσοῦτο Ἀχαιοῖς ἐφ' ὅσον τοῖς ἄλλοις ἐγέ-
νοντο Ἕλλησι. συνέδριόν τε οὖν Ἀχαϊκὸν καλούμενον
καὶ ἀπὸ κοινοῦ λόγου βουλεύματά τε ἦν Ἀχαιοῖς καὶ τὰ
ἔργα. Ἀθροίζεσθαι δὲ ἐς Αἴγιόν σφισιν ἔδοξεν· αὕτη 2
γὰρ μετὰ Ἑλίκην ἐπικλυσθεῖσαν πόλεων ἐν Ἀχαΐᾳ τῶν
ἄλλων δόξῃ προεῖχεν ἐκ παλαιοῦ καὶ ἴσχυεν ἐν τῷ τότε.
539 Ἑλλήνων δὲ τῶν λοιπῶν Σικυώνιοι συνεδρίου πρῶτοι
τοῦ Ἀχαιῶν μετέσχον. μετὰ δὲ Σικυωνίους ἐσήεσαν ἤδη
καὶ τῶν ἄλλων Πελοποννησίων οἱ μὲν αὐτίκα, οἱ δὲ χρό-
νον τινὰ ἐπισχόντες· τοὺς δὲ καὶ ἐκτὸς οἰκοῦντας τοῦ
Ἰσθμοῦ συντελεῖν ἐς Ἀχαιοὺς ἔπειθεν, ὅτι ἐς πλέον
ἰσχύος προϊὸν ἑώρων ἀεὶ τὸ Ἀχαϊκόν. 2. Λακεδαιμόνιοι 3
δὲ Ἑλλήνων μόνοι διάφοροί τε Ἀχαιοῖς τὰ μάλιστα ἦσαν
καὶ ἐκ τοῦ φανεροῦ πόλεμόν σφισιν ἐπῆγον. Πελλήνην
μέν γε Ἀχαιῶν πόλιν Ἆγις εἷλεν ὁ Εὐδαμίδου βασιλεύων
ἐν [τῇ] Σπάρτῃ, καὶ ἐξέπεσεν αὐτίκα ἐκ Πελλήνης ὑπὸ
Ἀράτου καὶ Σικυωνίων· Κλεομένης δὲ ὁ Λεωνίδου τοῦ
Κλεωνύμου, βασιλεὺς οἰκίας τῆς ἑτέρας, ἀντικαθημέ-
νους Ἄρατον καὶ Ἀχαιοὺς πρὸς Δύμῃ παρὰ πολύ τε
ἐκράτησεν ἐλθόντας ἐς χεῖρας, καὶ ὕστερον Ἀχαιοῖς καὶ
Ἀντιγόνῳ συνέθετο εἰρήνην. Ἀντίγονος δὲ οὗτος τηνι- 4
καῦτα ἀρχὴν τὴν Μακεδόνων εἶχεν, ἐπιτροπεύων Φί-

λιππον τὸν Δημητρίου παῖδα ἔτι ἡλικίαν ὄντα· ἦν δὲ καὶ
ἀνεψιὸς τῷ Φιλίππῳ καὶ μητρὶ αὐτοῦ συνῴκει. πρὸς τοῦ-
τον οὖν τὸν Ἀντίγονον καὶ Ἀχαιοὺς ποιησάμενος ὁ Κλε-
ομένης σπονδάς, καὶ αὐτίκα παραβὰς ὅσα ὤμοσεν, ἠν-
δραποδίσατο Ἀρκάδων Μεγάλην πόλιν· Λακεδαιμονίοις
τε τὸ ἐν Σελλασίᾳ πταῖσμα πρὸς Ἀχαιοὺς καὶ Ἀντίγονον
Κλεομένους ἕνεκα καὶ ἐπιορκίας τῆς ἐκείνου συνέβη.
Κλεομένους μὲν δὴ καὶ αὖθις ἐν λόγοις τοῖς Ἀρκαδικοῖς
5 ἀφιξόμεθα ἐς μνήμην· Φίλιππος δὲ ὁ Δημητρίου τὴν
Μακεδόνων ἀρχήν, ὡς ἀφίκετο ἐς ἄνδρας, παρὰ ἑκόντος
Ἀντιγόνου λαβών, φόβον τοῖς πᾶσιν Ἕλλησιν ἐνεποίησε
τὰ Φιλίππου τοῦ Ἀμύντου, προγόνου μὲν οὐκ ὄντος
αὐτῷ, τῷ δὲ ἀληθεῖ λόγῳ δεσπότου, τά τε ἄλλα αὐτοῦ
μιμούμενος καὶ τὰ ἐς θεραπείαν ὅσοις πατρίδας ἀρεστὰ
ἦν ἐπ' οἰκείοις προδιδόναι κέρδεσι· προπίνειν δὲ παρὰ 540
τὰ συμπόσια ἐπὶ δεξιότητι καὶ φιλίᾳ κύλικας οὐκ οἴνου,
φαρμάκων δὲ ἐς ὄλεθρον ἀνθρώποις, ἃ δὴ ὁ μὲν τοῦ
Ἀμύντου Φίλιππος οὐδ' ἐπενόησεν, ἐμοὶ δοκεῖν, ἀρχήν,
Φιλίππῳ δὲ τῷ Δημητρίου τὰ φάρμακα τόλμημα ἦν ἐλα-
6 φρότατον. Κατεῖχε δὲ καὶ τρεῖς πόλεις φρουραῖς, ὁρμη-
τήρια εἶναί οἱ κατὰ τῆς Ἑλλάδος· καὶ ὠνόμαζε δὲ ὑπὸ
τῆς ὕβρεως καὶ τῆς ἐς τὸ Ἑλληνικὸν ὑπεροψίας κλεῖς τῆς
Ἑλλάδος τὰς πόλεις ταύτας. ἐπὶ μέν γε Πελοποννήσῳ
Κόρινθος καὶ ἡ Κορινθίων ἀκρόπολις ἐπετετείχιστο, ἐπὶ
δὲ Εὐβοίᾳ καὶ Βοιωτοῖς τε καὶ Φωκεῦσι Χαλκὶς ἡ πρὸς
τῷ Εὐρίπῳ· κατὰ δὲ Θεσσαλῶν τε αὐτῶν καὶ τοῦ Αἰτω-
λῶν ἔθνους Μαγνησίαν τὴν ὑπὸ τὸ Πήλιον κατεῖχεν ὁ
Φίλιππος. 4. Μάλιστα δὲ Ἀθηναίους καὶ τὸ Αἰτωλικὸν
ἐπιστρατείαις τε συνεχέσιν ἐπίεζε καὶ λῃστῶν καταδρο-
7 μαῖς. ἐμνημόνευσε δέ μοι καὶ πρότερον ὁ λόγος ἐν τῇ
Ἀτθίδι συγγραφῇ ὅσοι τε Ἑλλήνων ἢ βαρβάρων ἐναντία
Φιλίππου συνήραντο Ἀθηναίοις, καὶ ὡς ὑπὸ ἀσθενείας

τῶν συμμάχων ἐπὶ Ῥωμαίους καὶ ἐπικουρίαν τὴν εκεῖθεν
κατέφευγον οἱ Ἀθηναῖοι. Ῥωμαῖοι δὲ ἐπεπόμφεσαν καὶ
οὐ πολλῷ τινὶ ἔμπροσθεν λόγῳ μὲν ἐπικουρήσοντας Αἰ-
τωλοῖς ἐναντία Φιλίππου, τῷ δὲ ἔργῳ μᾶλλόν τι ἐπὶ κα-
τασκοπῇ τῶν ἐν Μακεδονίᾳ πραγμάτων. τότε δὲ ἀπο- 8
στέλλουσιν Ἀθηναίοις στρατιάν τε καὶ ἡγεμόνα Ὀτίλιον·
τοῦτο γάρ οἱ τῶν ὀνομάτων ἦν τὸ ἐκδηλότατον, ἐπεὶ κα-
λοῦνταί γε οὐ πατρόθεν οἱ Ῥωμαῖοι κατὰ ταὐτὰ Ἕλλησιν,
541 ἀλλὰ καὶ τρία, ὁπότε ὀλίγιστα, καὶ ἔτι πλέονα ὀνόματα
ἑκάστῳ τίθενται. τῷ δὲ Ὀτιλίῳ προσετέτακτο ὑπὸ Ῥω-
μαίων ἀπείργειν ἀπὸ Ἀθηναίων καὶ τοῦ Αἰτωλικοῦ τὸν
Φιλίππου πόλεμον. Ὀτίλιος δὲ τὰ μὲν ἄλλα τοῖς πράγ- 9
μασι κατὰ τὰ ἐπιτεταγμένα ἐχρῆτο, τάδε δὲ οὐ κατὰ γνώ-
μην οἱ τὴν Ῥωμαίων ἐστὶν εἰργασμένα· Εὐβοέων γὰρ
Ἑστίαιαν πόλιν καὶ Ἀντίκυραν τὴν ἐν τῇ Φωκίδι ἑλών,
ὑπηκόους κατ᾽ ἀνάγκην οὔσας Φιλίππου, ἐποίησεν ἀνα-
στάτους. καὶ τοῦδε ἕνεκα, ἐμοὶ δοκεῖν, ἐπεὶ ἐπύθετο ἡ
βουλή, ἀποστέλλουσιν Ὀτιλίῳ διάδοχον τῆς ἀρχῆς Φλα-
μίνιον.

VIII. Τότε δὲ ἥκων ὁ Φλαμίνιος Ἐρέτριάν τε διήρ-
πασε τοὺς φρουροῦντας Μακεδόνων μάχῃ νικήσας, καὶ
αὖθις ἐλάσας ἐπὶ Κόρινθον κατεχομένην ὑπὸ Φιλίππου
φρουρᾷ αὐτός τε προσεκάθητο πολιορκῶν, καὶ παρὰ
Ἀχαιοὺς ἅμα ἀποστέλλων ἐπήγγελλέ σφισιν ἀφικνεῖσθαι
πρὸς Κόρινθον στρατιᾷ συμμάχους τε ἀξιωθησομένους
καλεῖσθαι Ῥωμαίων καὶ ἅμα εὐνοίᾳ τῇ ἐς τὸ Ἑλληνικόν.
Ἀχαιοὶ δὲ ἐποιοῦντο μὲν μεγάλως καὶ αὐτὸν ἐν αἰτίᾳ 2
Φλαμίνιον καὶ ἔτι πρότερον Ὀτίλιον, οἳ μετεχειρίσαντο
ὠμῶς οὕτω πόλεις Ἑλληνίδας καὶ ἀρχαίας, ἀναμαρτήτους
τε οὔσας πρὸς Ῥωμαίους καὶ οὐ κατὰ γνώμην ὑπὸ Μακε-
δόνων ἀρχομένας· προεωρῶντο δὲ καὶ ὡς ἀντὶ Φιλίππου
καὶ Μακεδόνων Ῥωμαῖοι σφίσι τε ἥκοιεν καὶ τῷ Ἑλλη-

νικῷ δεσπόται προστάττειν. Ῥηθέντων δὲ ἐν τῷ συν-
εδρίῳ πολλῶν καὶ ἐναντίων ἀλλήλοις, τέλος οἱ εὖνοι
Ῥωμαίοις ἐνίκησαν, καὶ Ἀχαιοὶ Φλαμινίῳ Κόρινθον συν-
3 επολιόρκησαν. Κορίνθιοι δὲ ἀπὸ Μακεδόνων ἐλευθερω-
θέντες μετέσχον αὐτίκα συνεδρίου τοῦ Ἀχαιῶν, μετα-
σχόντες καὶ πρότερον, ὅτε Ἄρατος καὶ Σικυώνιοι φρου-
ρὰν ἐκ τοῦ Ἀκροκορίνθου [τὴν πᾶσαν] ἐξήλασαν καὶ
ἀπέκτειναν Περσαῖον ὑπὸ Ἀντιγόνου ταχθέντα ἐπὶ τῇ
φρουρᾷ. **2.** Ἀχαιοὶ δὲ τὸ ἀπὸ τούτου σύμμαχοί τε ὠνομά- 542
ζοντο Ῥωμαίων καὶ ἐς τὰ πάντα ἦσαν πρόθυμοι· καί σφι-
σιν εἵποντο μὲν ἐς Μακεδονίαν καὶ ἐπὶ Φίλιππον, μετέ-
σχον δὲ καὶ στρατείας ἐς Αἰτωλούς, τρίτα δὲ ὁμοῦ Ῥω-
μαίοις ἐμαχέσαντο ἐναντία Ἀντιόχου καὶ Σύρων.
4 Ὅσα μὲν δὴ Ἀχαιοὶ Μακεδόσιν ἢ στρατιᾷ τῇ Σύρων
ἐναντία ἐτάξαντο, φιλίᾳ τῇ πρὸς Ῥωμαίους ἔπραξαν· ἐς
δὲ Αἰτωλοὺς ἐκ παλαιοῦ σφίσιν ἦν οἰκεῖα ἐγκλήματα.
3. Ἐπεὶ δὲ ἡ Νάβιδος ἐν Σπάρτῃ τυραννὶς κατελέλυτο,
ἐς πλείστην ὠμότητα ἀνδρὸς ἀφικομένου, τὰ ἐς τοὺς
5 Λακεδαιμονίους αὐτίκα ἐνεπεπτώκει· καὶ σφᾶς ὑπὸ τὸν
χρόνον οἱ Ἀχαιοὶ τοῦτον ἐς σύλλογον ὑπάγονται τὸν
Ἀχαϊκόν, καὶ δίκας τε ἐδίκαζόν σφισιν ἐς τὸ ἀκριβέστα-
τον, καὶ τὰ τείχη τῆς Σπάρτης καταβάλλουσιν ἐς ἔδαφος,
οἰκοδομηθέντα μὲν καὶ πρότερον ἔτι αὐτοσχεδίως ἐπί τε
τῆς Δημητρίου καὶ ὕστερον τῆς Πύρρου καὶ Ἠπειρωτῶν
στρατείας, ἐπὶ δὲ τῆς τυραννίδος τῆς Νάβιδος καὶ ἐς τὸ
ἀσφαλέστατον ὀχυρωθέντα. τά τε οὖν τείχη τῆς Σπάρτης
οἱ Ἀχαιοὶ καθεῖλον, καὶ τὰ ἐς μελέτην τοῖς ἐφήβοις ἐκ
τῶν Λυκούργου νόμων καταλύσαντες ἐπέταξαν τοῖς
6 Ἀχαιῶν ἐφήβοις τὰ αὐτὰ ἐπιτηδεύειν. ταῦτα μὲν δὴ καὶ
ἐς πλέον ἐπέξεισιν αὖθίς μοι τὰ ἐς Ἀρκάδας· **4.** Λακεδαι-
μόνιοι δέ, ἅτε μεγάλως τοῖς ἐπιτάγμασιν ἀχθόμενοι τοῖς
Ἀχαιῶν, καταφεύγουσιν ἐπὶ Μέτελλον καὶ ὅσοι σὺν Με-

τέλλῳ κατὰ πρεσβείαν ἧκον ἐκ Ῥώμης. ἀφίκοντο δὲ οὗτοι
Φιλίππῳ καὶ Μακεδόσι πόλεμον μὲν οὐδένα ἐπάξοντες,
ἅτε εἰρήνης πρότερον ἔτι Φιλίππῳ καὶ Ῥωμαίοις ὀμω-
μοσμένης, ὁπόσα δὲ ἢ Θεσσαλοῖς ἢ τῶν ἐξ Ἠπείρου τισὶν
ἐγκλήματα ἦν ἐς Φίλιππον, ταῦτα ἧκον οἱ ὁμοῦ Μετέλλῳ
543 κρινοῦντες. Ἔργῳ μὲν δὴ Φίλιππός τε αὐτὸς καὶ ἡ Μα- 7
κεδόνων ἀκμὴ καθῄρητο ὑπὸ Ῥωμαίων. μαχεσάμενος
γὰρ Φλαμινίου καὶ Ῥωμαίων ἐναντία Φίλιππος ἐν Κυνὸς
καλουμέναις Κεφαλαῖς λόφοις τὸ ἧττον ἠνέγκατο· ἀλλά
γε δὴ κατὰ δύναμιν ἀγωνισάμενος αὐτός [οὗτος ὁ Φίλιπ-
πος] τοσοῦτον ἐκρατήθη τῇ συμβολῇ, ὡς στρατιᾶς τε ἣν
ἦγεν ἀποβαλεῖν τὸ πολύ, καὶ ἐκ τῶν πόλεων, ὅσας εἷλεν
ἐν τῇ Ἑλλάδι πολέμῳ παραστησάμενος, ἐξήγαγεν ἐξ ἁπα-
σῶν τὰς φρουρὰς κατὰ ὁμολογίαν πρὸς Ῥωμαίους. 5. Κατὰ 8
μέντοι τοῦ λόγου τὸ εὐπρεπὲς παρὰ Ῥωμαίων εὕρητο
εἰρήνην, δεήσεσι μὲν παντοίαις καὶ δαπάναις χρημάτων
μεγάλαις. τὰ δὲ ἐς Μακεδόνας δύναμίν τε ἣν ἐπὶ Φιλίπ-
που περιεβάλοντο τοῦ Ἀμύντου, καὶ ὡς ἐπὶ Φιλίππου
τοῦ ὑστέρου τὰ πράγματά σφισιν ἐφθάρη, Σίβυλλα οὐκ
ἄνευ θεοῦ προεθέσπισεν. ἔχει δὲ οὕτω τὰ χρησθέντα·

Αὐχοῦντες βασιλεῦσι Μακηδόνες Ἀργεάδῃσιν, 9
ὑμῖν κοιρανέων ἀγαθὸν καὶ πῆμα Φίλιππος.
ἤτοι ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ' ἄνακτας
θήσει· ὁ δ' ὁπλότερος τιμὴν ἀπὸ πᾶσαν ὀλέσσει,
δμηθεὶς ἑσπερίοισιν ὑπ' ἀνδράσιν ἠῴοις τε.

Ῥωμαῖοί τε δὴ τὰ πρὸς ἑσπέραν νεμόμενοι τῆς Εὐρώπης
καθεῖλον τὴν Μακεδόνων ἀρχήν, καὶ τῶν ἐς τὸ συμμαχι-
κὸν ταχθέντων Ἄτταλος ** καὶ ἔτι ἐκ Μυσίας στρατιᾶς·
πρὸς δὲ ἀνίσχοντα ἥλιον μᾶλλόν τι ἡ Μυσία τετραπται.

IX. Τότε δὲ τῷ Μετέλλῳ καὶ τῇ ἄλλῃ πρεσβείᾳ μὴ
ὑπεριδεῖν Λακεδαιμονίων ἤρεσε καὶ Ἀχαιῶν, τοὺς δὲ
τὰς ἀρχὰς ἔχοντας ἐς τὸ συνέδριον ἠξίουν συγκαλέσαι

τοὺς Ἀχαιούς, ἵνα ἐν κοινῷ διδάξωσιν αὐτοὺς ἠπιώτερον μεταχειρίζεσθαι τὰ ἐν Λακεδαίμονι. οἱ δέ σφισιν ἀπεκρίναντο μήτε ἐκείνοις Ἀχαιοὺς ἐς σύλλογον μήτε ἄλλῳ συνάξειν, ὅστις μὴ ἐπὶ τῷ πράγματι ἐφ' ὅτῳ ποιεῖται τὴν 544
πρόσοδον παρὰ τῆς Ῥωμαίων βουλῆς ἔχει δόγμα. Μέτελλος δὲ καὶ οἱ σὺν αὐτῷ ὑπὸ τῶν Ἀχαιῶν περιυβρίσθαι νομίζοντες, ἐπειδὴ ἀφίκοντο ἐς Ῥώμην, πολλὰ ἐπὶ τῆς βουλῆς καὶ οὐ πάντα [τὰ] ἀληθῆ κατηγόρουν τῶν Ἀχαιῶν.
2 2. Τούτων δὲ πλείονα ἐνεκάλουν Ἀχαιοῖς Ἀρεὺς καὶ Ἀλκιβιάδας, Λακεδαιμόνιοι μὲν καὶ δόκιμοι τὰ μάλιστα ἐν τῇ Σπάρτῃ, τὰ δὲ ἐς Ἀχαιοὺς οὐ δίκαιοι· γενομένους γὰρ ὑπὸ Νάβιδος φυγάδας ὑπεδέξαντο αὐτοὺς οἱ Ἀχαιοί, καὶ ἀποθανόντος Νάβιδος παρὰ γνώμην Λακεδαιμονίων τοῦ δήμου κατάγουσιν ἐς Σπάρτην. τότε οὖν ἀναβεβηκότες καὶ οὗτοι παρὰ τὴν βουλὴν προθυμότατα ἐνέκειντο Ἀχαιοῖς· Ἀχαιοὶ δέ σφισιν ἀπελθοῦσιν ἐπιβάλλουσιν ἐν
3 τῷ συνεδρίῳ θάνατον ζημίαν. 3. Ῥωμαίων δὲ ἡ βουλὴ πέμπουσιν ἄλλους τε ἄνδρας καὶ Ἄππιον Λακεδαιμονίοις καὶ Ἀχαιοῖς τὰ δίκαια ὁρίσαι. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ ἔμελλον μὲν οὐδὲ ὀφθέντες Ἀχαιοῖς ἔσεσθαι καθ' ἡδονήν, οἳ Ἀρέα καὶ Ἀλκιβιάδαν ἅμ' αὐτοῖς ἐπήγοντο ἐν τῷ τότε Ἀχαιοῖς ἐχθίστους· ἐλύπησαν δὲ καὶ ἐς πλέον τοὺς Ἀχαιούς, ἐπειδὴ ἐς τὸν σύλλογον αὐτῶν ἐπελθόντες σὺν
4 ὀργῇ μᾶλλον ἐποιοῦντο ἢ πειθοῖ τοὺς λόγους. Λυκόρτας δὲ ὁ Μεγαλοπολίτης, οὔτε ἀξιώματι οὐδενὸς Ἀρκάδων ὕστερος καί τι καὶ φρόνημα κατὰ φιλίαν προσειληφὼς τὴν Φιλοποίμενος, λόγῳ τε ἀπέφαινε τὰ ὑπὲρ τῶν Ἀχαιῶν δίκαια, καὶ ὁμοῦ τοῖς λόγοις καὶ μέμψιν τινὰ ὑπέτεινεν ἐς τοὺς Ῥωμαίους. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ Λυκόρταν λέγοντα ἐποιοῦντο ἐν χλευασμῷ, καὶ Ἀρέως ἀποψηφίζονται καὶ Ἀλκιβιάδα μηδὲν ἀδίκημα ἐξ αὐτῶν ἐς Ἀχαιοὺς εἶναι, Λακεδαιμονίοις τε ἀποστεῖλαι πρέσβεις ἐφιᾶσιν

ἐς Ῥώμην, ἐναντία ἐφιέντες ἢ Ῥωμαίοις συγκείμενα ἦν
καὶ Ἀχαιοῖς· Ἀχαιῶν μὲν γὰρ εἴρητο ἀπὸ τοῦ κοινοῦ
παρὰ τὴν Ῥωμαίων βουλὴν ἀπιέναι πρέσβεις, ἰδίᾳ δὲ
545 ἀπείρητο μὴ πρεσβεύεσθαι τὰς πόλεις ὅσαι συνεδρίου
τοῦ Ἀχαιῶν μετεῖχον. Ἀντιπρεσβευσαμένων δὲ καὶ 5
Ἀχαιῶν Λακεδαιμονίοις, καὶ λόγων ῥηθέντων ὑπὸ ἀμ-
φοτέρων ἐπὶ τῆς βουλῆς, τοὺς αὐτοὺς ἀποστέλλουσιν
αὖθις οἱ Ῥωμαῖοι Λακεδαιμονίοις γενέσθαι καὶ Ἀχαιοῖς
δικαστάς, Ἄππιον καὶ ὅσοι σὺν ἐκείνῳ πρότερον ἐς τὴν
Ἑλλάδα ἀφίκοντο. Οἱ δὲ τούς τε ἐκβληθέντας ὑπὸ Ἀχαιῶν
κατάγουσιν ἐς Σπάρτην, καὶ ὅσων πρὸ κρίσεως ἀπελ-
θόντων κατέγνωστο ὑπὸ τῶν Ἀχαιῶν ἀδικεῖν, καὶ τὰ ἐπὶ
τούτοις τιμήματα ἔλυσαν. καὶ συντελείας μὲν Λακεδαι-
μονίους ἐς τὸ Ἀχαϊκὸν οὐκ ἀφιᾶσι, περὶ δὲ τῇ ἑκάστου
ψυχῇ ξενικά σφισι διδόασιν εἶναι δικαστήρια, ὅσα δὲ
ἄλλα ἐγκλήματα, λαμβάνειν τε αὐτοὺς καὶ ἐν τῷ Ἀχαϊκῷ
ὑπέχειν τὰς κρίσεις. 4. Ἐτειχίσθη δὲ καὶ ἐξ ἀρχῆς αὖθις
Σπαρτιάταις ὁ κύκλος τοῦ ἄστεως. Λακεδαιμονίων δὲ 6
οἱ κατελθόντες, βουλεύοντες παντοῖα ἐπὶ Ἀχαιοῖς, λυ-
πήσειν σφᾶς ἐπὶ τοιῷδε μάλιστα ἤλπιζον. Μεσσηνίους
τοὺς Φιλοποίμενι θανάτου συναιτίους γενέσθαι νομι-
σθέντας καὶ κατὰ αἰτίαν ταύτην ὑπὸ Ἀχαιῶν ἐκπεπτω-
κότας, τούτους τε καὶ Ἀχαιῶν αὐτῶν τοὺς φεύγοντας
ἀναβῆναι πείθουσιν ἐς Ῥώμην· σὺν δέ σφισιν ἀνεληλυ-
θότες καὶ αὐτοὶ γενέσθαι τοῖς ἀνδράσιν ἔπρασσον κάθο-
δον. 5. Ἅτε δὲ τοῦ Ἀππίου Λακεδαιμονίοις συμπροθυ-
μουμένου μεγάλως, Ἀχαιοῖς δὲ ἐπὶ παντὶ ἀντιβαίνοντος,
ἔμελλεν οὐ χαλεπῶς Μεσσηνίων καὶ Ἀχαιῶν τοῖς φεύ-
γουσι τὰ βουλεύματα ἐς δέον χωρήσειν, γράμματά τε αὐ-
τίκα ὑπὸ τῆς βουλῆς ἔς τε Ἀθήνας κατεπέμπετο καὶ ἐς
Αἰτωλίαν κατάγειν σφᾶς Μεσσηνίους καὶ Ἀχαιοὺς ἐπὶ τὰ
οἰκεῖα. τοῦτο Ἀχαιοὺς ἐς τὰ μάλιστα ἠνίασεν, ὡς οὔτε 7

ἄλλως πάσχοντας δίκαια ὑπὸ Ῥωμαίων, καὶ ἐς τὸ ἀνω- 546
φελὲς προϋπηργμένων σφίσιν ἐς αὐτούς, οἳ ἐπὶ τὰ Φι-
λίππου καὶ Αἰτωλῶν ἐναντία καὶ αὖθις Ἀντιόχου στρα-
τεύσαντες χάριτι τῇ ἐς Ῥωμαίους ἐγίνοντο ὕστεροι φυγά-
δων ἀνθρώπων καὶ οὐ καθαρῶν χεῖρας. ὅμως δὲ εἴκειν
σφίσιν ἐδόκει. τότε μὲν δὴ ἐς τοσοῦτο ἐπράχθη.

X. Τολμημάτων δὲ τὸ ἀνοσιώτατον, τὴν πατρίδα
καὶ ἄνδρας προδιδόναι πολίτας ἐπὶ οἰκείοις κέρδεσιν,
ἔμελλε καὶ Ἀχαιοῖς κακῶν ἄρξειν, οὔποτε ἐκ τοῦ χρόνου
παντὸς τὴν Ἑλλάδα ἐκλιπόν. ἐπὶ μέν γε Δαρείου τοῦ
Ὑστάσπου βασιλεύοντος Περσῶν Ἴωσι τὰ πράγματα
ἐφθάρη Σαμίων πλὴν ἑνός τε καὶ δέκα ἀνδρῶν τῶν ἄλ-
λων τριηράρχων τὸ ναυτικὸν τὸ Ἰώνων προδόντων.
2 μετὰ δὲ Ἴωνας κεχειρωμένους ἠνδραποδίσαντο καὶ Ἐρέ-
τριαν Μῆδοι· προδόται δὲ ἐγένοντο οἱ εὐδοκιμοῦντες
μάλιστα ἐν Ἐρετρίᾳ, Φίλαγρος Κυνέου καὶ Εὔφορβος
Ἀλκιμάχου. Ξέρξῃ δὲ ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντι Θεσσα-
λία τε δι᾽ Ἀλευαδῶν προεδόθη, Θήβας δὲ Ἀτταγῖνος καὶ
Τιμηγενίδας προδιδόασι, φερόμενοι τὰ πρῶτα ἐν Θήβαις.
Πελοποννησίων δὲ καὶ Ἀθηναίων πολεμησάντων Ξενίας
Ἠλεῖος ἐπεχείρησεν Ἦλιν Λακεδαιμονίοις καὶ Ἄγιδι προ-
3 δοῦναι. Οἵ τε Λυσάνδρου καλούμενοι ξένοι χρόνον οὐ-
δένα ἀνίεσαν πατρίδας ἐγχειρίζοντες Λυσάνδρῳ τὰς ἑαυ-
τῶν. κατὰ δὲ τὴν Φιλίππου βασιλείαν τοῦ Ἀμύντου
Λακεδαίμονα πόλεων μόνην οὐ προδοθεῖσαν τῶν ἐν Ἕλ-
λησιν εὕροι τις ἄν· αἱ δὲ ἄλλαι πόλεις αἱ ἐν τῇ Ἑλλάδι
ὑπὸ προδοσίας μᾶλλον ἢ ὑπὸ νόσου πρότερον τῆς λοιμώ-
δους ἐφθάρησαν. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου παρέσχεν
ἡ εὐτυχία μικρὰ ἀνδρῶν προδοτῶν καὶ οὐκ ἄξια λόγου
4 προσδεηθῆναι. Ἐπεὶ δὲ τὸ ἐν Λαμίᾳ πταῖσμα ἐγένετο
Ἕλλησιν, Ἀντίπατρος μέν, ἅτε διαβῆναι ποιούμενος 547
σπουδὴν πρὸς τὸν ἐν τῇ Ἀσίᾳ πόλεμον, ἐβούλετο εἰρήνην

ἐν τάχει συντίθεσθαι, καί οἱ διέφερεν οὐδὲν εἰ Ἀθήνας
τε ἐλευθέραν καὶ τὴν πᾶσαν Ἑλλάδα ἀφήσει· Δημάδης
δὲ καὶ ὅσον προδοτῶν Ἀθήνησιν ἄλλο ἦν, ἀναπείθουσιν
Ἀντίπατρον μηδὲν ἐς Ἕλληνας φρονῆσαι φιλάνθρωπον,
ἐκφοβήσαντες δὲ Ἀθηναίων τὸν δῆμον ἔς τε Ἀθήνας καὶ
πόλεων τῶν ἄλλων τὰς πολλὰς ἐγένοντο αἴτιοι Μακεδό-
νων ἐσαχθῆναι φρουράς. Βεβαιοῖ δέ μοι καὶ τόδε τὸν 5
λόγον· Ἀθηναῖοι γὰρ μετὰ τὸ ἀτύχημα τὸ ἐν Βοιωτοῖς
οὐκ ἐγένοντο Φιλίππου κατήκοοι, ἁλόντων μέν σφισι
δισχιλίων ὡς ἐκρατήθησαν, παρὰ δὲ τὸ ἔργον χιλίων
φονευθέντων· ἐν Λαμίᾳ δὲ περὶ διακοσίους πεσόντων
καὶ οὐ πλέον τι Μακεδόσιν ἐδουλώθησαν. οὕτω μὲν οὔ-
ποτε τὴν Ἑλλάδα ἐπέλειπον οἱ ἐπὶ προδοσίᾳ νοσήσαντες·
2. Ἀχαιοὺς δὲ ἀνὴρ Ἀχαιὸς Καλλικράτης τηνικαῦτα ἐς
ἅπαν ἐποίει Ῥωμαίοις ὑποχειρίους. ἀρχὴ δέ σφισιν ἐγί-
νετο κακῶν Περσεὺς καὶ ἡ Μακεδόνων ἀρχὴ καταλυθεῖσα
ὑπὸ Ῥωμαίων.

Περσεῖ τῷ Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι εἰρήνην 6
κατὰ συνθήκας ἃς ὁ πατήρ οἱ Φίλιππος ἐποιήσατο, ἐπῆλ-
θεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί τε ** Σαπαίων τὸν
βασιλέα Ἀβρούπολιν στράτευμα ἀγαγὼν ἐποίησεν ἀνα-
στάτους Ῥωμαίων συμμάχους ὄντας· Σαπαίων δὲ τούτων
καὶ Ἀρχίλοχος ἐν ἰαμβείῳ μνήμην ἔσχε. Μακεδόνων δὲ 7
καὶ Περσέως κεχειρωμένων πολέμῳ διὰ τὸ ἐς Σαπαίους
ἀδίκημα, ἄνδρες τῆς Ῥωμαίων βουλῆς δέκα ἐπέμφθησαν
548 καταστησόμενοι πρὸς τὸ ἐπιτηδειότατον Ῥωμαίοις τὰ ἐν
Μακεδονίᾳ. ἥκοντας δὲ ἐς τὴν Ἑλλάδα ὑπήρχετο ὁ Καλ-
λικράτης, οὔτε ἔργον τῶν ἐς τὴν κολακείαν οὔτε λόγον
οὐδένα ἐς αὐτοὺς παριείς. ἕνα δέ τινα ἐξ αὐτῶν ἄνδρα
οὐδαμῶς ἐς δικαιοσύνην πρόθυμον, τοῦτον τὸν ἄνδρα
προσεποιήσατο ὁ Καλλικράτης ἐς τοσοῦτον ὥστε αὐτὸν
καὶ ἐς τὸ συνέδριον ἐσελθεῖν τὸ Ἀχαιῶν ἔπεισεν. Ὁ δὲ 8

ὡς ἐς τὸν σύλλογον ἐσῆλθεν, ἔλεγεν ὡς πολεμοῦντι πρὸς
Ῥωμαίους Περσεῖ χρήματα οἱ δυνατώτατοι τῶν Ἀχαιῶν
παράσχοιεν, συνάραιντο δὲ καὶ ἐς τὰ ἄλλα. ἐκέλευσεν
οὖν καταγνῶναι τοὺς Ἀχαιοὺς θάνατον· εἰ δὲ ἐκεῖνοι
καταγνοῖεν, τότε καὶ αὐτὸς τὰ ὀνόματα ἐρεῖν ἔφασκε τῶν
ἀνδρῶν. λέγειν τε δὴ ἐδόκει παντάπασιν ἄδικα, καὶ αὐ-
τὸν ἠξίουν οἱ ἐς τὸν σύλλογον ἐληλυθότες ἤδη, εἰ Περσεῖ
τὰ αὐτὰ Ἀχαιῶν τινὲς ἔπραξαν, ὀνομαστὶ αὐτῶν ἑκάστου
μνησθῆναι, πρότερον δὲ οὐ σφᾶς καταγινώσκειν εἰκὸς
9 εἶναι. ἔνθα δὴ ὡς ἠλέγχετο ὁ Ῥωμαῖος, ἀπετόλμησεν
εἰπεῖν ὡς οἱ ἐστρατηγηκότες Ἀχαιῶν ἐνέχονται πάντες τῇ
αἰτίᾳ· πάντας γὰρ φρονῆσαι τὰ Μακεδόνων τε καὶ Περ-
σέως. Ὁ μὲν δὴ ταῦτα ἔλεγεν ὑπὸ διδασκαλίᾳ τῇ Καλλι-
κράτους· ἀναστὰς δὲ μετ᾽ αὐτὸν Ξένων, οὗτος οὐκ ἐλα-
χίστου λόγου παρ᾽ Ἀχαιοῖς, οὕτως ἔφη κατὰ τὴν αἰτίαν
ἔχει ταύτην· ἐστρατήγησα μὲν Ἀχαιῶν καὶ ἐγώ, ἀδικίας
δὲ οὐδὲν ἐς Ῥωμαίους, οὔτε εὐνοίας μοι μέτεστιν ἐς
Περσέα· καὶ τοῦδε ἕνεκα ἐθέλω μὲν ἐν συνεδρίῳ τῷ
Ἀχαιῶν, ἐθέλω δὲ καὶ ἐν αὐτοῖς Ῥωμαίοις ὑπέχειν κρίσιν.
10 Ὁ μὲν δὴ ὑπὸ συνειδότος ἐπαρρησιάζετο ἀγαθοῦ· ὁ δὲ
ἐπελάβετο αὐτίκα ὁ Ῥωμαῖος τῆς προφάσεως, καὶ ὁπό-
σοις Καλλικράτης ἐπῆγεν αἰτίαν Περσεῖ σφᾶς φρονῆσαι
τὰ αὐτά, ἀνέπεμπεν ἐν δικαστηρίῳ κρίσιν τῷ Ῥωμαίων
ὑφέξοντας. ὃ μή πω κατειλήφει πρότερον Ἕλληνας· οὐδὲ
γὰρ Μακεδόνων οἱ ἰσχύσαντες μέγιστον, Φίλιππος
Ἀμύντου καὶ Ἀλέξανδρος, τοὺς ἀνθεστηκότας σφίσιν
Ἑλλήνων ἐς Μακεδονίαν ἐβιάσαντο ἀποσταλῆναι, διδό- 549
11 ναι δὲ αὐτοὺς ἐν Ἀμφικτυόσιν εἴων λόγον. Τότε δὲ ἐκ
τοῦ Ἀχαιῶν ἔθνους ὅντινα καὶ ἀναίτιον Καλλικράτης
ἐθελήσειεν αἰτιάσασθαι, ἀνάγεσθαι πάντα τινὰ ἐκεκύ-
ρωτο ἐς Ῥώμην· καὶ ἐγένοντο ὑπὲρ χιλίους οἱ ἀναχθέν-
τες. τούτους ὑπὸ Ἀχαιῶν οἱ Ῥωμαῖοι προκατεγνῶσθαι

νομίζοντες ἔς τε Τυρσηνίαν καὶ ἐς τὰς ἐκεῖ διέπεμψαν
πόλεις, καὶ Ἀχαιῶν ἄλλοτε ἄλλας ὑπὲρ τῶν ἀνδρῶν πρε-
σβείας τε καὶ ἱκεσίας ἐπιπεμπόντων λόγον ἐποιοῦντο οὐ-
δένα. ἑπτακαιδεκάτῳ δὲ ὕστερον ἔτει τριακοσίους ἢ καὶ 12
ἐλάσσονας, οἳ μόνοι περὶ Ἰταλίαν Ἀχαιῶν ἔτι ἐλείποντο,
ἀφιᾶσιν, ἀποχρώντως κολασθῆναι σφᾶς ἡγούμενοι. ὅσοι
δὲ ἀποδράντες ᾤχοντο ἢ εὐθὺς ἡνίκα ἀνήγοντο ἐς Ῥώ-
μην, ἢ ὕστερον ἐκ τῶν πόλεων ἐς ἃς ὑπὸ Ῥωμαίων ἐπέμ-
φθησαν, πρόφασις οὐδεμία ἦν τούτους ἁλόντας μὴ ὑπο-
σχεῖν δίκην.

XI. Ῥωμαῖοι δὲ αὖθις ἄνδρα ἐκ τῆς βουλῆς κατα-
πέμπουσιν ἐς τὴν Ἑλλάδα· ὄνομα μὲν τῷ ἀνδρὶ ἦν Γάλ-
λος, ἀπέσταλτο δὲ Λακεδαιμονίοις καὶ Ἀργείοις ὑπὲρ
γῆς ἀμφισβητουμένης γενέσθαι δικαστής. οὗτος ὁ Γάλ-
λος ἐς τὸ Ἑλληνικὸν πολλὰ μὲν εἶπε, πολλὰ δὲ καὶ ἔπρα-
ξεν ὑπερήφανα, Λακεδαιμονίους δὲ καὶ Ἀργείους τὸ
παράπαν ἔθετο ἐν χλευασίᾳ· πόλεσι γὰρ ἐς τοσοῦτο 2
ἡκούσαις ἀξιώματος, καὶ ὑπὲρ τῶν ὅρων τῆς χώρας τὰ
μὲν παλαιότερα ἐς οὐκ ἀφανῆ πόλεμον καὶ ἔργα οὕτως
ἀφειδῆ προαχθείσαις, κριθείσαις δὲ καὶ ὕστερον παρὰ
δικαστῇ κοινῷ Φιλίππῳ τῷ Ἀμύντου, αὐτὸς μέν σφισιν
ὁ Γάλλος ἀπηξίωσε δικαστὴς καταστῆναι, Καλλικράτει
δὲ ἁπάσης τῆς Ἑλλάδος ἀνδρὶ ἀλάστορι ἐπιτρέπει τὴν
κρίσιν. Ἀφίκοντο δὲ ὡς τὸν Γάλλον καὶ Αἰτωλῶν οἱ 3
550 Πλευρῶνα οἰκοῦντες, συντελείας τῆς ἐς Ἀχαιοὺς ἐθέ-
λοντες ἄφεσιν εὕρασθαι. καὶ αὐτοῖς ἐπετράπη μὲν ὑπὸ
τοῦ Γάλλου πρεσβείαν ἐπὶ σφῶν αὐτῶν ἰδίᾳ παρὰ Ῥω-
μαίους ἀποστεῖλαι, ἐπετράπη δὲ ὑπὸ Ῥωμαίων συνεδρίου
τοῦ Ἀχαιῶν ἀποστῆναι. προσεπεστάλη δὲ ὑπὸ τῆς βου-
λῆς τῷ Γάλλῳ πόλεις ὁπόσας ἐστὶν οἷός τε [ὡς πλείστας]
ἀφεῖναι συλλόγου τοῦ Ἀχαιῶν.

2. Ὁ μὲν δὴ τὰ ἐντεταλμένα ἐποίει, Ἀθηναίων δὲ ὁ 4

δῆμος ἀνάγκῃ πλέον ἢ ἑκουσίως διαρπάζουσιν Ὠρωπὸν
ὑπήκοόν σφισιν οὖσαν· πενίας γὰρ ἐς τὸ ἔσχατον Ἀθη-
ναῖοι τηνικαῦτα ἧκον ἅτε ὑπὸ Μακεδόνων πολέμῳ πιε-
σθέντες μάλιστα Ἑλλήνων. καταφεύγουσιν οὖν ἐπὶ τὴν
Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι· καὶ δόξαντες παθεῖν οὐ
δίκαια, ἐπεστάλη Σικυωνίοις ὑπὸ τῆς βουλῆς ἐπιβαλεῖν
σφᾶς Ἀθηναίοις ἐς Ὠρωπίους ζημίαν κατὰ τῆς βλάβης
5 ἧς ἦρξαν τὴν ἀξίαν. Σικυώνιοι μὲν οὖν οὐκ ἀφικομένοις
ἐς καιρὸν τῆς κρίσεως Ἀθηναίοις ζημίαν πεντακόσια τά-
λαντα ἐπιβάλλουσι· Ῥωμαίων δὲ ἡ βουλὴ δεηθεῖσιν Ἀθη-
ναίοις ἀφίησι πλὴν ταλάντων ἑκατὸν τὴν ἄλλην ζημίαν.
Ἐξέτισαν δὲ οὐδὲ ταῦτα οἱ Ἀθηναῖοι, ἀλλὰ ὑποσχέσεσι
καὶ δώροις ὑπελθόντες Ὠρωπίους ὑπάγονται σφᾶς ἐς
ὁμολογίαν, φρουράν τε Ἀθηναίων ἐσελθεῖν ἐς Ὠρωπὸν
καὶ ὁμήρους λαβεῖν παρὰ Ὠρωπίων Ἀθηναίους· ἢν δὲ
αὖθις ἐς Ἀθηναίους γένηται ἔγκλημα Ὠρωπίοις, τὴν
φρουρὰν τότε ἀπάγειν παρ' αὐτῶν Ἀθηναίους, ἀποδοῦ-
6 ναι δὲ καὶ ὀπίσω τοὺς ὁμήρους. Χρόνος τε δὴ οὐ πολὺς ὁ
μεταξὺ ἤνυστο, καὶ τῶν φρουρῶν ἀδικοῦσιν ἄνδρες
Ὠρωπίους. οἱ μὲν δὴ ἐς τὰς Ἀθήνας ἀπέστελλον ὁμήρους
τε ἀπαιτήσοντας καὶ φρουράν σφισιν ἐξάγειν κατὰ τὰ 551
συγκείμενα ἐροῦντας· Ἀθηναῖοι δὲ οὐδέτερα ἔφασαν
ποιήσειν, ἀνθρώπων γὰρ ἐπὶ τῇ φρουρᾷ καὶ οὐ τοῦ
Ἀθηναίων δήμου τὸ ἁμάρτημα εἶναι· τοὺς μέντοι αὐτὰ
7 εἰργασμένους ἐπηγγέλλοντο ὑφέξειν δίκην. 3. Οἱ δὲ Ὠρώ-
πιοι κατέφευγόν τε ἐπὶ Ἀχαιοὺς ** τιμωρῆσαί σφισιν·
Ἀχαιοῖς δὲ ἤρεσκε μὴ τιμωρεῖν φιλίᾳ τε καὶ αἰδοῖ τῇ Ἀθη-
ναίων. ἐνταῦθα οἱ Ὠρώπιοι Μεναλκίδᾳ, Λακεδαιμονίῳ
μὲν γένος, στρατηγοῦντι δὲ ἐν τῷ τότε Ἀχαιῶν, ὑπι-
σχνοῦνται δέκα ταλάντων δόσιν, ἤν σφισιν ἐπικουρεῖν
Ἀχαιοὺς ἄγῃ. ὁ δὲ ἀπὸ τῶν χρημάτων μεταδώσειν Καλ-
λικράτει τὸ ἥμισυ ὑπισχνεῖτο, ἰσχύοντι διὰ φιλίαν τὴν

Ῥωμαίων ἐν Ἀχαιοῖς μέγιστον. Προσγενομένου δὲ τοῦ 8
Καλλικράτους πρὸς τὴν Μεναλκίδα γνώμην ἐκεκύρωτο κατὰ Ἀθηναίων ἀμύνειν Ὠρωπίοις. καί τις ἐξαγγέλλει ταῦτα ἐς τοὺς Ἀθηναίους· οἱ δὲ ὡς ἕκαστος τάχους εἶχεν ἐς τὸν Ὠρωπὸν ἐλθόντες καὶ αὖθις κατασύραντες εἴ τι ἐν ταῖς προτέραις παρεῖτό σφισιν ἁρπαγαῖς, ἀπάγουσι τὴν φρουράν. Ἀχαιοὺς δὲ ὑστερήσαντας [τῆς βοηθείας] Μεναλκίδας μὲν καὶ Καλλικράτης ἐσβάλλειν ἐς τὴν Ἀττικὴν ἔπειθον· ἀνθισταμένων δὲ ἄλλων τε αὐτοῖς καὶ οὐχ ἥκιστα τῶν ἐκ Λακεδαίμονος, ἀνεχώρησεν ὀπίσω τὸ στράτευμα.

XII. Ὠρώπιοι δὲ καὶ ὠφελείας σφίσιν οὐ γενομένης (τῆς βοηθείας) τῆς παρὰ Ἀχαιῶν, ὅμως ὑπὸ Μεναλκίδα τὰ χρήματα ἐξεπράχθησαν. ὁ δὲ ὡς τὸ δωροδόκημα εἶχεν ἐν χειρί, ἐποιεῖτο συμφορὰν εἰ καὶ Καλλικράτει μεταδώσει τῶν λημμάτων. τὰ μὲν δὴ πρῶτα ἀναβολαῖς καὶ ἀπάταις ἐχρῆτο ἐς τὴν δόσιν, μετὰ δὲ οὐ πολὺ ἐτόλμησεν ἀποστερεῖν ἐκ τοῦ εὐθέος. βεβαιοῖ δὴ τὸ λεγόμενον ὡς
552 ἄρ' ἦν καὶ πῦρ ἐς πλέον ἄλλου πυρὸς καῖον καὶ λύκος 2
ἀγριώτερος λύκων ἄλλων καὶ ὠκύτερος ἱέραξ ἱέρακος πέτεσθαι, εἴγε καὶ Καλλικράτην ἀνοσιώτατον τῶν τότε Μεναλκίδας ὑπερῆρεν ἀπιστίᾳ, Καλλικράτην, ὃς ἐλάσσων παντοίου λήμματος, καὶ ἐπὶ οὐδενὶ οἰκείῳ κέρδει πόλει τῇ Ἀθηναίων ἀπηχθημένος, παυσάμενον [μὲν] τῆς ἀρχῆς Μεναλκίδαν ἐδίωκεν ἐν τοῖς Ἀχαιοῖς θανάτου δίκην· πρεσβεῦσαί τε γὰρ Ἀχαιῶν ἐναντία ἔφασκεν αὐτὸν ἐς Ῥώμην, καὶ ἐς τὰ μάλιστα γενέσθαι πρόθυμον ἐξελέσθαι τὴν Σπάρτην συνεδρίου τοῦ Ἀχαιῶν. Ἐνταῦθα 3
ὡς ἀφικνεῖτο ἐς πᾶν ὁ Μεναλκίδας κινδύνου, μεταδίδωσι τάλαντα τρία τῶν ἐξ Ὠρωποῦ Μεγαλοπολίτῃ Διαίῳ. ἐγεγόνει δὲ αὐτῷ καὶ ἀρχῆς διάδοχος τῆς Ἀχαιῶν ὁ Δίαιος· τότε δὲ ὑπὲρ τοῦ λήμματος προθυμούμενος ἔμελλε Με-

ναλκίδᾳ καὶ ἀκόντων Ἀχαιῶν σωτηρίαν παρέξειν. Ἀχαιοὶ
δὲ ἐπὶ μὲν τῇ ἀφέσει τοῦ Μεναλκίδα ἰδίᾳ τε ἕκαστος καὶ
ἐν κοινῷ Δίαιον ἐποιοῦντο ἐν αἰτίᾳ· 2. Δίαιος δὲ σφᾶς
ἀπὸ τῶν ἐς αὐτὸν ἐγκλημάτων μετῆγεν ἐς πραγμάτων
ἐλπίδα μειζόνων, προφάσει χρώμενος τοιᾷδε ἐς τὴν ἀπά-
4 την. Λακεδαιμόνιοι περὶ ἀμφισβητησίμου χώρας κατα-
φεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλήν· καταφεύγουσι δὲ
αὐτοῖς προεῖπεν ἡ βουλὴ δικάζεσθαι τὰ ἄλλα πλὴν ψυχῆς
ἐν συνεδρίῳ τῷ Ἀχαιῶν. ἡ μὲν δὴ ταῦτα ἀπεκρίνατο·
Δίαιος δὲ οὐ τὸν ὄντα ἔλεγεν Ἀχαιοῖς λόγον, ψυχαγω-
γῶν δὲ αὐτοὺς ἔφασκε παρὰ τῆς Ῥωμαίων σφίσιν ἐφεῖ-
σθαι βουλῆς καὶ θάνατον ἀνδρὸς καταγνῶναι τῶν ἐκ
5 Σπάρτης. Οἱ μὲν δὴ δικάζειν Λακεδαιμονίοις ἠξίουν
καὶ ὑπὲρ τῆς ἑκάστου ψυχῆς· Λακεδαιμόνιοι δὲ οὔτε
ἀληθῆ συνεχώρουν Δίαιον λέγειν, καὶ ἀνάγειν ἤθελον
ἐπὶ τὴν Ῥωμαίων βουλήν. Ἀχαιοὶ δὲ ἀντελαμβάνοντο 553
αὖθις ἄλλου λόγου, πόλεις ὅσαι τελοῦσιν ἐς Ἀχαιοὺς
μηδεμίαν ἐφ᾽ ἑαυτῆς καθεστηκέναι κυρίαν ἄνευ τοῦ κοι-
νοῦ τοῦ Ἀχαιῶν παρὰ Ῥωμαίους ἰδίᾳ πρεσβείαν ἀποστέλ-
6 λειν. Πόλεμός τε δὴ ἀπὸ τῶν ἀμφισβητημάτων τούτων
Ἀχαιοῖς καὶ Λακεδαιμονίοις ἤρχετο, καὶ Λακεδαιμόνιοι
συνιέντες οὐκ ἀξιόμαχοι πρὸς Ἀχαιοὺς εἶναι πρεσβείαις
ἐχρῶντο πρὸς τὰς πόλεις αὐτῶν καὶ ἰδίᾳ πρὸς τὸν Δίαιον
λόγοις. Αἱ μὲν δὴ κατὰ τὰ αὐτὰ αἱ πόλεις ἐποιοῦντο τὰς
ἀποκρίσεις, οὔ σφισιν ἔξοδον ἐπαγγέλλοντος στρατηγοῦ
παρακούειν εἶναι νόμον· Δίαιος γὰρ ἦρχε τῶν Ἀχαιῶν,
καὶ ἔφασκεν οὐ τῇ Σπάρτῃ, τοῖς δὲ ταράσσουσιν αὐτὴν
7 πολεμήσων ἀφίξεσθαι. Ἐρομένων δὲ τῶν γερόντων ὁπό-
σους ἡγοῖτο ἀδικεῖν, ἐσπέμπει σφίσι τεσσάρων ὀνόματα
ἀνδρῶν καὶ εἴκοσι πρωτευόντων τὰ πάντα ἐν Σπάρτῃ.
Ἐνταῦθα Ἀγασισθένους ἐνίκησε γνώμη δοκίμου καὶ τὰ
πρότερα ὄντος, ἀπὸ δὲ τῆς παραινέσεως τούτης προελ-

θόντος καὶ ἐς πλέον δόξης· ὃς τοὺς ἄνδρας τούτους ἐκέ-
λευσεν ἐκ Λακεδαίμονος ἐθελοντὰς φεύγειν, μηδὲ αὐτοῦ
μένοντας ἐργάσασθαι τῇ Σπάρτῃ πόλεμον· φυγόντας δὲ
ἐς Ῥώμην καταχθήσεσθαι σφᾶς οὐ μετὰ πολὺ ἔφασκεν
ὑπὸ Ῥωμαίων. καὶ οἱ μὲν ἀπελθόντες ὑπήγοντο ὑπὸ 8
Σπαρτιατῶν ἐς δικαστήριον τῷ λόγῳ, καὶ ἀποθανεῖν
ἦσαν κατεγνωσμένοι· ἀπεστάλησαν δὲ καὶ ὑπὸ Ἀχαιῶν
Καλλικράτης ἐς Ῥώμην καὶ Δίαιος τοῖς φεύγουσιν ἐκ
Σπάρτης ἀντιδικήσοντες ἐπὶ τῆς βουλῆς. καὶ αὐτῶν ὁ
μὲν κατὰ τὴν ὁδὸν Καλλικράτης τελευτᾷ νόσῳ, οὐδὲ
οἶδα εἰ ἀφικόμενος ἐς Ῥώμην ὠφέλησεν ἄν τι Ἀχαιοὺς ἢ
κακῶν σφίσιν ἐγένετο μειζόνων ἀρχή· Δίαιος δὲ ἐς ἀντι-
λογίαν Μεναλκίδᾳ καταστὰς ἐπὶ τῆς βουλῆς πολλὰ μὲν
εἶπε, τὰ δὲ ἤκουσεν οὐ σὺν κόσμῳ. καί σφισιν ἀπεκρί- 9
νατο ἡ βουλὴ ἀποστελεῖν πρέσβεις, οἳ κρινοῦσιν ὅσα Λα-
κεδαιμονίοις καὶ Ἀχαιοῖς διάφορα ἦν ἐς ἀλλήλους. καὶ
τοῖς ἐκ Ῥώμης πρέσβεσι σχολαιτέρα πως ἐγίνετο ἡ ὁδός,
554 ὥστ' ἐξαπατᾶν ὑπῆρχεν ἐξ ἀρχῆς Διαίῳ τε Ἀχαιοὺς καὶ
Μεναλκίδᾳ Λακεδαιμονίους. Τοὺς μὲν δὴ παρῆγεν ὁ
Δίαιος ὡς τὰ πάντα ἕπεσθαι Λακεδαιμόνιοί σφισιν ὑπὸ
τῆς Ῥωμαίων βουλῆς εἰσὶν ἐγνωσμένοι· Λακεδαιμονίους
δὲ ὁ Μεναλκίδας ἠπάτα παντελῶς τοῦ συνεδρεύειν ἐς τὸ
Ἀχαϊκὸν ὑπὸ Ῥωμαίων αὐτοὺς ἀπηλλάχθαι.

XIII. Αὖθις οὖν ἐκ τῶν ἀντιλογιῶν Λακεδαιμονίοις
ὥρμηντο Ἀχαιοὶ πολεμεῖν, καὶ στρατὸς ἐπὶ τὴν Σπάρτην
ἠθροίζετο ὑπὸ Δαμοκρίτου στρατηγεῖν τηνικαῦτα Ἀχαιῶν
ᾑρημένου. περὶ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ἀφίκετο ἐς
Μακεδονίαν στρατιά τε Ῥωμαίων καὶ ἡγεμὼν ἐπ' αὐτῇ
Μέτελλος, Ἀνδρίσκῳ τῷ Περσέως τοῦ Φιλίππου πολεμή-
σοντες ἀφεστηκότι ἀπὸ Ῥωμαίων. Καὶ ὁ μὲν ἐν Μακεδο-
νίᾳ πόλεμος ἔμελλεν ὡς ῥᾷστα κατὰ τὸ ἐπιτηδειότατον
Ῥωμαίοις κριθήσεσθαι· Μέτελλος δὲ ἄνδρας ὑπὸ τῆς 2

Ῥωμαίων ἀπεσταλμένους βουλῆς ἐπὶ τὰ ἐν τῇ Ἀσίᾳ πράγματα ἐκέλευε, πρὶν ἢ ἐς τὴν Ἀσίαν διαβῆναι τοῖς ἡγεμόσιν αὐτοὺς τοῖς Ἀχαιῶν ἐς λόγους ἐλθεῖν, ὅπλα μὲν ἐπὶ τὴν Σπάρτην μὴ ἐπιφέρειν σφίσιν ἀπαγορεύσοντας, τὴν δὲ ἐκ Ῥώμης παρουσίαν τῶν ἀνδρῶν προεροῦντας μένειν, οἳ κατὰ τοῦτο ἦσαν ἀπεσταλμένοι Λακεδαιμο-
3 νίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι. Οἱ μὲν δὴ τὰ ἐντεταλμένα Δαμοκρίτῳ καὶ Ἀχαιοῖς ἐπήγγελλον ἐφθακόσιν ἔξοδον ἐπὶ Λακεδαίμονα πεποιῆσθαι, καί, ἑώρων γὰρ πρὸς τὴν παραίνεσιν ἀνθεστηκότα τὰ Ἀχαιῶν, ἀπηλλάσσοντο ἐς τὴν Ἀσίαν· 2. Λακεδαιμόνιοι δὲ ὑπὸ φρονήματος μᾶλλον ἢ ἰσχύος ἔλαβον μὲν τὰ ὅπλα καὶ ἐπεξῆλθον ἀμυνοῦντες τῇ οἰκείᾳ, βιασθέντες δὲ οὐ μετὰ πολύ, ὅσον μὲν ἐς χιλίους οἱ ἡλικίᾳ μάλιστα αὐτῶν καὶ τόλμαις ἀκμάζοντες πίπτουσιν ἐν τῇ μάχῃ, τὸ δὲ ἄλλο στρατιωτικόν, ὡς ἕκαστος τάχους εἶχεν, ἔφευγον πρὸς
4 τὴν πόλιν. Εἰ δὲ ὁ Δαμόκριτος προθυμίαν ἐποιήσατο, τοῖς φεύγουσιν ἐκ τῆς παρατάξεως ὁμοῦ καὶ Ἀχαιοῖς ἐσ- 555
δραμεῖν ὑπῆρξεν ἂν ἐς τὸ τεῖχος [τῆς Σπάρτης]· νῦν δὲ αὐτίκα τε ἀνεκάλεσεν ἀπὸ τῆς διώξεως τοὺς Ἀχαιούς, καὶ ἐχρῆτο καὶ ἐς τὸ ἔπειτα καταδρομαῖς μᾶλλον καὶ ἁρ-
5 παγαῖς ἐκ τῆς χώρας ἢ συντόνῳ πολιορκίᾳ. 3. Δαμοκρίτῳ μὲν οὖν ἀπαγαγόντι ὀπίσω τὴν στρατιὰν ἐπιβάλλουσιν οἱ Ἀχαιοὶ ζημίαν πεντήκοντα ἅτε ἀνδρὶ προδότῃ τάλαντα· καί, οὐ γὰρ εἶχεν ἐκτῖσαι, φεύγων ᾤχετο ἐκ Πελοποννήσου. 4. Δίαιος δὲ Ἀχαιῶν μετὰ Δαμόκριτον στρατηγεῖν ᾑρημένος ἀποστείλαντι αὖθις Μετέλλῳ πρέσβεις ὡμολόγησε μηδένα ἐπάξειν Λακεδαιμονίοις πόλεμον, ἀλλὰ ἔστ' ἂν ἥκωσιν ἐκ Ῥώμης, ἀναμενεῖν τοὺς διαλ-
6 λακτάς. Στρατήγημα δὲ ἄλλο ἐς τοὺς Λακεδαιμονίους παρεῦρε τοιόνδε· τὰ ἐν κύκλῳ τῆς Σπάρτης πολίσματα ἐς τὴν Ἀχαιῶν ὑπηγάγετο εὔνοιαν, ἐσήγαγε δὲ ἐς αὐτὰ

καὶ φρουράς, ὁρμητήρια ἐπὶ τὴν Σπάρτην Ἀχαιοῖς εἶναι.
5. Μεναλκίδας δὲ ᾕρητο μὲν ὑπὸ Λακεδαιμονίων ἐναντία 7
Διαίῳ στρατηγεῖν· ἐχόντων δὲ αὐτῶν ἔς τε τὴν πᾶσαν πολέμου παρασκευὴν καὶ οὐχ ἥκιστα τοῖς χρήμασιν ἀσθενῶς, πρὸς δὲ καὶ τῆς γῆς σφίσιν ἀσπόρου μεμενηκυίας δι *** ας ὅμως τὰς σπονδὰς ὑπερβῆναι, καὶ πόλισμα Ἴασον ἑλὼν ἐξ ἐπιδρομῆς ἐπόρθησεν, ἐν ὅροις μὲν χώρας τῆς Λακωνικῆς, Ἀχαιῶν δὲ ἐν τῷ τότε ὑπήκοον. Ἐξεγεί- 8
ρας δὲ αὖθις Λακεδαιμονίοις καὶ Ἀχαιοῖς πόλεμον ἐν ἐγκλήμασί τε ἦν ὑπὸ τῶν πολιτῶν, καί, οὐ γάρ τινα ἐκ τοῦ προσδοκωμένου κινδύνου Λακεδαιμονίοις σωτηρίαν εὕρισκεν, ἀφίησιν ἑκουσίως τὴν ψυχὴν πιὼν φάρμακον. καὶ Μεναλκίδᾳ μὲν τέλος τοιοῦτον ἐγένετο, ἄρξαντι ἐν τῷ [ἑαυτοῦ νῷ] τότε μὲν Λακεδαιμονίων ὡς ἂν ὁ ἀμαθέστατος στρατηγός, πρότερον δὲ ἔτι τοῦ Ἀχαιῶν ἔθνους ὡς [ἂν] ἀνθρώπων ὁ ἀδικώτατος.

556 XIV. Ἀφίκοντο δὲ ἐς τὴν Ἑλλάδα καὶ οἱ ἀποσταλέντες ἐκ Ῥώμης Λακεδαιμονίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι, ἄλλοι τε καὶ Ὀρέστης ** τούς τε ἐν ἑκάστῃ πόλει τῶν Ἀχαιῶν ἔχοντας τὰς ἀρχὰς καὶ Δίαιον ἐκάλει παρ' αὐτόν. Ἀφικομένοις δὲ ἔνθα ἔτυχεν αὐτὸς ἐσῳκισμένος, ἀπεγύμνου τὸν πάντα σφίσιν ἤδη λόγον, ὡς δίκαια ἡγοῖτο ἡ Ῥωμαίων βουλὴ μήτε Λακεδαιμονίους τελεῖν ἐς τὸ Ἀχαϊκόν, μήτε αὐτὴν Κόρινθον, ἀφεῖσθαι δὲ καὶ Ἄργος καὶ Ἡράκλειαν τὴν πρὸς Οἴτῃ καὶ Ὀρχομενίους Ἀρκάδας συνεδρίου τοῦ Ἀχαιῶν· γένους τε γὰρ αὐτοῖς οὐδὲν τοῦ Ἀχαιῶν μετεῖναι, καὶ ὕστερον τὰς πόλεις προσχωρῆσαι ταύτας πρὸς τὸ Ἀχαϊκόν. 2. Ταῦτα Ὀρέστου 2
λέγοντος οἱ ἄρχοντες τῶν Ἀχαιῶν, οὐδὲ τὸν πάντα ὑπομείναντες ἀκοῦσαι λόγον, ἔθεον ἐς τὸ ἐκτὸς τῆς οἰκίας καὶ ἐκάλουν Ἀχαιοὺς ἐς ἐκκλησίαν. Οἱ δὲ ὡς τὰ ἐγνωσμένα ἐπύθοντο ὑπὸ Ῥωμαίων, αὐτίκα ἐτρέποντο ἐπὶ

τους Σπαρτιάτας οἳ Κορίνθῳ τότε ἔτυχον ἐπιδημοῦντες. συνήρπαξον δὲ πάντα τινά, καὶ ὃν Λακεδαιμόνιον σαφῶς ὄντα ἠπίσταντο, καὶ ὅτῳ κουρᾶς ἢ ὑποδημάτων ἕνεκα ἢ ἐπὶ τῇ ἐσθῆτι ἢ κατ' ὄνομα προσγένοιτο ὑπόνοια· τοὺς δὲ αὐτῶν καὶ καταφυγεῖν ἔνθα Ὀρέστης ᾤκει φθάνοντας
3 ὅμως καὶ ἐντεῦθεν ἐβιάζοντο ἕλκειν. Ὀρέστης δὲ καὶ οἱ σὺν αὐτῷ τῆς τε τόλμης ἐπέχειν τοὺς Ἀχαιοὺς ἐπειρῶντο, καὶ ἐκέλευον μεμνῆσθαι σφᾶς ὡς ἀδικημάτων καὶ ὕβρεως ἄρχουσιν ἐς Ῥωμαίους. Ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς οἱ Ἀχαιοὶ Λακεδαιμονίων μὲν αὐτῶν ὅσους εἶχον συνειληφότες, κατατίθενται σφᾶς ἐς δεσμωτήριον, τοὺς ξένους δὲ ἀπ' αὐτῶν διακρίνοντες ἠφίεσαν. ἀποστέλλουσι δὲ καὶ ἐς Ῥώμην ἄλλους τε Ἀχαιῶν τῶν ἐν τέλει καὶ Θεαρίδαν· ὡς δὲ ἀπῆλθον, ἐντυχόντες κατὰ τὴν ἄνοδον Ῥωμαίων πρέσβεσιν ἐπὶ τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν ὕστερον ἢ Ὀρέστης ἀπεσταλμένοις, ὀπίσω καὶ αὐτοὶ
4 τρέπονται. Διαίῳ δὲ ἐξήκοντος τοῦ χρόνου τῆς ἀρχῆς στρατηγεῖν ὑπὸ Ἀχαιῶν ᾑρέθη Κριτόλαος. 3. Τοῦτον δριμὺς καὶ σὺν οὐδενὶ λογισμῷ τὸν Κριτόλαον πολεμεῖν πρὸς Ῥωμαίους ἔρως ἔσχε· καί, ἔτυχον γὰρ τότε ἤδη οἱ 557
παρὰ Ῥωμαίων ἥκοντες τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν δικάσαι, ἀφίκετο μὲν ἐν Τεγέᾳ τῇ Ἀρκάδων τοῖς ἀνδράσιν ἐς λόγους ὁ Κριτόλαος, ἀθροῖσαι δὲ Ἀχαιούς σφισιν ἐς κοινὸν σύλλογον οὐδαμῶς ἤθελεν, ἀλλὰ ἐς μὲν ἐπήκοον τῶν Ῥωμαίων ἔπεμπεν ἀγγέλους κελεύων τοὺς συνέδρους καλεῖν ἐς τὸ Ἀχαϊκόν, ἰδίᾳ δὲ τοῖς συνέδροις ἐπέστελλεν ἐς τὰς πόλεις ἀπολείπεσθαι σφᾶς τοῦ συλλό-
5 γου. ὡς δὲ οὐκ ἀφίκοντο οἱ συνεδρεύσοντες, ἐνταῦθα ὁ Κριτόλαος μάλιστα ἐπεδείκνυτο ἀπάτῃ πρὸς Ῥωμαίους χρώμενος, ὃς ἄλλην ἐκέλευεν ἀναμένειν αὐτοὺς Ἀχαιῶν σύνοδον, ἐς μῆνα ἐσομένην ἕκτον· αὐτὸς δὲ οὐδὲν ἰδίᾳ διαλέξεσθαί σφισιν ἄνευ τοῦ κοινοῦ τοῦ Ἀχαιῶν ἔφασκε.

καὶ οἱ μὲν ἐπεὶ ἀπατώμενοι συνῆκαν, ἀπηλλάσσοντο ἐς Ῥώμην· 4. Κριτόλαος δὲ ἐς Κόρινθον Ἀχαιοὺς ἀθροίσας ἀνέπεισε μὲν ἐπιφέρειν ὅπλα ἐπὶ τὴν Σπάρτην, ἀνέπεισε δὲ καὶ Ῥωμαίοις ἐκ τοῦ εὐθέος πόλεμον ἄρασθαι. τὸ μὲν 6
δὴ ἄνδρα βασιλέα καὶ πόλιν ἀνελέσθαι πόλεμον καὶ μὴ εὐτυχῆσαι συνέβη φθόνῳ μᾶλλον ἔκ του δαιμόνων ἢ τοῖς πολεμήσασι ποιεῖ τὸ ἔγκλημα· θρασύτης δὲ ἡ μετὰ ἀσθενείας μανία ἂν μᾶλλον ἢ ἀτυχία καλοῖτο. ὃ δὴ καὶ Κριτόλαον καὶ Ἀχαιοὺς ἔβλαψε. Παρώξυνε δὲ καὶ Ἀχαιοὺς Πυθέας βοιωταρχῶν τηνικαῦτα ἐν Θήβαις, καὶ οἱ Θηβαῖοι συνεπιλήψεσθαι προθύμως ἐσηγγέλλοντο τοῦ πολέμου. Ἑαλώκεσαν δὲ οἱ Θηβαῖοι δίκην Μετέλλου δικά- 7
ζοντος, πρώτην Φωκεῦσιν ἐκτῖσαι ζημίαν, ὅτι ἐσέβαλον σὺν ὅπλοις ἐς γῆν τὴν Φωκίδα, δευτέραν Εὐβοεῦσιν, ἐδῄωσαν γὰρ καὶ Εὐβοέων τὴν χώραν, τρίτην δὲ Ἀμφισσεῦσι, τεμόντες καὶ τὴν Ἀμφισσέων περὶ ἀκμὴν σίτου.

XV. Ῥωμαῖοι δὲ παρά τε τῶν ἀνδρῶν διδαχθέντες οὓς ἐς τὴν Ἑλλάδα ἀπέστειλαν, καὶ ἐκ τῶν γραμμάτων ἃ Μέτελλος ἐπέστελλεν, ἀδικεῖν Ἀχαιῶν κατέγνωσαν· καί, ἦν γὰρ Μόμμιός σφισιν ὕπατος τότε ᾑρημένος, τοῦτον ναῦς τε καὶ στρατιὰν πεζὴν ἐκέλευον ἐπ' Ἀχαιοὺς ἄγειν.
558 Μέτελλος δὲ παραυτίκα ἐπέπυστο ὡς Μόμμιος καὶ ὁ σὺν αὐτῷ στρατὸς ἐπὶ Ἀχαιοὺς ἀφικνοῖτο, καὶ ἐποιεῖτο σπουδὴν εἰ ἐπιθεὶς αὐτὸς πέρας τῷ πολέμῳ φθάνῃ πρὶν ἢ Μόμμιον ἐς τὴν Ἑλλάδα ἀφῖχθαι. Ἀγγέλους οὖν παρὰ 2
τοὺς Ἀχαιοὺς ἀπέστελλεν, ἀφιέναι κελεύων σφᾶς συντελείας Λακεδαιμονίους καὶ πόλεις ἄλλας ὁπόσας εἴρητο ὑπὸ Ῥωμαίων, τῆς τε ἐκ τοῦ χρόνου τοῦ προτέρου σφίσιν ἀπειθείας οὐδεμίαν παρὰ Ῥωμαίων ὑπισχνεῖτο ὀργὴν γενήσεσθαι. ἅμα τε δὴ ταῦτα ἐπεκηρυκεύετο καὶ ἤλαυνεν ἐκ Μακεδονίας τὸν στρατόν, διὰ Θεσσαλίας τὴν πορείαν καὶ παρὰ τὸν Λαμιακὸν ποιούμενος κόλπον. 2. Κριτό-

*λαος δὲ καὶ Ἀχαιοὶ λόγον μὲν φέροντα ἐς σύμβασιν προ-
σίεντο οὐδένα, Ἡράκλειαν δὲ προσεκάθηντο πολιορκοῦν-
3 τες οὐ βουλομένους ἐς τὸ Ἀχαϊκὸν συντελεῖν. τότε δὲ ὡς
παρὰ τῶν κατασκόπων ἐπυνθάνετο ὁ Κριτόλαος Μέτελ-
λον καὶ Ῥωμαίους διαβεβηκέναι τὸν Σπερχειόν, ἀπέφευ-
γεν ἐς Σκάρφειαν τὴν Λοκρῶν, οὐδὲ κατὰ τὸ στενὸν τὸ
Ἡρακλείας τε μεταξὺ καὶ Θερμοπυλῶν τοὺς Ἀχαιοὺς τά-
ξας ἐτόλμησεν ὑπομεῖναι Μέτελλον· ἀλλὰ ἐς τοσοῦτο
ἀφίκετο δείματος ὡς μηδὲ αὐτὸ ποιήσασθαι τὸ χωρίον
πρὸς ἀμείνονος ἐλπίδος, ἔνθα ἦν μὲν Λακεδαιμονίοις
ὑπὲρ τῶν Ἑλλήνων τὰ ἐς Μήδους, ἦν δὲ καὶ Ἀθηναίοις
τὰ ἐς Γαλάτας οὐδὲν ἀφανέστερα ἐκείνων τολμήματα.
4 3. Ὑποφεύγοντας δὲ Κριτόλαον καὶ Ἀχαιοὺς αἱροῦσιν
ὀλίγον πρὸ τῆς Σκαρφείας οἱ ὁμοῦ τῷ Μετέλλῳ, καὶ
ἀπέκτεινάν τε πλήθει πολλοὺς καὶ ἔλαβον ζῶντας ὅσον
χιλίους. Κριτόλαος δὲ οὔτε ὤφθη ζῶν μετὰ τὴν μάχην,
οὔτε ἐν τοῖς νεκροῖς εὑρέθη· εἰ δὲ ἐτόλμησε τῆς πρὸς τῇ
Οἴτῃ θαλάσσης ἐς ταύτης καταδῦναι τὸ τέλμα, παντάπα-
σιν ἔμελλεν ἄγνωστός τε καὶ ἄπυστος οἰχήσεσθαι κατὰ
5 τοῦ βυθοῦ. Ἐς μὲν οὖν τὴν Κριτολάου τελευτὴν καὶ
ἄλλα πάρεστιν εἰκάζειν· Ἀρκάδων δὲ ἐξεστρατευμένοι
λογάδες χίλιοι, οἳ Κριτολάῳ τοῦ ἔργου μετέσχον, προῆλ- 559
θον μὲν ἄχρι Ἐλατείας τῆς Φωκέων, καὶ ἐς τὴν πόλιν ὑπ'
αὐτῶν κατὰ συγγένειαν δή τινα παλαιὰν ἐδέχθησαν· ὡς
δὲ τοῖς Φωκεῦσιν ἡ Κριτολάου συμφορὰ καὶ Ἀχαιῶν
ἀπηγγέλλετο, ἀπελθεῖν ἐκ τῆς Ἐλατείας κελεύουσι τοὺς
6 Ἀρκάδας. Ἀπιοῦσι δὲ ὀπίσω σφίσιν ἐς τὴν Πελοπόννη-
σον Μέτελλος καὶ Ῥωμαῖοι περὶ Χαιρώνειαν ἐπιφαίνον-
ται. ἔνθα δὴ ἐπελάμβανε τοὺς Ἀρκάδας ἐκ θεῶν δίκη
τῶν Ἑλληνικῶν, οἳ ἐν Χαιρωνείᾳ Φιλίππου καὶ Μακε-
δόνων ἐναντία ἀγωνιζομένους ἐγκαταλιπόντες Ἕλληνας
τότε ἐν χωρίῳ τῷ αὐτῷ ἐκτείνοντο ὑπὸ Ῥωμαίων.*

4. Ἀχαιοῖς δὲ αὖθις ἐπὶ τὴν ἡγεμονίαν τοῦ στρα- 7
τεύματος παρήει Δίαιος· καὶ δούλους τε ἐς ἐλευθερίαν ἠφίει, τὸ Μιλτιάδου καὶ Ἀθηναίων βούλευμα πρὸ τοῦ ἔργου τοῦ ἐν Μαραθῶνι μιμούμενος, καὶ Ἀχαιῶν συνέλεγε καὶ Ἀρκάδων ἀπὸ τῶν πόλεων τοὺς ἐν ἡλικίᾳ. Ἐγένετο δέ, ἀναμεμιγμένων ὁμοῦ καὶ οἰκετῶν, τὸ ἀθροισθὲν ἐς ἑξακοσίους μὲν μάλιστα ἀριθμὸν ἱππεῖς, τὸ δὲ ὁπλι-
τεῦον τετρακισχίλιοί τε καὶ μύριοι. Ἐνταῦθα ὁ Δίαιος ἐς 8
ἅπαν ἀφίκετο ἀνοίας, ὃς Κριτόλαον καὶ πᾶσαν τὴν Ἀχαιῶν ἐπιστάμενος παρασκευὴν κακῶς οὕτως ἀγωνισαμένην πρὸς Μέτελλον, ἀπέλεξεν αὐτὸς ὅσον τετρακισχιλίους, καὶ ἄρχοντα ἐπ᾽ αὐτοῖς ἔταξεν Ἀλκαμένην. ἀπεστέλλοντο δὲ ἐς Μέγαρα, φρουρά τε εἶναι Μεγαρεῦσι τοῦ ἄστεως, καὶ ἢν Μέτελλος ἐπίῃ καὶ οἱ Ῥωμαῖοι, τοῦ πρόσω σφᾶς
κωλύειν. 5. Μέτελλος δὲ ὡς οἱ περὶ Χαιρώνειαν λογάδες 9
κατέστρωντο οἱ Ἀρκάδων, ἀναστήσας τὸ στράτευμα ἤλαυνεν ἐπὶ τὰς Θήβας· Ἡράκλειάν τε γὰρ ἐπολιόρκησαν οἱ Θηβαῖοι μετὰ Ἀχαιῶν, καὶ ἀγῶνος τοῦ πρὸς Σκάρφειαν μετεσχήκεσαν. Τότε δὲ αὐτοί τε καὶ γυναῖκες ἐκλελοιπότες, πᾶσα ἡλικία, τὴν πόλιν ἐπλανῶντο ἀνὰ τὴν
Βοιωτίαν καὶ ἐς τῶν ὀρῶν τὰ ἄκρα ἀνέφευγον. Μέτελλος 10
δὲ οὔτε ἱερὰ ἐμπιπράναι θεῶν οὔτε οἰκοδομήματα καθαιρεῖν εἴα, Θηβαίων τε τῶν ἄλλων μήτε ἀποκτεῖναι μηδένα,
560 μήτε αἱρεῖν φεύγοντα ἀπηγόρευε· Πυθέαν δὲ ἢν ἕλωσιν, ἀνάγειν ἐκέλευσεν ὡς αὐτόν. Ἐξευρητό τε δὴ αὐτίκα ὁ Πυθέας, καὶ ἀναχθεὶς δίκην εἶχεν. Ὡς δὲ πλησίον Μεγάρων ἐγίνετο ὁ στρατός, οὔτε ὑπέμειναν οἱ περὶ τὸν Ἀλκαμένην, καὶ αὐτίκα ἐς Κόρινθον παρὰ τὸ στρατόπε-
δον τὸ Ἀχαιῶν ᾤχοντο φεύγοντες. καὶ Μεγαρεῖς μὲν 11
παραδιδόασιν ἀμαχεὶ Ῥωμαίοις τὴν πόλιν, Μέτελλος δὲ ὡς ἀφίκετο παρὰ τὸν Ἰσθμόν, ἐπεκηρυκεύετο καὶ τότε Ἀχαιοῖς ἐς εἰρήνην καὶ ὁμολογίαν προκαλούμενος· ἰσχυ-

ρὸς γάρ τις ἐνέκειτο αὐτῷ πόθος τὰ ἐν Μακεδονίᾳ τε ὁμοῦ καὶ τὰ Ἀχαιῶν κατεργασθῆναι δι' αὐτοῦ. τούτῳ μὲν ταῦτα ἐσπευκότι Δίαιος ἠναντιοῦτο ὑπὸ ἀγνωμοσύνης.

XVI. Μόμμιος δὲ Ὀρέστην ἅμα ἀγόμενος, τὸν πρότερον ἐπὶ τῇ Λακεδαιμονίων διαφορᾷ καὶ Ἀχαιῶν ἐλθόντα, ἀφίκετο μὲν περὶ ὄρθρον ἐς τὸ τῶν Ῥωμαίων στράτευμα, ἀποπέμψας δὲ ἐς Μακεδονίαν Μέτελλον καὶ ὅσον εἵπετο ἐκείνῳ, ἀνέμενεν αὐτὸς ἐν τῷ Ἰσθμῷ τὴν πᾶσαν ἀθροισθῆναι παρασκευήν. Ἀφίκετο δὲ ἱππικὸν μὲν πεντακόσιοί τε καὶ τρισχίλιοι, τοῦ πεζοῦ δὲ ἀριθμὸς ἐγένετο ἐς μυριάδας δύο, προσόντων καὶ τούτοις τρισχιλίων· ἐπῆλθον δὲ καὶ τοξόται Κρῆτες καὶ ἐκ Περγάμου τῆς ὑπὲρ Καΐκου Φιλοποίμην στρατιώτας ἄγων παρὰ
2 Ἀττάλου. Μόμμιος μὲν δὴ τῶν τε ἐξ Ἰταλίας τινὰς καὶ τὰ ἐπικουρικὰ ἀπωτέρω δύο τε καὶ δέκα ἔταξε σταδίοις, πρὸ τοῦ παντὸς εἶναι στρατεύματος φυλακήν· 2. Ἀχαιοὶ δέ, ἐχόντων ἀφυλακτότερον ὑπὸ φρονήματος τῶν Ῥωμαίων, ἐπιτίθενται ἐπὶ φυλακῆς αὐτοῖς τῆς πρώτης, καὶ τοὺς μὲν φονεύουσι, πλείονας δὲ ἔτι ἐς τὸ στρατόπεδον κατεῖρξαν, καὶ ἀσπίδας ὅσον τε πεντακοσίας εἷλον. Ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ ἐπήρθησαν οἱ Ἀχαιοὶ ποιήσασθαι τὴν ἔξοδον πρότερον πρὶν ἢ Ῥωμαίους ἄρχειν μάχης.
3 Ὡς δὲ ἀντεπῆγε καὶ ὁ Μόμμιος, οἱ μὲν ἐς τὸ ἱππικὸν τῶν Ἀχαιῶν ταχθέντες αὐτίκα ᾤχοντο φεύγοντες, τῆς Ῥωμαίων ἵππου μηδὲ τὴν πρώτην ἔφοδον ὑπομείναντες· ὁ δὲ πεζὸς στρατὸς ἀθύμως μὲν εἶχεν ἐπὶ τῶν ἱππέων τῇ τροπῇ, δεξάμενοι δὲ τὴν ἐμβολὴν τοῦ ὁπλιτικοῦ τοῦ Ῥωμαίων, βιαζόμενοί τε τῷ πλήθει καὶ ἀπαγορεύοντες τοῖς τραύμασιν ὅμως ἀντεῖχον ὑπὸ τοῦ θυμοῦ, πρίν γε 561
δὴ Ῥωμαίων λογάδες χίλιοι προσπεσόντες κατὰ τὰ πλά-
4 για ἐς τελέαν τοὺς Ἀχαιοὺς φυγὴν κατέστησαν. Εἰ δὲ

ἐτόλμησεν ἐσδραμεῖν μετὰ τὴν μάχην Δίαιος ἐς Κόριν-
θον καὶ ὑποδέξασθαι τῷ τείχει τοὺς διαπίπτοντας ἐκ τῆς
φυγῆς, κἂν εὕρασθαί τι παρὰ Μομμίου οἱ Ἀχαιοὶ φιλάν-
θρωπον ἐδυνήθησαν, ἐς πολιορκίαν καὶ τριβὴν πολέμου
καταστάντος. 3. νῦν δὲ ἀρχομένων ἔτι ἐνδιδόναι τῶν
Ἀχαιῶν εὐθὺ Μεγάλης πόλεως ἔφευγεν ὁ Δίαιος, οὐδέν
τι γενόμενος ἐς Ἀχαιοὺς ὅμοιος ἢ καὶ Καλλίστρατος ὁ
Ἐμπέδου πρὸς Ἀθηναίους. Τούτῳ γὰρ τῷ ἀνδρὶ ἱππαρ- 5
χήσαντι ἐν Σικελίᾳ, ὅτε Ἀθηναῖοι καὶ ὅσοι ἄλλοι τοῦ
στόλου μετεσχήκεσαν ἀπώλλυντο πρὸς τῷ ποταμῷ τῷ
Ἀσινάρῳ, τούτῳ τότε τῷ Καλλιστράτῳ παρέστη τόλμα
διεκπαῖσαι διὰ τῶν πολεμίων ἄγοντι τοὺς ἱππέας· ὡς δὲ
τὸ πολὺ ἀπέσωσεν αὐτῶν ἐς Κατάνην, ἀνέστρεφεν ὀπίσω
τὴν αὐτὴν αὖθις ὁδὸν ἐς Συρακούσας, διαρπάζοντας δὲ
ἔτι εὑρὼν τὸ Ἀθηναίων στρατόπεδον καταβάλλει τε ὅσον
πέντε ἐξ αὐτῶν, καὶ τραύματα ἐπίκαιρα αὐτὸς καὶ ὁ ἵπ-
πος λαβόντες ἀφιᾶσι τὴν ψυχήν. οὗτος μὲν δὴ ἀγαθὴν 6
δόξαν Ἀθηναίοις καὶ αὑτῷ κτώμενος, περιεποίησέ τε ὧν
ἦρχε καὶ ἐτελεύτησεν αὐτὸς ἑκουσίως· 4. Δίαιος δὲ Ἀχαι-
οὺς ἀπολωλεκὼς Μεγαλοπολίταις κακῶν τῶν ἐφεστηκό-
των ἧκεν ἄγγελος, ἀποκτείνας δὲ αὐτοχειρὶ τὴν γυναῖκα,
ἵνα δὴ μὴ γένοιτο αἰχμάλωτος, τελευτᾷ πιὼν φάρμακον,
ἐοικυῖαν μὲν παρασχόμενος Μεναλκίδᾳ τὴν ἐς χρήματα
562 πλεονεξίαν, ἐοικυῖαν δὲ καὶ [τὴν] ἐς τὸν θάνατον δειλίαν.

5. Ἀχαιῶν δὲ οἱ ἐς Κόρινθον ἀποσωθέντες μετὰ τὴν 7
μάχην ἀπεδίδρασκον ὑπὸ νύκτα εὐθύς· ἀπεδίδρασκον
δὲ καὶ αὐτῶν Κορινθίων οἱ πολλοί. Μόμμιος δὲ τὸ μὲν
παραυτίκα, ἀναπεπταμένων ὅμως τῶν πυλῶν, ἐπεῖχεν
ἐς τὴν Κόρινθον παρελθεῖν, ὑποκαθῆσθαί τινα ἐντὸς
τοῦ τείχους ὑποπτεύων ἐνέδραν· τρίτῃ δὲ ἡμέρᾳ μετὰ
τὴν μάχην ᾕρει τε κατὰ κράτος καὶ ἔκαιε Κόρινθον. τῶν 8
δὲ ἐγκαταληφθέντων τὸ μὲν πολὺ οἱ Ῥωμαῖοι φονεύουσι,

γυναῖκας δὲ καὶ παῖδας ἀπέδοτο Μόμμιος· ἀπέδοτο δὲ
καὶ οἰκέτας, ὅσοι τῶν ἐς ἐλευθερίαν ἀφεθέντων καὶ μα-
χεσαμένων μετὰ Ἀχαιῶν μὴ εὐθὺς ὑπὸ τοῦ πολέμου τὸ
ἔργον ἐτεθνήκεσαν. Ἀναθημάτων δὲ καὶ τοῦ ἄλλου κόσ-
μου τὰ μὲν μάλιστα ἀνήκοντα ἐς θαῦμα ἀνήγετο, τὰ δὲ
ἐκείνοις οὐχ ὁμοίου λόγου Φιλοποίμενι ὁ Μόμμιος τῷ
παρ' Ἀττάλου στρατηγῷ δίδωσι· καὶ ἦν Περγαμηνοῖς
9 καὶ ἐς ἐμὲ ἔτι λάφυρα Κορίνθια. Πόλεων δὲ ὅσαι Ῥω-
μαίων ἐναντία ἐπολέμησαν τείχη μὲν ὁ Μόμμιος κατέλυε
καὶ ὅπλα ἀφῃρεῖτο πρὶν ἢ καὶ συμβούλους ἀποσταλῆναι
παρὰ Ῥωμαίων· 6. ὡς δὲ ἀφίκοντο οἱ σὺν αὐτῷ βουλευ-
σόμενοι, ἐνταῦθα δημοκρατίας μὲν κατέπαυε, καθίστατο
δὲ ἀπὸ τιμημάτων τὰς ἀρχάς. καὶ φόρος τε ἐτάχθη τῇ
Ἑλλάδι, καὶ οἱ τὰ χρήματα ἔχοντες ἐκωλύοντο ἐν τῇ ὑπε-
ρορίᾳ κτᾶσθαι· συνέδριά τε κατὰ ἔθνος τὰ ἑκάστων,
Ἀχαιῶν καὶ τὸ ἐν Φωκεῦσιν ἢ Βοιωτοῖς ἢ ἑτέρωθί που
10 τῆς Ἑλλάδος, κατελέλυτο ὁμοίως πάντα. 7. Ἔτεσι δὲ οὐ
πολλοῖς ὕστερον ἐτράποντο ἐς ἔλεον Ῥωμαῖοι τῆς Ἑλλά- 563
δος, καὶ συνέδριά τε κατὰ ἔθνος ἀποδιδόασιν ἑκάστοις
τὰ ἀρχαῖα καὶ τὸ ἐν τῇ ὑπερορίᾳ κτᾶσθαι. ἀφῆκαν δὲ καὶ
ὅσοις ἐπιβεβλήκει Μόμμιος ζημίαν· Βοιωτούς τε γὰρ
Ἡρακλεώταις καὶ Εὐβοεῦσι τάλαντα ἑκατὸν καὶ Ἀχαιοὺς
Λακεδαιμονίοις διακόσια ἐκέλευσεν ἐκτῖσαι. τούτων μὲν
δὴ ἄφεσιν παρὰ Ῥωμαίων εὕροντο Ἕλληνες, ἡγεμὼν δὲ
ἔτι καὶ ἐς ἐμὲ ἀπεστέλλετο. καλοῦσι δὲ οὐχ Ἑλλάδος, ἀλλ'
Ἀχαΐας ἡγεμόνα οἱ Ῥωμαῖοι, διότι ἐχειρώσαντο Ἕλληνας
δι' Ἀχαιῶν τότε τοῦ Ἑλληνικοῦ προεστηκότων. Ὁ δὲ πό-
λεμος ἔσχεν οὗτος τέλος Ἀντιθέου μὲν Ἀθήνῃσιν ἄρχον-
τος, ὀλυμπιάδι δὲ ἑξηκοστῇ πρὸς ταῖς ἑκατόν, ἣν ἐνίκα
Διόδωρος Σικυώνιος.

XVII. Ἐς ἅπαν δὲ ἀσθενείας τότε μάλιστα κατῆλθεν
ἡ Ἑλλάς, λυμανθεῖσα κατὰ μέρη καὶ διαπορθηθεῖσα ἐξ

ἀρχῆς ὑπὸ τοῦ δαίμονος. Ἄργος μέν, ἐς πλεῖστον ἀφικο-
μένην δυνάμεως πόλιν ἐπὶ τῶν καλουμένων ἡρώων,
ὁμοῦ τῇ μεταβολῇ τῇ ἐς Δωριέας ἐπέλιπε τὸ ἐκ τῆς τύχης
εὐμενές. Τὸ δὲ ἔθνος τὸ Ἀττικόν, ἀπὸ τοῦ Πελοποννη- 2
σίων πολέμου καὶ νόσου τῆς λοιμώδους ἀνενεγκόν τε καὶ
αὖθις ἀνανηξάμενον, ἔτεσιν ἔμελλεν οὐ πολλοῖς ὕστερον
ἡ Μακεδόνων ἀκμὴ καθαιρήσειν. κατέσκηψε δὲ ἐκ Μα-
κεδονίας καὶ ἐς τὰς Βοιωτίας Θήβας τὸ Ἀλεξάνδρου μή-
νιμα. Λακεδαιμονίοις δὲ Ἐπαμεινώνδας ὁ Θηβαῖος καὶ
αὖθις ὁ Ἀχαιῶν πόλεμος ἐγένετο· ὅτε δὴ καὶ μόγις, ἅτε
ἐκ δένδρου λελωβημένου καὶ εὐθὺ τὰ πλείονα, ἀνεβλά-
στησεν ἐκ τῆς Ἑλλάδος τὸ Ἀχαϊκόν, καὶ αὐτὸ ἡ κακία τῶν
564 στρατηγησάντων ἐκόλουσεν ἔτι αὐξανόμενον. 2. Χρόνῳ 3
δὲ ὕστερον ἐς Νέρωνα ἡ βασιλεία περιῆλθεν ἡ Ῥωμαίων,
καὶ ἐλεύθερον ὁ Νέρων ἀφίησιν ἁπάντων, ἀλλαγὴν πρὸς
δῆμον ποιησάμενος τὸν Ῥωμαίων· Σαρδὼ γὰρ τὴν νῆσον
ἐς τὰ μάλιστα εὐδαίμονα ἀντὶ Ἑλλάδος σφίσιν ἀντέδωκεν.
Ἀπιδόντι οὖν ἐς τοῦτό μοι τοῦ Νέρωνος τὸ ἔργον ὀρθό-
τατα εἰρηκέναι Πλάτων ἐφαίνετο ὁ Ἀρίστωνος, ὁπόσα
ἀδικήματα μεγέθει καὶ τολμήματί ἐστιν ὑπερηρκότα, οὐ
τῶν ἐπιτυχόντων εἶναι ταῦτα ἀνθρώπων, ψυχῆς δὲ γεν-
ναίας ὑπὸ ἀτόπου παιδείας διεφθαρμένης. Οὐ μὴν Ἑλ- 4
λησί γε ἐξεγένετο ὄνασθαι τοῦ δώρου· Οὐεσπασιανοῦ
γὰρ μετὰ Νέρωνα ἄρξαντος ἐς ἐμφύλιον στάσιν προήχθη-
σαν, καὶ σφᾶς ὑποτελεῖς τε αὖθις ὁ Οὐεσπασιανὸς εἶναι
φόρων καὶ ἀκούειν ἐκέλευσεν ἡγεμόνος, ἀπομεμαθηκέ-
ναι φήσας τὴν ἐλευθερίαν τὸ Ἑλληνικόν. Τάδε μὲν οὕτω
συμβάντα εὕρισκον.

3. Ἀχαιοῖς δὲ ὅροι καὶ Ἠλείοις τῆς χώρας ποταμός 5
τε Λάρισος καὶ Ἀθηνᾶς ἐπὶ τῷ ποταμῷ ναός ἐστι Λαρι-
σαίας, καὶ Ἀχαιῶν πόλις Δύμη σταδίους ὅσον τε τριά-
κοντα ἀπέχουσα τοῦ Λαρίσου. ταύτην Φίλιππος ὁ Δημη-

τρίου πολέμων μόνην τῶν Ἀχαϊκῶν ἔσχεν ὑπήκοον· καὶ
ἐπὶ τῇ αἰτίᾳ ταύτῃ Σουλπίκιος, ἡγεμὼν καὶ οὗτος Ῥω- 565
μαίων, ἐπέτρεψε τῇ στρατιᾷ διαρπάσαι τὴν Δύμην· Αὔ-
γουστος δὲ ὕστερον καὶ προσένειμεν αὐτὴν Πατρεῦσιν.
6 Ἐκαλεῖτο δὲ τὰ μὲν ἀρχαιότερα Πάλεια· ἐχόντων δὲ ἔτι
Ἰώνων ὄνομά οἱ μετέθεντο τὸ ἐφ' ἡμῶν, σαφῶς δὲ οὐκ
οἶδα εἴτε ἀπὸ γυναικὸς ἐπιχωρίας Δύμης εἴτε ἀπὸ Δύ-
μαντος τοῦ Αἰγιμίου. Ὑπὸ δὲ τοῦ ἐλεγείου τοῦ Ὀλυμπία-
σιν ἐπὶ τῇ εἰκόνι τῇ Οἰβώτα οὐ προαχθείη ἄν τις ἐς ἀλο-
γίαν. Οἰβώτᾳ γὰρ ἀνδρὶ Δυμαίῳ, σταδίου μὲν ἀνελομένῳ
νίκην ὀλυμπιάδι ἕκτῃ, εἰκόνος δὲ ἐν Ὀλυμπίᾳ περὶ τὴν
ὀγδοηκοστὴν ὀλυμπιάδα κατὰ μάντευμα ἐκ Δελφῶν ἀξιω-
θέντι, ἐπίγραμμά ἐστιν ἐπ' αὐτῷ λέγον·

7 Οἰνία Οἰβώτας στάδιον νικῶν ὅδ' Ἀχαιοῖς
πατρίδα Πάλειαν θῆκ' ὀνομαστοτέραν.

τοῦτο οὖν οὐκ ἄν τινι ἀλογίαν παραστήσειεν, εἰ Πάλειαν
ἀλλὰ μὴ Δύμην τὸ ἐπίγραμμα καλεῖ τὴν πόλιν· τὰ γὰρ
ἀρχαιότερα ὀνόματα ἐς ποίησιν ἐπάγεσθαι τῶν ὑστέρων
καθεστηκός ἐστιν Ἕλλησι, καὶ Ἀμφιάραόν τε καὶ Ἄδρα-
στον Φορωνείδας καὶ Ἐρεχθείδην ἐπονομάζουσι τὸν
Θησέα.

8 4. Ὀλίγον δὲ πρὸ τοῦ ἄστεώς ἐστι τῶν Δυμαίων ἐν
δεξιᾷ τῆς ὁδοῦ τάφος Σωστράτου· μειράκιον δὲ ἦν τῶν
ἐπιχωρίων, γενέσθαι δὲ Ἡρακλέους ἐρώμενόν φασιν αὐ-
τόν, καί, ἀποθανεῖν γὰρ τὸν Σώστρατον Ἡρακλέους ἔτι
ὄντος μετὰ ἀνθρώπων, οὕτως οἱ τὸν Ἡρακλέα τό τε
μνῆμα αὐτὸν εἶναι τὸν ποιήσαντα καὶ ἀπαρχὰς ἀπὸ τῶν 566
ἐν τῇ κεφαλῇ τριχῶν δοῦναι. ἐπίθημα δὲ καὶ ἐς ἐμὲ ἔτι
στήλη τε ἦν ἐπὶ τοῦ χώματος καὶ Ἡρακλῆς ἐπειργασμέ-
νος· ἐλέγετο δὲ ὡς οἱ ἐπιχώριοι καὶ ἐναγίζουσι τῷ Σω-
στράτῳ.

9 5. Δυμαίοις δὲ ἔστι μὲν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα ἐς

τὰ μάλιστα ἀρχαῖον, ἔστι δὲ καὶ ἄλλο ἱερόν σφισι Δινδυ-
μήνῃ μητρὶ καὶ Ἄττῃ πεποιημένον. Ἄττης δὲ ὅστις ἦν,
οὐδὲν οἷός τε ἦν ἀπόρρητον ἐς αὐτὸν ἐξευρεῖν. ἀλλὰ Ἑρ-
μησιάνακτι μὲν τῷ τὰ ἐλεγεῖα γράψαντι πεποιημένα
ἐστὶν ὡς υἱός τε ἦν Καλαοῦ Φρυγὸς καὶ ὡς οὐ τεκνοποιὸς
ὑπὸ τῆς μητρὸς τεχθείη. ἐπεὶ δὲ ηὔξητο, μετῴκησεν ἐς
Λυδίαν τῷ Ἑρμησιάνακτος λόγῳ, καὶ Λυδοῖς ὄργια ἐτέλει
Μητρός, ἐς τοσοῦτο ἥκων παρ' αὐτοῖς τιμῆς ὡς Δία Ἄττῃ
νεμεσήσαντα ὗν ἐπὶ τὰ ἔργα ἐπιπέμψαι τῶν Λυδῶν. Ἐν- 10
ταῦθα ἄλλοι τε τῶν Λυδῶν καὶ αὐτὸς Ἄττης ἀπέθανεν
ὑπὸ τοῦ ὑός· καί τι ἑπόμενον τούτοις Γαλατῶν δρῶσιν
οἱ Πεσσινοῦντα ἔχοντες, ὑῶν οὐχ ἁπτόμενοι. νομίζουσί
γε μὴν οὐχ οὕτω τὰ ἐς τὸν Ἄττην, ἀλλὰ ἐπιχώριός ἐστιν
ἄλλος σφίσιν ἐς αὐτὸν λόγος, Δία ὑπνωμένον ἀφεῖναι
σπέρμα ἐς γῆν, τὴν δὲ ἀνὰ χρόνον ἀνεῖναι δαίμονα διπλᾶ
ἔχοντα αἰδοῖα, τὰ μὲν ἀνδρός, τὰ δὲ αὐτῶν γυναικός·
ὄνομα δὲ Ἄγδιστιν αὐτῷ τίθενται. θεοὶ δὲ Ἄγδιστιν δή-
σαντες τὰ αἰδοῖά οἱ τὰ ἀνδρὸς ἀποκόπτουσιν. Ὡς δὲ ἀπ' 11
αὐτῶν ἀναφῦσα ἀμυγδαλῆ εἶχεν ὡραῖον τὸν καρπόν,
θυγατέρα τοῦ Σαγγαρίου ποταμοῦ λαβεῖν φασι τοῦ καρ-
ποῦ· ἐσθεμένης δὲ ἐς τὸν κόλπον καρπὸς μὲν ἐκεῖνος ἦν
αὐτίκα ἀφανής, αὐτὴ δὲ ἐκύει· τεκούσης δὲ τράγος περι-
εῖπε τὸν παῖδα ἐκκείμενον. ὡς δὲ αὐξανομένῳ κάλλους
567 οἱ μετῆν πλέον ἢ κατὰ εἶδος ἀνθρώπου, ἐνταῦθα τοῦ
παιδὸς ἔρως ἔσχεν Ἄγδιστιν. Αὐξηθέντα δὲ Ἄττην ἀπο-
στέλλουσιν ἐς Πεσσινοῦντα οἱ προσήκοντες συνοικήσοντα
τοῦ βασιλέως θυγατρί. ὑμέναιος δὲ ᾔδετο, καὶ Ἄγδιστις 12
ἐφίσταται, καὶ τὰ αἰδοῖα ἀπέκοψε μανεὶς ὁ Ἄττης, ἀπέ-
κοψε δὲ καὶ ὁ τὴν θυγατέρα αὐτῷ διδούς. Ἄγδιστιν δὲ
μετάνοια ἔσχεν οἷα Ἄττην ἔδρασε· καί οἱ παρὰ Διὸς εὕ-
ρετο μήτε σήπεσθαί τι Ἄττῃ τοῦ σώματος μήτε τήκεσθαι.
τάδε μὲν ἐς Ἄττην τὰ γνωριμώτατα.

13 6. Ἐν δὲ τῇ χώρᾳ τῇ Δυμαίᾳ καὶ τοῦ δρομέως Οἰ-
βώτα *** νικήσαντι Ὀλύμπια Ἀχαιῶν πρώτῳ γέρας οὐ-
δὲν ἐξαίρετον παρ' αὐτῶν ἐγένετο εὕρασθαι· καὶ ἐπὶ
τούτῳ κατάρας ὁ Οἰβώτας ἐποιήσατο μηδενὶ Ὀλυμπικὴν
νίκην ἔτι Ἀχαιῶν γενέσθαι. καί, ἦν γάρ τις θεῶν ᾧ τοῦ
Οἰβώτα τελεῖσθαι τὰς κατάρας οὐκ ἀμελὲς ἦν, διδάσκον-
ταί ποτε οἱ Ἀχαιοὶ καθ' ἥντινα αἰτίαν στεφάνου τοῦ
Ὀλυμπίασιν ἡμάρτανον, διδάσκονται δὲ ἀποστείλαντες
14 ἐς Δελφούς. οὕτω καὶ ἄλλα ἐς τιμήν σφισι τοῦ Οἰβώτα
ποιήσασι, καὶ τὴν εἰκόνα ἀναθεῖσιν ἐς Ὀλυμπίαν, Σώ-
στρατος Πελληνεὺς σταδίου νίκην ἔσχεν ἐν παισί. Δια-
μένει δὲ ἐς ἐμὲ ἔτι Ἀχαιῶν τοῖς ἀγωνίζεσθαι μέλλουσι τὰ
Ὀλύμπια ἐναγίζειν τῷ Οἰβώτᾳ, καὶ ἢν κρατήσωσιν, ἐν
Ὀλυμπίᾳ στεφανοῦν τοῦ Οἰβώτα τὴν εἰκόνα.

XVIII. Σταδίους ὅσον τε τεσσαράκοντα προελθόντι
ἐκ Δύμης ποταμὸς Πεῖρος ἐς θάλατταν κάτεισι, καὶ
Ἀχαιῶν πόλις ποτὲ Ὤλενος ᾠκεῖτο παρὰ τῷ Πείρῳ. ὁπό-
σοι δὲ ἐς Ἡρακλέα καὶ τὰ ἔργα αὐτοῦ πεποιήκασιν, ἔστιν
οὐκ ἐλάχιστόν σφισι δεῖγμα τοῦ λόγου Δεξαμενὸς ὁ ἐν
Ὠλένῳ βασιλεύς, καὶ ὁποίων Ἡρακλῆς παρ' αὐτῷ [ξε-
νίων] ἔτυχε. καὶ ὅτι μὲν ἦν πόλισμα ἐξ ἀρχῆς μικρὸν ἡ
Ὤλενος, μαρτυρεῖ τῷ λόγῳ μου καὶ ἐλεγεῖον ἐς Εὐρυ-
τίωνα Κένταυρον ὑπὸ Ἑρμησιάνακτος πεποιημένον· ἀνὰ
χρόνον δὲ τοὺς οἰκήτορας ἐκλιπεῖν ὑπὸ ἀσθενείας φασὶ
τὴν Ὤλενον, καὶ ἐς Πειράς τε καὶ ἐς Εὐρυτειὰς ἀπο- 568
χωρῆσαι.

2 2. Τοῦ δὲ Πείρου ποταμοῦ περὶ τοὺς ὀγδοήκοντα
ἀφέστηκε σταδίους Πατρέων ἡ πόλις· οὐ πόρρω δὲ αὐτῆς
ποταμὸς Γλαῦκος ἐκδίδωσιν ἐς θάλασσαν. Πατρέων δὲ
οἱ τὰ ἀρχαιότατα μνημονεύοντές φασιν Εὔμηλον αὐτό-
χθονα οἰκῆσαι πρῶτον ἐν τῇ χώρᾳ, βασιλεύοντα αὐτὸν
ἀνθρώπων οὐ πολλῶν. Τριπτολέμου δὲ ἐκ τῆς Ἀττικῆς

ἀφικομένου τόν τε καρπὸν λαμβάνει τὸν ἥμερον, καὶ
οἰκίσαι διδαχθεὶς πόλιν Ἀρόην ὠνόμασεν ἐπὶ τῇ ἐργασίᾳ
τῆς γῆς. ὡς δὲ πρὸς ὕπνον ἐτράπετο ὁ Τριπτόλεμος, 3
ἐνταῦθα Ἀνθείαν παῖδα Εὐμήλου τοὺς δράκοντάς φασιν
ὑπὸ τοῦ Τριπτολέμου τὸ ἅρμα ζεύξαντα ἐθελῆσαι καὶ
αὐτὸν σπεῖραι. καὶ τὸν μὲν ἐπιλαμβάνει τὸ χρεὼν ἐκπε-
σόντα τοῦ ἅρματος· Τριπτόλεμος δὲ καὶ Εὔμηλος Ἄν-
θειαν πόλιν οἰκίζουσιν ἐν κοινῷ, τοῦ Εὐμήλου παιδὸς
ἐπώνυμον. ᾠκίσθη δὲ καὶ τρίτη μεταξὺ Ἀνθείας καὶ 4
Ἀρόης Μεσάτις πόλις. 3. Ὁπόσα δὲ οἱ Πατρεῖς περὶ Διο-
νύσου λέγουσι, τραφῆναί τε αὐτὸν ἐν τῇ Μεσάτει καὶ
ἐνταῦθα ἐπιβουλευθέντα ὑπὸ Τιτάνων ἐς παντοῖον ἀφι-
κέσθαι κίνδυνον, οὐκ ἐναντιούμενος τοῖς Πατρεῦσι τῆς
Μεσάτεως τὸ ὄνομα αὐτοῖς σφίσιν ἐξηγεῖσθαι παρίημι.
Ἀχαιῶν δὲ ὕστερον ἐκβαλόντων Ἴωνας, Πατρεὺς ὁ Πρευ- 5
γένους τοῦ Ἀγήνορος ἐς μὲν Ἄνθειαν καὶ ἐς Μεσάτιν μὴ
ἐνοικίζεσθαι τοῖς Ἀχαιοῖς ἀπεῖπε, περίβολον δὲ τείχους
πρὸς τῇ Ἀρόῃ βαλόμενος μείζονα, ἵνα ἐντός οἱ τοῦ περι-
βόλου καὶ ἡ Ἀρόη γένηται, ὄνομα ἔθετο ἀφ' ἑαυτοῦ Πά-
τρας τῇ πόλει. 4. Ἀγήνωρ δὲ ὁ πατὴρ τοῦ Πρευγένους
Ἀρέως παῖς ἦν τοῦ Ἄμπυκος, ὁ δὲ Ἄμπυξ Πελίου τοῦ
Αἰγινήτου τοῦ Δηρείτου τοῦ Ἁρπάλου τοῦ Ἀμύκλα τοῦ
Λακεδαίμονος. Πατρεῖ μὲν τοιαῦτα ἐς τοὺς προγόνους 6
ὑπάρχοντα ἦν. 5. Ἰδίᾳ δὲ ἀνὰ χρόνον Πατρεῖς διέβησαν
ἐς Αἰτωλίαν Ἀχαιῶν μόνοι κατὰ φιλίαν τὴν Αἰτωλῶν,
τὸν πόλεμόν σφισι τὸν πρὸς Γαλάτας συνδιοίσοντες.
προσπταίσαντες δ' ἐν ταῖς μάχαις λόγου μειζόνως καὶ
ὑπὸ πενίας ἅμα οἱ πολλοὶ πιεζόμενοι Πάτρας μὲν πλὴν
569 ὀλίγων τινῶν ἐκλείπουσιν. οἱ δὲ ἄλλοι κατὰ χώραν ὑπὸ
φιλεργίας ἐσκεδάσθησαν, καὶ πολίσματα παρὲξ αὐτὰς
Πάτρας τοσάδε ἄλλα ᾤκησαν, Μεσάτιν καὶ Ἄνθειαν καὶ
Βολίνην καὶ Ἀργυρᾶν τε καὶ Ἄρβαν. Αὔγουστος δὲ ἢ 7

τοῦ παράπλου νομίζων κεῖσθαι καλῶς τὰς Πάτρας ἢ κατ'
ἄλλην τινὰ αἰτίαν ἐπανήγαγεν αὖθις ἐκ τῶν πολισμάτων
τῶν ἄλλων τοὺς ἄνδρας ἐς τὰς Πάτρας· προσσυνῴκισε
δέ σφισι καὶ Ἀχαιοὺς τοὺς ἐκ Ῥυπῶν, καταβαλὼν ἐς ἔδα-
φος Ῥύπας. καὶ ἔδωκε μὲν ἐλευθέροις Ἀχαιῶν μόνοις
τοῖς Πατρεῦσιν εἶναι, ἔδωκε δὲ καὶ [ἐς] τὰ ἄλλα γέρα
σφίσιν, ὁπόσα τοῖς ἀποίκοις νέμειν οἱ Ῥωμαῖοι νομίζουσι.
8 6. Πατρεῦσι δὲ ἐν ἄκρᾳ τῇ πόλει Λαφρίας ἱερόν ἐστιν
Ἀρτέμιδος· ξενικὸν μὲν τῇ θεῷ τὸ ὄνομα, ἐσηγμένον δὲ
ἑτέρωθεν καὶ τὸ ἄγαλμα. Καλυδῶνος γὰρ καὶ Αἰτωλίας
τῆς ἄλλης ὑπὸ Αὐγούστου βασιλέως ἐρημωθείσης διὰ τὸ ἐς
τὴν Νικόπολιν τὴν ὑπὲρ τοῦ Ἀκτίου συνοικίζεσθαι καὶ τὸ
Αἰτωλικόν, οὕτω τὸ ἄγαλμα τῆς Λαφρίας οἱ Πατρεῖς ἔσχον.
9 Ὡσαύτως δὲ καὶ ὅσα ἄλλα ἀγάλματα ἔκ τε Αἰτωλίας καὶ
παρὰ Ἀκαρνάνων, τὰ μὲν πολλὰ ἐς τὴν Νικόπολιν κομι-
σθῆναι, Πατρεῦσι δὲ ὁ Αὔγουστος ἄλλα τε τῶν ἐκ Καλυ-
δῶνος λαφύρων καὶ δὴ καὶ τῆς Λαφρίας ἔδωκε τὸ ἄγαλμα,
ὃ δὴ καὶ ἐς ἐμὲ ἔτι ἐν τῇ ἀκροπόλει τῇ Πατρέων εἶχε τιμάς.
γενέσθαι δὲ ἐπίκλησιν τῇ θεῷ Λαφρίαν ἀπὸ ἀνδρὸς Φω-
κέως φασί· Λάφριον γὰρ τὸν Κασταλίου τοῦ Δελφοῦ
Καλυδωνίοις ἱδρύσασθαι τὸ ἄγαλμα τῆς Ἀρτέμιδος τὸ
10 ἀρχαῖον, οἱ δὲ τῆς Ἀρτέμιδος τὸ μήνιμα τὸ ἐς Οἰνέα ἀνὰ
χρόνον τοῖς Καλυδωνίοις ἐλαφρότερον γενέσθαι λέγουσι,
καὶ αἰτίαν τῇ θεῷ τῆς ἐπικλήσεως ἐθέλουσιν εἶναι ταύ-
την. Τὸ μὲν σχῆμα τοῦ ἀγάλματος θηρεύουσά ἐστιν,
ἐλέφαντος δὲ καὶ χρυσοῦ πεποίηται, Ναυπάκτιοι δὲ Μέ- 570
ναιχμος καὶ Σοΐδας εἰργάσαντο· τεκμαίρονται δὲ σφᾶς
Κανάχου τοῦ Σικυωνίου καὶ τοῦ Αἰγινήτου Κάλλωνος
11 οὐ πολλῷ γενέσθαι τινὶ ἡλικίαν ὑστέρους. 7. Ἄγουσι δὲ
καὶ Λάφρια ἑορτὴν τῇ Ἀρτέμιδι οἱ Πατρεῖς ἀνὰ πᾶν ἔτος,
ἐν ᾗ τρόπος ἐπιχώριος θυσίας ἐστὶν αὐτοῖς. περὶ μὲν τὸν
βωμὸν ἐν κύκλῳ ξύλα ἱστᾶσιν ἔτι χλωρὰ καὶ ἐς ἑκκαίδεκα

ἕκαστον πήχεις· ἐντὸς δὲ ἐπὶ τοῦ βωμοῦ τὰ αὐότατά σφισι τῶν ξύλων κεῖται. μηχανῶνται δὲ ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς καὶ ἄνοδον ἐπὶ τὸν βωμὸν λειοτέραν, ἐπιφέροντες γῆν ἐπὶ τοῦ βωμοῦ τοὺς ἀναβασμούς. πρῶτα μὲν 12
δὴ πομπὴν μεγαλοπρεπεστάτην τῇ Ἀρτέμιδι πομπεύουσι, καὶ ἡ ἱερωμένη παρθένος ὀχεῖται τελευταία τῆς πομπῆς ἐπὶ ἐλάφων ὑπὸ τὸ ἅρμα ἐζευγμένων· ἐς δὲ τὴν ἐπιοῦσαν τηνικαῦτα ἤδη δρᾶν τὰ ἐς τὴν θυσίαν νομίζουσι, δημοσίᾳ τε ἡ πόλις καὶ οὐχ ἧσσον ἐς τὴν ἑορτὴν οἱ ἰδιῶται φιλοτίμως ἔχουσιν. ἐσβάλλουσι γὰρ ζῶντας ἐς τὸν βωμὸν ὄρνιθάς τε τοὺς ἐδωδίμους καὶ ἱερεῖα ὁμοίως ἅπαντα, ἔτι δὲ ὗς ἀγρίους καὶ ἐλάφους τε καὶ δορκάδας, οἱ δὲ καὶ λύκων καὶ ἄρκτων σκύμνους, οἱ δὲ καὶ τὰ τέλεια τῶν θηρίων· κατατιθέασι δὲ ἐπὶ τὸν βωμὸν καὶ δένδρων καρπὸν τῶν ἡμέρων. τὸ δὲ ἀπὸ τούτου πῦρ ἐνιᾶσιν ἐς τὰ 13
ξύλα. ἐνταῦθά που καὶ ἄρκτον καὶ ἄλλο τι ἐθεασάμην τῶν ζῴων, τὰ μὲν ὑπὸ τὴν πρώτην ὁρμὴν τοῦ πυρὸς βιαζόμενα ἐς τὸ ἐκτός, τὰ δὲ καὶ ἐκφεύγοντα ὑπὸ ἰσχύος· ταῦτα οἱ ἐμβαλόντες ἐπανάγουσιν αὖθις ἐς τὴν πυράν. τρωθῆναι δὲ οὐδένα ὑπὸ τῶν θηρίων μνημονεύουσιν.

XIX. Ἔστι δὲ ἐν τῷ μεταξὺ τοῦ ναοῦ τε τῆς Λαφρίας καὶ τοῦ βωμοῦ πεποιημένον μνῆμα Εὐρυπύλου. τὰ δὲ ὅστις τε ὢν καὶ καθ᾽ ἥντινα αἰτίαν ἀφίκετο ἐς τὴν γῆν ταύτην, δηλώσει μοι καὶ ταῦτα ὁ λόγος προδιηγησαμένῳ πρότερον ὁποῖα ὑπὸ τοῦ Εὐρυπύλου τὴν ἐπιδημίαν τοῖς ἐνταῦθα ἦν τὰ παρόντα ἀνθρώποις. Ἰώνων τοῖς Ἀρόην καὶ Ἄνθειαν καὶ Μεσάτιν οἰκοῦσιν ἦν ἐν κοινῷ τέμενος καὶ ναὸς Ἀρτέμιδος Τρικλαρίας ἐπίκλησιν, καὶ ἑορτὴν οἱ Ἴωνες αὐτῇ καὶ παννυχίδα ἦγον ἀνὰ πᾶν ἔτος. ἱερωσύνην δὲ εἶχε τῆς θεοῦ παρθένος, ἐς ὃ ἀποστέλλεσθαι
571 παρὰ ἄνδρα ἔμελλε. 2. Λέγουσιν οὖν συμβῆναί ποτε ὡς 2
ἱερᾶσθαι μὲν τῆς θεοῦ Κομαιθὼ τὸ εἶδος καλλίστην παρ-

θένον, τυγχανειν δὲ αὐτῆς ἐρῶντα Μελάνιππον, τά τε
ἄλλα τοὺς ἡλικιώτας καὶ ὄψεως εὐπρεπείᾳ μάλιστα ὑπε-
ρηρκότα. ὡς δὲ ὁ Μελάνιππος ἐς τὸ ἴσον τοῦ ἔρωτος
ὑπηγάγετο τὴν παρθένον, ἐμνᾶτο αὐτὴν παρὰ τοῦ πα-
τρός. ἕπεται δέ πως τῷ γήρᾳ τά τε ἄλλα ὡς τὸ πολὺ ἐναν-
τιοῦσθαι νέοις, καὶ οὐχ ἥκιστα ἐς τοὺς ἐρῶντας τὸ ἀνάλ-
γητον, ὅπου καὶ Μελανίππῳ τότε ἐθέλοντι ἐθέλουσαν
ἄγεσθαι Κομαιθὼ οὔτε παρὰ τῶν ἑαυτοῦ γονέων οὔτε
3 παρὰ τῶν Κομαιθοῦς ἥμερον ἀπήντησεν οὐδέν. Ἐπέδειξε
δὲ ἐπὶ πολλῶν τε δὴ ἄλλων καὶ ἐν τοῖς Μελανίππου πα-
θήμασιν ὡς μέτεστιν ἔρωτι καὶ ἀνθρώπων συγχέαι νό-
μιμα καὶ ἀνατρέψαι θεῶν τιμάς, ὅπου καὶ τότε ἐν τῷ τῆς
Ἀρτέμιδος ἱερῷ Κομαιθὼ καὶ Μελάνιππος ἐξέπλησαν
τοῦ ἔρωτος τὴν ὁρμήν. καὶ οἱ μὲν ἔμελλον τῷ ἱερῷ καὶ ἐς
τὸ ἔπειτα ἴσα καὶ θαλάμῳ χρήσεσθαι· τοὺς δὲ ἀνθρώ-
πους αὐτίκα ἐξ Ἀρτέμιδος μήνιμα ἔφθειρε, τῆς τε γῆς
καρπὸν οὐδένα ἀποδιδούσης, καὶ νόσοι σφίσιν οὐ κατὰ
τὰ εἰωθότα καὶ ἀπ' αὐτῶν θάνατοι πλέονες ἢ τὰ πρό-
4 τερα ἐγίνοντο. Καταφυγόντων δὲ αὐτῶν ἐπὶ χρηστήριον
τὸ ἐν Δελφοῖς, ἤλεγχεν ἡ Πυθία Μελάνιππον καὶ Κομαι-
θώ· καὶ ἐκείνους τε αὐτοὺς μάντευμα ἀφίκετο θῦσαι τῇ
Ἀρτέμιδι, καὶ ἀνὰ πᾶν ἔτος παρθένον καὶ παῖδα, οἳ τὸ
εἶδος εἶεν κάλλιστοι τῇ θεῷ θύειν. ταύτης μὲν δὴ τῆς
θυσίας ἕνεκα ὁ ποταμὸς ὁ πρὸς τῷ ἱερῷ τῆς Τρικλαρίας
5 Ἀμείλιχος ἐκλήθη· τέως δὲ ὄνομα εἶχεν οὐδέν. Παίδων
δὲ καὶ παρθένων ὁπόσοι μὲν ἐς τὴν θεὸν οὐδὲν εἰργασ- 572
μένοι Μελανίππου καὶ Κομαιθοῦς ἕνεκα ἀπώλλυντο,
αὐτοί τε οἰκτρότατα καὶ οἱ προσήκοντές σφισιν ἔπασχον,
Μελάνιππον δὲ καὶ Κομαιθὼ συμφορᾶς ἐκτὸς γενέσθαι
τίθεμαι· μόνῳ γὰρ δὴ ἀνθρώπῳ ψυχῆς ἐστιν ἀντάξιον
6 κατορθῶσαί τινα ἐρασθέντα. 3. Παύσασθαι δὲ οὕτω λέ-
γονται θύοντες τῇ Ἀρτέμιδι ἀνθρώπους. ἐκέχρητο δὲ

αὐτοῖς πρότερον ἔτι ἐκ Δελφῶν ὡς βασιλεὺς ξένος παρα-
γενόμενός σφισιν ἐπὶ τὴν γῆν, ξενικὸν ἅμα ἀγόμενος
δαίμονα, τὰ ἐς τὴν θυσίαν τῆς Τρικλαρίας παύσει. Ἰλίου
δὲ ἁλούσης καὶ νεμομένων τὰ λάφυρα τῶν Ἑλλήνων,
Εὐρύπυλος ὁ Εὐαίμονος λαμβάνει λάρνακα· Διονύσου
δὲ ἄγαλμα ἦν ἐν τῇ λάρνακι, ἔργον μέν, ὥς φασιν, Ἡφαί-
στου, δῶρον δὲ ὑπὸ Διὸς ἐδόθη Δαρδάνῳ. λέγονται δὲ 7
καὶ ἄλλοι λόγοι δύο ἐς αὐτήν, ὡς ὅτε ἔφυγεν Αἰνείας
ἀπολίποι ταύτην τὴν λάρνακα· οἱ δὲ ῥιφῆναί φασιν αὐ-
τὴν ὑπὸ Κασάνδρας συμφορὰν τῷ εὑρόντι Ἑλλήνων.
ἤνοιξε δ' οὖν ὁ Εὐρύπυλος τὴν λάρνακα καὶ εἶδε τὸ
ἄγαλμα. καὶ αὐτίκα ἦν ἔκφρων μετὰ τὴν θέαν. τὰ μὲν δὴ
πλείονα ἐμαίνετο, ὀλιγάκις δὲ ἐγίνετο ἐν ἑαυτῷ. ἅτε δὲ
οὕτω διακείμενος, οὐκ ἐς τὴν Θεσσαλίαν τὸν πλοῦν ἐποι-
εῖτο, ἀλλ' ἐπί τε Κίρραν καὶ ἐς τὸν ταύτῃ κόλπον· ἀνα-
βὰς δὲ ἐς Δελφοὺς ἐχρᾶτο ὑπὲρ τῆς νόσου. καὶ αὐτῷ γε- 8
νέσθαι λέγουσι μάντευμα, ἔνθα ἂν ἐπιτύχῃ θύουσιν
ἀνθρώποις θυσίαν ξένην, ἐνταῦθα ἱδρύσασθαί τε τὴν
λάρνακα καὶ αὐτὸν οἰκῆσαι. Ὁ μὲν δὴ ἄνεμος τὰς ναῦς
τοῦ Εὐρυπύλου κατήνεγκεν ἐπὶ τὴν πρὸς τῇ Ἀρόῃ θά-
λασσαν· ἐκβὰς δὲ ἐς τὴν γῆν καταλαμβάνει παῖδα καὶ
παρθένον ἐπὶ τὸν βωμὸν τῆς Τρικλαρίας ἠγμένους. καὶ
ὁ μὲν ἔμελλεν οὐ χαλεπῶς συνήσειν τὰ ἐς τὴν θυσίαν·
ἀφίκοντο δὲ ἐς μνήμην καὶ οἱ ἐπιχώριοι τοῦ χρησμοῦ,
βασιλέα τε ἰδόντες ὃν οὔπω πρότερον ἑωράκεσαν, καὶ ἐς 9
τὴν λάρνακα ὑπενόησαν ὡς εἴη τις ἐν αὐτῇ θεός. καὶ
573 οὕτω τῷ Εὐρυπύλῳ τε ἡ νόσος καὶ τοῖς ἐνταῦθα ἀνθρώ-
ποις τὰ ἐς τὴν θυσίαν ἐπαύσθη, τό τε ὄνομα ἐτέθη τὸ
νῦν τῷ ποταμῷ Μείλιχος. Ἔγραψαν δὲ ἤδη τινὲς οὐ τῷ
Θεσσαλῷ συμβάντα Εὐρυπύλῳ τὰ εἰρημένα, ἀλλὰ Εὐ-
ρύπυλον Δεξαμενοῦ παῖδα τοῦ ἐν Ὠλένῳ βασιλεύσαντος
ἐθέλουσιν ἅμα Ἡρακλεῖ στρατεύσαντα ἐς Ἴλιον λαβεῖν

παρὰ τοῦ Ἡρακλέους τὴν λάρνακα· τὰ δὲ ἄλλα κατὰ τὰ
10 αὐτὰ εἰρήκασι καὶ οὗτοι. Ἐγὼ δὲ οὔτε Ἡρακλέα ἀγνοῆσαι τὰ ἐς τὴν λάρνακα, εἰ δὴ τοιαῦτα ἦν, πείθομαι· οὔτε τὰ ἐς αὐτὴν ἐπιστάμενος δοκεῖ μοί ποτε ἂν δοῦναι δῶρον συμμαχήσαντι ἀνδρί· οὔτε μὴν οἱ Πατρεῖς ἄλλον τινὰ ἢ τὸν Εὐαίμονος ἔχουσιν Εὐρύπυλον ἐν μνήμῃ, καί οἱ καὶ ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος, ἐπειδὰν τῷ Διονύσῳ τὴν ἑορτὴν ἄγωσι.

XX. Τῷ θεῷ δὲ τῷ ἐντὸς τῆς λάρνακος ἐπίκλησις μέν ἐστιν Αἰσυμνήτης, οἱ δὲ αὐτὸν ἐς τὰ μάλιστα θεραπεύοντες ἐννέα τέ εἰσιν ἄνδρες, οὓς ἂν ἐκ πάντων ὁ δῆμος προέληται κατ' ἀξίωμα, καὶ ἴσαι γυναῖκες τοῖς ἀνδράσι. μιᾷ δὲ ἐν τῇ ἑορτῇ νυκτὶ ἐς τὸ ἐκτὸς φέρει τὴν λάρνακα ὁ ἱερεύς. αὕτη μὲν δὴ ἡ νὺξ γέρας τοῦτο εἴληφε. καταβαίνουσι δὲ καὶ ὁπόσοι δὴ τῶν ἐπιχωρίων παῖδες ἐπὶ τὸν Μείλιχον ἀστάχυσιν ἐστεφανωμένοι τὰς κεφαλάς· ἐκόσμουν δὲ οὕτω καὶ τὸ ἀρχαῖον οὓς ἄγοιεν τῇ Ἀρτέμιδι
2 θύοντες. τὰ δὲ ἐφ' ἡμῶν στεφάνους μὲν τῶν ἀσταχύων ἀποτίθενται παρὰ τῇ θεῷ, λουσάμενοι δὲ τῷ ποταμῷ καὶ αὖθις στεφάνους ἐπιθέμενοι κισσοῦ· πρὸς τὸ ἱερὸν ἴασι τοῦ Αἰσυμνήτου. ταῦτα μέν σφισιν οὕτω δρᾶν καθέστηκε. 2. Τοῦ περιβόλου δέ ἐστιν ἐντὸς τῆς Λαφρίας καὶ Ἀθηνᾶς ναὸς ἐπίκλησιν Παναχαΐδος· ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ.

3 Ἐρχομένῳ δὲ ἐς τὴν κάτω πόλιν Μητρὸς Δινδυμήνης ἐστὶν ἱερὸν, ἐν δὲ αὐτῷ καὶ Ἄττης ἔχει τιμάς. τούτου μὲν δὴ ἄγαλμα οὐδὲν ἀποφαίνουσι· τὸ δὲ τῆς Μητρὸς λίθου πεποίηται. Ἔστι δὲ ἐν τῇ ἀγορᾷ Διὸς ναὸς Ὀλυμπίου, αὐτός τε ἐπὶ θρόνου καὶ ἑστῶσα Ἀθηνᾶ παρὰ τὸν θρόνον. τῆς τε Ἥρας ἄγαλμα τοῦ Ὀλυμπίου πέραν ἱερόν
τε Ἀπόλλωνος πεποίηται, καὶ Ἀπόλλων χαλκοῦς γυμνὸς 574
ἐσθῆτος· ὑποδήματα δὲ ὑπὸ τοῖς ποσίν ἐστιν αὐτῷ, καὶ

τῷ ἑτέρῳ ποδὶ ἐπὶ κρανίου βέβηκε βοός. βουσὶ γὰρ χαί- 4
ρειν μάλιστα Ἀπόλλωνα Ἀλκαῖός τε ἐδήλωσεν ἐν ὕμνῳ τῷ ἐς Ἑρμῆν γράψας, ὡς ὁ Ἑρμῆς βοῦς ὑφέλοιτο τοῦ Ἀπόλλωνος· καὶ ἔτι πρότερον ἢ Ἀλκαῖον γενέσθαι πεποιημένα ἦν Ὁμήρῳ βοῦς Ἀπόλλωνα Λαομέδοντος ἐπὶ μισθῷ νέμειν. Ποσειδῶνι περιέθηκεν ἐν Ἰλιάδι τὰ ἔπη.

Ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα, 5
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' ειλίποδας ἕλικας βοῦς βουκολέεσκες.

τὰ μὲν δὴ ἐς τὸ κρανίον τοῦ βοὸς ἐπὶ τοιῷδε ἄν τις εἰκάσειε πεποιῆσθαι· ἔστι δὲ ἐν ὑπαίθρῳ τῆς ἀγορᾶς ἄγαλμά τε Ἀθηνᾶς καὶ πρὸ αὐτοῦ Πατρέως τάφος.

3. Ἔχεται δὲ τῆς ἀγορᾶς τὸ ᾠδεῖον, καὶ Ἀπόλλων 6
ἐνταῦθα ἀνάκειται θέας ἄξιος· ἐποιήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα ἐπὶ τὸν στρατὸν τῶν Γαλατῶν οἱ Πατρεῖς ἤμυναν Αἰτωλοῖς Ἀχαιῶν μόνοι. κεκόσμηται δὲ καὶ ἐς ἄλλα τὸ ᾠδεῖον ἀξιολογώτατα τῶν ἐν Ἕλλησι, πλήν γε δὴ τοῦ Ἀθήνησι· τοῦτο γὰρ μεγέθει τε καὶ ἐς τὴν πᾶσαν ὑπερῆρκε κατασκευήν, ἀνὴρ δὲ Ἀθηναῖος ἐποίησεν Ἡρώδης ἐς μνήμην ἀποθανούσης γυναικός. ἐμοὶ δὲ ἐν τῇ Ἀτθίδι συγγραφῇ τὸ ἐς τοῦτο παρείθη τὸ ᾠδεῖον, ὅτι πρότερον ἔτι ἐξείργαστό μοι τὰ ἐς Ἀθηναίους ἢ ὑπῆρκτο Ἡρώδης τοῦ οἰκοδομήματος. Ἐν Πάτραις δὲ ἰόντι ἐκ τῆς ἀγορᾶς, 7
ᾗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος πύλη κατὰ τὴν ἔξοδόν ἐστι ταύτην, καὶ ἐπιθήματα ἐπὶ τῆς πύλης ἀνδριάντες εἰσὶν ἐπίχρυσοι, Πατρεύς τε καὶ Πρευγένης καὶ Ἀθερίων, οἳ
575 Πατρέως ἡλικίαν παιδὸς ἔχοντος καὶ αὐτοὶ παῖδές εἰσι.
4. Τῆς δὲ ἀγορᾶς ἄντικρυς κατ' αὐτὴν τὴν διέξοδον τέμενός ἐστιν Ἀρτέμιδος καὶ ναὸς Λιμνάτιδος. ἐχόντων δὲ 8
ἤδη Λακεδαίμονα καὶ Ἄργος Δωριέων ὑφελέσθαι Πρευγένην τῆς Λιμνάτιδος τὸ ἄγαλμα κατὰ ὄψιν ὀνείρατος λέγουσιν ἐκ Σπάρτης, κοινωνῆσαι δὲ αὐτῷ τοῦ ἐγχειρή-

ματος τῶν δούλων τὸν εὐνούστατον. τὸ δὲ ἄγαλμα τὸ ἐκ
τῆς Λακεδαίμονος τὸν μὲν ἄλλον χρόνον ἔχουσιν ἐν Με-
σόᾳ, ὅτι καὶ ἐξ ἀρχῆς ὑπὸ τοῦ Πρευγένους ἐς τοῦτο ἐκο-
μίσθη τὸ χωρίον· ἐπειδὰν δὲ τῇ Λιμνάτιδι τὴν ἑορτὴν
ἄγωσι, τῆς θεοῦ τις τῶν οἰκετῶν ἐκ Μεσόας ἔρχεται τὸ
ξόανον κομίζων τὸ ἀρχαῖον ἐς τὸ τέμενος τὸ ἐν τῇ πόλει.
9 5. Τούτου δὲ τοῦ τεμένους ἐστὶ καὶ ἄλλα τοῖς Πατρεῦσιν
ἱερά· πεποίηται δὲ ταῦτα οὐκ ἐν ὑπαίθρῳ, ἀλλὰ ἔσοδος
ἐς αὐτὰ διὰ τῶν στοῶν ἐστί. τὸ μὲν δὴ ἄγαλμα τοῦ Ἀσκλη-
πιοῦ, πλὴν ἐσθῆτος, λίθου τὰ ἄλλα· Ἀθηνᾶ δὲ ἐλέφαν-
τος εἴργασται καὶ χρυσοῦ. πρὸ δὲ τῆς Ἀθηνᾶς τοῦ ἱεροῦ
Πρευγένους μνῆμά ἐστιν· ἐναγίζουσι δὲ καὶ τῷ Πρευγέ-
νει κατὰ ἔτος, ὡσαύτως δὲ καὶ Πατρεῖ, τὴν ἑορτὴν τῇ
Λιμνάτιδι ἄγοντες. τοῦ θεάτρου δὲ οὐ πόρρω Νεμέσεως
ναὸς καὶ ἕτερός ἐστιν Ἀφροδίτης· μεγέθει μεγάλα λίθου
λευκοῦ τὰ ἀγάλματα.

XXI. Καὶ Διονύσου κατὰ τοῦτο τῆς πόλεώς ἐστιν
ἱερὸν ἐπίκλησιν Καλυδωνίου· μετεκομίσθη γὰρ καὶ τοῦ
Διονύσου τὸ ἄγαλμα ἐκ Καλυδῶνος. ὅτε δὲ ᾠκεῖτο ἔτι
Καλυδών, ἄλλοι τε Καλυδωνίων ἐγένοντο ἱερεῖς τῷ θεῷ
καὶ δὴ καὶ Κόρεσος, ὃν ἀνθρώπων μάλιστα ἐπέλαβεν
ἄδικα ἐξ ἔρωτος παθεῖν. ἤρα μὲν Καλλιρόης παρθένου·
ὁπόσον δὲ ἐς Καλλιρόην ἔρωτος Κορέσῳ μετῆν, τοσοῦτο
2 εἶχεν ἀπεχθείας ἐς αὐτὸν ἡ παρθένος. ὡς δὲ τοῦ Κορέσου
δεήσεις τε ποιουμένου πάσας καὶ δώρων ὑποσχέσεις παν-
τοίας οὐκ ἐνετρέπετο ἡ γνώμη τῆς παρθένου, ἐκομίζετο
ἱκέτης ἤδη παρὰ τοῦ Διονύσου τὸ ἄγαλμα. ὁ δὲ ἤκουσέ
τε εὐχομένου τοῦ ἱερέως, καὶ οἱ Καλυδώνιοι τὸ παραυ-
τίκα ὥσπερ ὑπὸ μέθης ἐγίνοντο ἔκφρονες, καὶ ἡ τελευτὴ
σφᾶς παραπλῆγας ἐπελάμβανε. καταφεύγουσιν οὖν ἐπὶ
τὸ χρηστήριον τὸ ἐν Δωδώνῃ· τοῖς γὰρ τὴν ἤπειρον ταύ- 576
την οἰκοῦσι, τοῖς τε Αἰτωλοῖς καὶ τοῖς προσχώροις αὐτῶν

*Ἀκαρνᾶσι καὶ Ἠπειρώταις, αἱ πέλειαι καὶ τὰ ἐκ τῆς δρυὸς
μαντεύματα μετέχειν μάλιστα ἐφαίνετο ἀληθείας. Τότε 3
δὲ τὰ χρησθέντα ἐκ Δωδώνης Διονύσου μὲν ἔλεγεν εἶναι
τὸ μήνιμα, ἔσεσθαι δὲ οὐ πρότερον λύσιν πρὶν ἢ θύσῃ
τῷ Διονύσῳ Κόρεσος ἢ αὐτὴν Καλλιρόην ἢ τὸν ἀποθα-
νεῖν ἀντ' ἐκείνης τολμήσαντα. Ὡς δὲ οὐδὲν ἐς σωτηρίαν
εὑρίσκετο ἡ παρθένος, δεύτερα ἐπὶ τοὺς θρεψαμένους
καταφεύγει· ἁμαρτάνουσα δὲ καὶ τούτων, ἐλείπετο οὐ-
δὲν ἔτι ἢ αὐτὴν φονεύεσθαι. προσεξεργασθέντων δὲ ὁπόσα 4
ἐς τὴν θυσίαν ἄλλα ἐκ Δωδώνης μεμαντευμένα ἦν, ἡ
μὲν ἱερείου τρόπον ἤκτο ἐπὶ τὸν βωμόν, Κόρεσος δὲ ἐφει-
στήκει μὲν τῇ θυσίᾳ, τῷ δὲ ἔρωτι εἴξας καὶ οὐ τῷ θυμῷ
ἑαυτὸν ἀντὶ Καλλιρόης διεργάζεται. ὁ μὲν δὴ ἀπέδειξεν
ἔργον ἀνθρώπων ὧν ἴσμεν διατεθεὶς ἐς ἔρωτα ἀπλαστό-
τατα. Καλλιρόη τε ὡς Κόρεσον τεθνεῶτα εἶδεν, μετέ- 5
πεσε τῇ παιδὶ ἡ γνώμη, καί, ἐσῄει γὰρ αὐτὴν Κορέσου
τε ἔλεος καὶ ὅσα ἐς αὐτὸν εἴργασται αἰδώς, ἀπέσφαξέ τε
αὑτὴν ἐς τὴν πηγήν, ἢ ἐν Καλυδῶνί ἐστιν οὐ πόρρω τοῦ
λιμένος, καὶ ἀπ' ἐκείνης οἱ ἔπειτα ἄνθρωποι Καλλιρόην
τὴν πηγὴν καλοῦσι.*

*2. Τοῦ θεάτρου δὲ ἐγγὺς πεποίηται Πατρεῦσι γυ- 6
ναικὸς ἐπιχωρίας τέμενος. Διονύσου δέ ἐστιν ἐνταῦθα
ἀγάλματα, ἴσοι τε τοῖς ἀρχαίοις πολίσμασι καὶ ὁμώνυμοι·
Μεσατεὺς γὰρ καὶ Ἀνθεύς τε καὶ Ἀροεύς ἐστιν αὐτοῖς
τὰ ὀνόματα. ταῦτα τὰ ἀγάλματα ἐν τῇ Διονύσου ἑορτῇ
κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Αἰσυμνήτου· τὸ δὲ ἱερὸν
τοῦτο ἐς τὰ ἐπὶ θαλάσσῃ τῆς πόλεως ἐρχομένοις ἔστιν ἐκ
τῆς ἀγορᾶς ἐν δεξιᾷ τῆς ὁδοῦ. ἀπὸ δὲ τοῦ Αἰσυμνήτου 7
κατωτέρω ἰόντι ἄλλο ἱερὸν καὶ ἄγαλμα λίθου· καλεῖται
μὲν Σωτηρίας, ἱδρύσασθαι δὲ αὐτὸ ἐξ ἀρχῆς ἀποφυγόντα
φασὶ τὴν μανίαν Εὐρύπυλον. 3. Πρὸς δὲ τῷ λιμένι Πο-
σειδῶνός τε ναὸς καὶ ἄγαλμά ἐστιν ὀρθὸν λίθου. Ποσει-*

δῶνι δὲ παρὲξ ἢ ὁπόσα ὀνόματα ποιηταῖς πεποιημένα 577
ἐστὶν ἐς ἐπῶν κόσμον καὶ ἰδίᾳ σφίσιν ἐπιχώρια ὄντα ἕκα-
στοι τίθενται, τοσαίδε ἐς ἅπαντας γεγόνασιν ἐπικλήσεις
8 αὐτῷ, Πελαγαῖος καὶ Ἀσφάλιός τε καὶ Ἵππιος. ὠνομά-
σθαι δὲ Ἵππιον τὸν θεὸν πείθοιτο μὲν ἄν τις καὶ ἐπ' αἰ-
τίαις ἄλλαις· ἐγὼ δὲ εὑρέτην ἱππικῆς ὄντα ἀπὸ τούτου
σχεῖν καὶ τὸ ὄνομα εἰκάζω. Ὅμηρος μέν γε ἐν ἵππων
ἄθλοις Μενελάῳ κατὰ τοῦ θεοῦ τούτου πρόκλησιν πε-
ριέθηκεν ὅρκου·

Ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
ὄμνυθι μηδὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.

9 Πάμφως δέ, ὃς Ἀθηναίοις τοὺς ἀρχαιοτάτους ὕμνων
ἐποίησεν, εἶναί φησι τὸν Ποσειδῶνα

ἵππων τε δωτῆρα νεῶν τ' ἰθυκρηδέμνων.

οὕτω διὰ τὴν ἱππικὴν καὶ οὐκ ἀπὸ ἑτέρας προφάσεως τὸ
ὄνομα ἔσχηκεν.

10 4. Ἐν Πάτραις δὲ οὐ πολὺ ἀπωτέρω τοῦ Ποσειδῶνος
ἱερά ἐστιν Ἀφροδίτης· τὸ δὲ ἕτερον τῶν ἀγαλμάτων γε-
νεᾷ πρότερον ἢ κατ' ἐμὲ ἁλιεῖς ἄνδρες ἀνείλκυσαν ἐν
δικτύῳ. ἔστι δὲ καὶ ἀγάλματα τοῦ λιμένος ἐγγυτάτω χαλ-
κοῦ πεποιημένα Ἄρεως, τὸ δὲ Ἀπόλλωνος· καὶ Ἀφρο-
δίτης, ἧς καὶ πρὸς τῷ λιμένι ἐστὶ τέμενος, λίθου μὲν
πρόσωπον καὶ ἄκραι χεῖρες καὶ πόδες, ξύλου δὲ τὰ λοιπὰ
11 εἴργασται. ἔστι δέ σφισι καὶ ἄλσος ἐπὶ θαλάσσῃ, δρόμους
τε ἐπιτηδειοτάτους καὶ ἐς τἆλλα δίαιταν ἡδεῖαν ὥρᾳ πα-
ρεχόμενον θερινῇ. ἐν τούτῳ τῷ ἄλσει καὶ ναοὶ θεῶν,
Ἀπόλλωνος, ὁ δὲ Ἀφροδίτης· πεποίηται λίθου καὶ τού-
τοις τὰ ἀγάλματα. τοῦ δὲ ἄλσους ἱερὸν ἔχεται Δήμητρος·
αὕτη μὲν καὶ ἡ παῖς ἑστᾶσι, τὸ δὲ ἄγαλμα τῆς Γῆς ἐστὶ
καθήμενον. 5. Πρὸ δὲ τοῦ ἱεροῦ τῆς Δήμητρός ἐστι πηγή.
12 ταύτης τὰ μὲν πρὸς τοῦ ναοῦ λίθων ἀνέστηκεν αἱμασιά,
κατὰ δὲ τὸ ἐκτὸς κάθοδος ἐς αὐτὴν πεποίηται. Μαντεῖον 578

δὲ ἐνταῦθά ἐστιν ἀψευδές, οὐ μὴν ἐπὶ παντί γε πράγ-
ματι, ἀλλὰ ἐπὶ τῶν καμνόντων. κάτοπτρον καλῳδίῳ τῶν
λεπτῶν δήσαντες καθιᾶσι, σταθμώμενοι μὴ πρόσω κα-
θικέσθαι τῆς πηγῆς, ἀλλ' ὅσον ἐπιψαῦσαι τοῦ ὕδατος τῷ
κύκλῳ τοῦ κατόπτρου. τὸ δὲ ἐντεῦθεν εὐξάμενοι τῇ θεῷ
καὶ θυμιάσαντες ἐς τὸ κάτοπτρον βλέπουσι· τὸ δέ σφισι
τὸν νοσοῦντα ἤτοι ζῶντα ἢ καὶ τεθνεῶτα ἐπιδείκνυσι.
τούτῳ μὲν τῷ ὕδατι ἐς τοσοῦτον μέτεστιν ἀληθείας· 13
6. Κυανεῶν δὲ τῶν πρὸς Λυκίᾳ πλησιαίτατα χρηστήριον
Ἀπόλλωνός ἐστι Θυρξέως, παρέχεται δὲ ὕδωρ τὸ πρὸς
ταῖς Κυανέαις ἐσω ἐνιδόντα τινὰ ἐς τὴν πηγὴν ὁμοίως
πάντα ὁπόσα θέλει θεάσασθαι. Ἐν Πάτραις δὲ πρὸς τῷ
ἄλσει καὶ ἱερὰ δύο ἐστὶ Σαράπιδος· ἐν δὲ τῷ ἑτέρῳ πε-
ποίηται μνῆμα Αἰγύπτου τοῦ Βήλου. φυγεῖν δὲ ἐς τὴν
Ἀρόην οἱ Πατρεῖς φασὶν αὐτὸν τοῖς τε ἐς τοὺς παῖδας
παθήμασι καὶ τὸ ὄνομα αὐτὸ πεφρικότα τοῦ Ἄργους, καὶ
ἐς πλέον τοῦ Δαναοῦ δείματι. Ἔστι δὲ καὶ ἱερὸν Πατρεῦ- 14
σιν Ἀσκληπιοῦ· τοῦτο τὸ ἱερὸν ὑπὲρ τὴν ἀκρόπολιν τῶν
πυλῶν ἐστὶν ἐγγὺς αἳ ἐπὶ Μεσάτιν ἄγουσιν.

7. Αἱ δὲ γυναῖκές εἰσιν ἐν ταῖς Πάτραις ἀριθμὸν μὲν
καὶ ἐς δὶς τῶν ἀνδρῶν· Ἀφροδίτης δέ, εἴπερ ἄλλαις γυ-
ναιξί, μέτεστι καὶ ταύταις. βίος δὲ αὐτῶν ταῖς πολλαῖς
ἐστὶν ἀπὸ τῆς βύσσου τῆς ἐν τῇ Ἤλιδι φυομένης· κεκρυ-
φάλους τε γὰρ ἀπ' αὐτῆς καὶ ἐσθῆτα ὑφαίνουσι τὴν ἄλλην.

XXII. Φαραὶ δέ, Ἀχαιῶν πόλις, τελοῦσι μὲν ἐς Πά-
τρας δόντος Αὐγούστου, ὁδὸς δὲ ἐς Φαρὰς Πατρέων μὲν
ἐκ τοῦ ἄστεως στάδιοι πεντήκοντά εἰσι καὶ ἑκατόν, ἀπὸ
θαλάσσης δὲ ἄνω πρὸς ἤπειρον περὶ ἑβδομήκοντα. ποτα-
μὸς δὲ ῥεῖ πλησίον Φαρῶν Πίερος, ὁ αὐτός, ἐμοὶ δοκεῖν,
ὃς καὶ τὰ Ὠλένου παρέξεισιν ἐρείπια, ὑπὸ ἀνθρώπων
τῶν πρὸς θαλάσσῃ καλούμενος Πεῖρος. Πρὸς δὲ τῷ πο-
579 ταμῷ πλατάνων ἐστὶν ἄλσος, κοῖλαί τε ὑπὸ παλαιότητος

αἱ πολλαί, καὶ ἥκουσαι μεγέθους ἐς τοσοῦτον ὥστε καὶ
ἑστιῶνται τῶν χηραμῶν ἐντός, καὶ ὁπόσοις ἂν κατὰ γνώ-
2 μην ᾗ, καὶ ἐγκαθεύδουσι. 2. Περίβολος δὲ ἀγορᾶς μέγας
κατὰ τρόπον τὸν ἀρχαιότερόν ἐστιν ἐν Φαραῖς, Ἑρμοῦ
δὲ ἐν μέσῃ τῇ ἀγορᾷ λίθου πεποιημένον ἄγαλμα, ἔχων
καὶ γένεια· ἑστηκὼς δὲ πρὸς αὐτῇ τῇ γῇ παρέχεται μὲν
τὸ τετράγωνον σχῆμα, μεγέθει δέ ἐστιν οὐ μέγας. καὶ
αὐτῷ καὶ ἐπίγραμμα ἔπεστιν, ἀναθεῖναι αὐτὸ Μεσσήνιον
Σιμύλον. καλεῖται μὲν δὴ Ἀγοραῖος, παρὰ δὲ αὐτῷ καὶ
χρηστήριον καθέστηκε. κεῖται δὲ πρὸ τοῦ ἀγάλματος
ἑστία λίθου καὶ αὐτή, μολίβδῳ δὲ πρὸς τὴν ἑστίαν προσ-
3 έχονται λύχνοι χαλκοῖ. ἀφικόμενος οὖν περὶ ἑσπέραν ὁ
τῷ θεῷ χρώμενος λιβανωτόν τε ἐπὶ τῆς ἑστίας θυμιᾷ,
καὶ ἐμπλήσας τοὺς λύχνους ἐλαίου καὶ ἐξάψας τίθησιν ἐπὶ
τὸν βωμὸν τοῦ ἀγάλματος ἐν δεξιᾷ νόμισμα ἐπιχώριον,
καλεῖται δὲ χαλκοῦς τὸ νόμισμα, καὶ ἐρωτᾷ πρὸς τὸ οὖς
τὸν θεὸν ὁποῖόν τι καὶ ἑκάστῳ τὸ ἐρώτημά ἐστι· τὸ ἀπὸ
τούτου δὲ ἄπεισιν ἐκ τῆς ἀγορᾶς ἐπιφραξάμενος τὰ ὦτα.
προελθὼν δὲ ἐς τὸ ἐκτὸς τὰς χεῖρας ἀπέσχεν ἀπὸ τῶν
ὤτων, καὶ ἥστινος ἂν ἐπακούσῃ φωνῆς, μάντευμα ἡγεῖ-
4 ται. Τοιαύτη καὶ Αἰγυπτίοις ἑτέρα περὶ τοῦ Ἄπιδος τὸ
ἱερὸν μαντεία καθέστηκεν. Ἐν Φαραῖς δὲ καὶ ὕδωρ ἱερόν
ἐστιν· Ἑρμοῦ νᾶμα μὲν τῇ πηγῇ τὸ ὄνομα, τοὺς δὲ ἰχθῦς
οὐχ αἱροῦσιν ἐξ αὐτῆς, ἀνάθημα εἶναι τοῦ θεοῦ νομί-
ζοντες. 3. Ἑστήκασι δὲ ἐγγύτατα τοῦ ἀγάλματος τετρά-
γωνοι λίθοι τριάκοντα μάλιστα ἀριθμόν· τούτους σέβου-
σιν οἱ Φαρεῖς, ἑκάστῳ θεοῦ τινὸς ὄνομα ἐπιλέγοντες.
τὰ δὲ ἔτι παλαιότερα καὶ τοῖς πᾶσιν Ἕλλησι τιμὰς θεῶν
5 ἀντὶ ἀγαλμάτων εἶχον ἀργοὶ λίθοι. Φαρεῦσι δὲ ὅσον
πέντε σταδίους καὶ δέκα ἀπωτέρω τῆς πόλεώς ἐστιν ἄλ-
σος Διοσκούρων. δάφναι μάλιστα ἐν αὐτῷ πεφύκασι,
ναὸς δὲ οὐκ ἦν ἐν αὐτῷ οὐδὲ ἀγάλματα· κομισθῆναι δὲ

οἱ ἐπιχώριοί φασιν ἐς Ῥώμην τὰ ἀγάλματα. ἐν Φαραῖς
580 δὲ ἐν τῷ ἄλσει βωμὸς λίθων λογάδων ἐστί. πυθέσθαι δὲ
οὐκ εἴχον εἰ [ὁ] Φάρης ὁ Φυλοδαμείας τῆς Δαναοῦ σφίσιν
ἢ ὁμώνυμος ἐκείνῳ τις ἐγένετο οἰκιστής.

4. Τρίτεια δέ, Ἀχαιῶν καὶ αὕτη πόλις, ἐν μεσογαίῳ 6
μὲν ᾤκισται, τελοῦσι δὲ ἐς Πάτρας καὶ αὐτοὶ βασιλέως
δόντος. στάδιοι δὲ ἐς Τρίτειαν εἴκοσί τε καὶ ἑκατόν εἰσιν
ἐκ Φαρῶν. πρὶν δὲ ἢ ἐς τὴν πόλιν ἐσελθεῖν μνῆμά ἐστι
λευκοῦ λίθου, θέας καὶ ἐς τὰ ἄλλα ἄξιον καὶ οὐχ ἥκιστα
ἐπὶ ταῖς γραφαῖς αἵ εἰσιν ἐπὶ τοῦ τάφου, τέχνη Νικίου,
θρόνος τε ἐλέφαντος καὶ γυνὴ νέα καὶ εἴδους εὖ ἔχουσα
ἐπὶ τῷ θρόνῳ, θεράπαινα δὲ αὐτῇ προσέστηκε σκιάδιον
φέρουσα· καὶ νεανίσκος ὀρθὸς οὐκ ἔχων πω γένειά ἐστι 7
χιτῶνα ἐνδεδυκὼς καὶ χλαμύδα ἐπὶ τῷ χιτῶνι φοινικῆν·
παρὰ δὲ αὐτὸν οἰκέτης ἀκόντια ἔχων ἐστί, καὶ ἄγει κύνας
ἐπιτηδείας θηρεύουσιν ἀνθρώποις. πυθέσθαι μὲν δὴ τὰ
ὀνόματα αὐτῶν οὐκ εἴχομεν· ταφῆναι δὲ ἄνδρα καὶ γυ-
ναῖκα ἐν κοινῷ παρίστατο ἅπασιν εἰκάζειν. 5. Τριτείας δὲ 8
οἰκιστὴν οἱ μὲν Κελβίδαν γενέσθαι λέγουσιν, ἀφικόμενον
δὲ ἐκ Κύμης τῆς ἐν Ὀπικοῖς· οἱ δὲ ὡς Ἄρης συγγένοιτο
Τριτείᾳ θυγατρὶ Τρίτωνος· ἱερᾶσθαι δὲ τῆς Ἀθηνᾶς τὴν
παρθένον· Μελάνιππον δὲ παῖδα Ἄρεως καὶ Τριτείας
οἰκίσαι τε ὡς ηὐξήθη τὴν πόλιν, καὶ θέσθαι τὸ ὄνομα
ἀπὸ τῆς μητρός. 6. Ἐν Τριτείᾳ δὲ ἔστι μὲν ἱερὸν καλου- 9
μένων Μεγίστων θεῶν, ἀγάλματα δέ σφισι πηλοῦ πε-
ποιημένα· τούτοις κατὰ ἔτος ἑορτὴν ἄγουσιν, οὐδέν τι
ἀλλοίως ἢ καὶ τῷ Διονύσῳ δρῶσιν Ἕλληνες. ἔστι δὲ καὶ
Ἀθηνᾶς ναός, τὸ δὲ ἄγαλμα λίθου τὸ ἐφ' ἡμῶν· τὸ δὲ
ἀρχαῖον ἐς Ῥώμην, καθὰ οἱ Τριτεεῖς λέγουσιν, ἐκομί-
σθη. θύειν δὲ οἱ ἐνταῦθα καὶ Ἄρει καὶ τῇ Τριτείᾳ νομί-
ζουσιν.

7. Αἵδε μὲν οὖν θαλάσσης τέ εἰσιν ἀπωτέρω πόλεις 10

καὶ ἠπειρώτιδες βεβαίως· πλέοντι δὲ ἐς Αἴγιον ἐκ Πα-
τρῶν ἄκρα πρῶτόν ἐστιν ὀνομαζομένη Ῥίον, σταδίους δὲ 581
Πατρῶν πεντήκοντα ἀπέχουσα, λιμὴν δὲ ὁ Πάνορμος
σταδίοις πέντε καὶ δέκα ἀπωτέρω τῆς ἄκρας. τοσούτους
δὲ ἀφέστηκεν ἑτέρους ἀπὸ Πανόρμου τὸ Ἀθηνᾶς καλού-
μενον τεῖχος. Ἐς δὲ λιμένα Ἐρινεὸν ἐξ Ἀθηνᾶς τείχους
παράπλους ἐνενήκοντά εἰσι στάδιοι, ἑξήκοντα δὲ ἐς Αἴ-
γιον ἀπὸ τοῦ Ἐρινεοῦ· ὁδὸς δὲ ἡ πεζὴ σταδίους τεσσαρά-
κοντα μάλιστα ἐς τὸν ἀριθμὸν ἀποδεῖ τὸν εἰρημένον.
11 Οὐ πόρρω δὲ τοῦ Πατρέων ἄστεως ποταμός τε ὁ Μείλιχος
καὶ τὸ ἱερὸν τῆς Τρικλαρίας ἐστίν, ἄγαλμα οὐδὲν ἔτι
ἔχον. τοῦτο μὲν δή ἐστιν ἐν δεξιᾷ, προελθόντι δὲ ἀπὸ
τοῦ Μειλίχου ποταμός ἐστιν ἄλλος· ὄνομα μὲν τῷ πο-
ταμῷ Χάραδρος, ὥρᾳ δὲ ἦρος πίνοντα ἐξ αὐτοῦ τὰ βο-
σκήματα [ὀφείλει] τίκτειν ἄρρενα ὡς τὰ πλείω συμβαίνει·
καὶ τοῦδε ἕνεκα οἱ νομεῖς ἑτέρωσε αὐτὰ τῆς χώρας μεθι-
στᾶσι, πλήν γε δὴ τὰς βοῦς. ταύτας δὲ αὐτοῦ καταλεί-
πουσιν ἐπὶ τῷ ποταμῷ, διότι καὶ πρὸς θυσίας οἱ ταῦροί
σφισι καὶ ἐς τὰ ἔργα ἐπιτηδειότεροι θηλειῶν βοῶν εἰσίν·
ἐπὶ δὲ τοῖς ἄλλοις κτήνεσι τὸ θῆλυ ἐπὶ πλέον τετίμηται.

XXIII. Μετὰ δὲ τὸν Χάραδρον ἐρείπια οὐκ ἐπιφανῆ
πόλεώς ἐστιν Ἀργυρᾶς, καὶ πηγή τε Ἀργυρᾶ ἐν δεξιᾷ
τῆς λεωφόρου καὶ Σέλεμνος ποταμὸς κατιὼν ἐς θάλασ-
σαν. 2. Λόγος δὲ τῶν ἐπιχωρίων ἐς αὐτόν ἐστι, Σέλεμνον
μειράκιον ὡραῖον ποιμαίνειν ἐνταῦθα, Ἀργυρᾶν δὲ εἶναι
μὲν τῶν ἐν θαλάσσῃ νυμφῶν, ἐρασθεῖσαν δὲ αὐτὴν Σε-
λέμνου φοιτᾶν τε ὡς αὐτόν φασιν ἐκ θαλάσσης ἀνιοῦσαν,
2 καὶ καθεύδειν παρ' αὐτῷ. μετὰ δὲ οὐ πολὺν χρόνον οὔτε
ὡραῖος ἔτι ἐφαίνετο Σέλεμνος, οὔτε ὡς αὐτὸν φοιτήσειν
ἔμελλεν ἡ νύμφη. Σέλεμνον δὲ μονωθέντα Ἀργυρᾶς καὶ
τελευτήσαντα ὑπὸ τοῦ ἔρωτος ἐποίησεν Ἀφροδίτη ποτα-
μόν. λέγω δὲ τὰ ὑπὸ Πατρέων λεγόμενα. καί, ἤρα γὰρ

καὶ ὕδωρ γενόμενος Ἀργυρᾶς, καθότι ἔχει καὶ ἐπὶ τῷ
582 Ἀλφειῷ λόγος Ἀρεθούσης ἔτι ἐρᾶν αὐτόν, δωρεῖται καὶ
τῷδε Ἀφροδίτη Σέλεμνον, ἐς λήθην ἄγει τὸν ποταμὸν
Ἀργυρᾶς. Ἤκουσα δὲ καὶ ἄλλον ἐπ' αὐτῷ λόγον, τὸ ὕδωρ 3
τοῦ Σελέμνου σύμφορον καὶ ἀνδράσιν εἶναι καὶ γυναιξὶν
ἐς ἔρωτος ἴαμα, λουομένοις ἐν τῷ ποταμῷ λήθην ἔρωτος
γίνεσθαι. εἰ δὲ μέτεστιν ἀληθείας τῷ λόγῳ, τιμιώτερον
χρημάτων πολλῶν ἐστὶν ἀνθρώποις τὸ ὕδωρ τοῦ Σε-
λέμνου.

3. Ἀπωτέρω δὲ Ἀργυρᾶς ποταμός ἐστιν ὀνομαζόμε- 4
νος Βολιναῖος, καὶ πόλις ποτὲ ᾠκεῖτο πρὸς αὐτῷ Βολίνα.
παρθένου [δὲ] ἐρασθῆναι Βολίνης Ἀπόλλωνα, τὴν δὲ
φεύγουσαν ἐς τὴν ταύτῃ φασὶν ἀφεῖναι θάλασσαν αὑτήν,
καὶ ἀθάνατον γενέσθαι χάριτι τοῦ Ἀπόλλωνος. 4. Ἐφε-
ξῆς δὲ ἄκρα τε ἐς τὴν θάλασσαν ἔχει, καὶ ἐπ' αὐτῇ λέγε-
ται λόγος ὡς Κρόνος τῆς θαλάσσης ἐνταῦθα ἔρριψε τὸ
δρέπανον, ᾧ τὸν πατέρα Οὐρανὸν ἐλυμήνατο· ἐπὶ τούτῳ
δὲ καὶ τὴν ἄκραν Δρέπανον ὀνομάζουσιν. Ὀλίγον δὲ
ὑπὲρ τὴν λεωφόρον Ῥυπῶν ἐστὶ τὰ ἐρείπια· σταδίους
δὲ Αἴγιον περὶ τοὺς τριάκοντα ἀπέχει Ῥυπῶν. 5. Αἰγίου 5
δὲ τὴν χώραν διέξεισι μὲν ποταμὸς Φοῖνιξ, διέξεισι δὲ
καὶ ἕτερος Μειγανίτας, ἐς θάλασσαν ῥέοντες. Στοὰ δὲ
τῆς πόλεως πλησίον ἐποιήθη Στράτωνι ἀθλητῇ, Ὀλυμ-
πίασιν ἐπὶ ἡμέρας τῆς αὐτῆς παγκρατίου καὶ πάλης ἀνε-
λομένῳ νίκας. αὕτη μὲν ἐγγυμνάζεσθαι τούτῳ τῷ ἀνδρὶ
ἐποιήθη· Αἰγιεῦσι δὲ Εἰλειθυίας ἱερόν ἐστιν ἀρχαῖον,
καὶ ἡ Εἰλείθυια ἐς ἄκρους ἐκ κεφαλῆς τοὺς πόδας ὑφάσ-
ματι κεκάλυπται λεπτῷ, ξόανον πλὴν προσώπου τε καὶ
χειρῶν ἄκρων καὶ ποδῶν· ταῦτα δὲ τοῦ Πεντελησίου λί- 6
θου πεποίηται. καὶ ταῖς χερσὶ τῇ μὲν ἐς εὐθὺ ἐκτέταται,
τῇ δὲ ἀνέχει δᾷδα. Εἰλειθυίᾳ δὲ εἰκάσαι τις ἂν εἶναι δᾷ-
δας, ὅτι γυναιξὶν ἐν ἴσῳ καὶ πῦρ εἰσὶν αἱ ὠδῖνες. ἔχοιεν

δ' ἂν λογον καὶ ἐπὶ τοιῷδε αἱ δᾷδες, ὅτι Εἰλείθυιά ἐστιν
ἡ ἐς φῶς ἄγουσα τοὺς παῖδας. ἔργον δὲ τοῦ Μεσσηνίου
Δαμοφῶντός ἐστι τὸ ἄγαλμα.
7 6. Τῆς δὲ Εἰλειθυίας οὐ μακρὰν Ἀσκληπιοῦ τέ ἐστι
τέμενος καὶ ἀγάλματα Ὑγιείας καὶ Ἀσκληπιοῦ. ἰαμβεῖον
δὲ ἐπὶ τῷ βάθρῳ τὸν Μεσσήνιον Δαμοφῶντα εἶναι τὸν
εἰργασμένον φησίν. Ἐν τούτῳ τοῦ Ἀσκληπιοῦ τῷ ἱερῷ 583
ἐς ἀντιλογίαν ἀφίκετο ἀνήρ μοι Σιδόνιος, ὃς ἐγνωκέναι
τὰ ἐς τὸ θεῖον ἔφασκε Φοίνικας τά τε ἄλλα Ἑλλήνων βέλ-
τιον, καὶ δὴ καὶ Ἀσκληπιῷ πατέρα μὲν σφᾶς Ἀπόλλωνα
ἐπιφημίζειν, θνητὴν δὲ γυναῖκα οὐδεμίαν μητέρα·
8 Ἀσκληπιὸν μὲν γὰρ ἀέρα γένει τε ἀνθρώπων εἶναι καὶ
πᾶσιν ὁμοίως ζῴοις ἐπιτήδειον πρὸς ὑγίειαν, Ἀπόλλωνα
δὲ ἥλιον, καὶ αὐτὸν ὀρθότατα Ἀσκληπιῷ πατέρα ἐπονο-
μάζεσθαι, ὅτι ἐς τὸ ἁρμόζον ταῖς ὥραις ποιούμενος ὁ
ἥλιος τὸν δρόμον μεταδίδωσι καὶ τῷ ἀέρι ὑγιείας. ἐγὼ
δὲ ἀποδέχεσθαι μὲν τὰ εἰρημένα, οὐδὲν δέ τι Φοινίκων
μᾶλλον ἢ καὶ Ἑλλήνων ἔφην τὸν λόγον, ἐπεὶ καὶ ἐν Τι-
τάνῃ τῆς Σικυωνίων τὸ αὐτὸ ἄγαλμα Ὑγίειάν τε ὀνομά-
ζεσθαι, καὶ παιδὶ εἶναι δῆλα ὡς τὸν ἡλιακὸν δρόμον ἐπὶ
γῆς ὑγίειαν ποιοῦντα ἀνθρώποις.
9 7. Αἰγιεῦσι δὲ Ἀθηνᾶς τε ναὸς καὶ Ἥρας ἐστὶν ἄλ-
λος. Ἀθηνᾶς μὲν δὴ δύο ἀγάλματα λευκοῦ λίθου· τῆς δὲ
Ἥρας τὸ ἄγαλμα ὅτι μὴ γυναιξίν, ἣ ἂν τὴν ἱερωσύνην
ἔχῃ, ἄλλῳ γε δὴ οὐδενὶ ἔστι θεάσασθαι. Διονύσου δὲ
πρὸς τῷ θεάτρῳ πεποίηταί σφισιν ἱερὸν καὶ ἄγαλμα, οὐκ
ἔχων πω γένεια. ἔστι δὲ καὶ Διὸς ἐπίκλησιν Σωτῆρος ἐν
τῇ ἀγορᾷ τέμενος, καὶ ἀγάλματα ἐσελθόντων ἐν ἀριστερᾷ
χαλκοῦ μὲν ἀμφότερα, τὸ δὲ οὐκ ἔχον πω γένεια ἐφαί-
10 νετο ἀρχαιότερον εἶναί μοι. Ἐν δὲ οἰκήματι κατευθὺ τῆς
ὁδοῦ χαλκοῦ καὶ ταῦτα ἔστι μὲν Ποσειδῶν καὶ Ἡρακλῆς,
ἔστι δὲ Ζεύς τε καὶ Ἀθηνᾶ· θεοὺς δὲ σφᾶς καλοῦσιν ἐξ

Ἄργους, ὡς μὲν ὁ Ἀργείων ἔχει λόγος, ὅτι ἐποιήθησαν
ἐν τῇ πόλει τῇ Ἀργείων, ὡς δὲ αὐτοὶ λέγουσιν οἱ Αἰγιεῖς,
παρακαταθήκη σφίσιν ὑπὸ Ἀργείων ἐδόθη τὰ ἀγάλματα.
καὶ αὐτοῖς καὶ τάδε ἔτι προσταχθῆναί φασιν, ἑκάστῃ τοῖς 11
584 ἀγάλμασιν ἡμέρᾳ θύειν· αὐτοὶ δὲ σόφισμα εὑρόντες
θύειν μὲν πλεῖστα ὅσα, κατευωχουμένοις δὲ τὰ ἱερεῖα ἐν
κοινῷ ἀνάλωμα οὐδὲν ἐς αὐτὰ γίνεσθαι· τέλος δὲ ἀπαι-
τεῖσθαι ὑπὸ τῶν Ἀργείων, καὶ αὐτοὶ τὰ ἐς τὰς θυσίας
ἀναλούμενα ἀπαιτεῖν· τοὺς δέ, οὐ γὰρ ἔχειν ἐκτῖσαι,
καταλιπεῖν σφίσιν αὐτοὺς τὰ ἀγάλματα.

XXIV. Αἰγιεῦσι δὲ ἔστι μὲν πρὸς τῇ ἀγορᾷ ναὸς
Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἐν κοινῷ, ἔστι δὲ ἐν τῇ ἀγορᾷ
ἱερὸν Ἀρτέμιδος, τοξευούσῃ δὲ εἴκασται, καὶ Ταλθυ-
βίου τοῦ κήρυκος τάφος· κέχωσται δὲ τῷ Ταλθυβίῳ καὶ
ἄλλο μνῆμα ἐν Σπάρτῃ, καὶ αὐτῷ αἱ πόλεις ἐναγίζουσιν
ἀμφότεραι. Πρὸς θαλάσσῃ δὲ Ἀφροδίτης ἱερὸν ἐν Αἰγίῳ, 2
καὶ μετ' αὐτὸ Ποσειδῶνος, Κόρης τε πεποίηται τῆς Δή-
μητρος, καὶ τέταρτον Ὁμαγυρίῳ Διί. ἐνταῦθα Διὸς καὶ
Ἀφροδίτης ἐστὶ καὶ Ἀθηνᾶς ἀγάλματα. 2. Ὁμαγύριος δὲ
ἐγένετο τῷ Διὶ ἐπίκλησις, ὅτι Ἀγαμέμνων ἤθροισεν ἐς
τοῦτο τὸ χωρίον τοὺς λόγου μάλιστα ἐν τῇ Ἑλλάδι ἀξίους,
μεθέξοντας ἐν κοινῷ βουλῆς καθ' ὄντινα χρὴ τρόπον ἐπὶ
ἀρχὴν τὴν Πριάμου στρατεύεσθαι. Ἀγαμέμνονι δὲ καὶ
ἄλλα ἐστὶν ἐς ἔπαινον, καὶ ὅτι τοῖς ἐξ ἀρχῆς ἀκολουθή-
σασι καὶ οὐδεμιᾶς ἐπελθούσης ὕστερον στρατιᾶς τήν τε
Ἴλιον ἐπόρθησε καὶ ὅσαι περίοικοι πόλεις ἦσαν. Ἐφεξῆς 3
δὲ τῷ Ὁμαγυρίῳ Διὶ Παναχαιᾶς ἐστὶ Δήμητρος. παρέ-
χεται δὲ ὁ αἰγιαλός, ἐν ᾧ καὶ τὰ ἱερὰ Αἰγιεῦσίν ἐστι τὰ
εἰρημένα, ὕδωρ ἄφθονον θεάσασθαί τε καὶ πιεῖν ἐκ πη-
γῆς ἡδύ. ἔστι δέ σφισι καὶ Σωτηρίας ἱερόν. ἰδεῖν μὲν δὴ
τὸ ἄγαλμα οὐδενὶ πλὴν τῶν ἱερουμένων ἔστι, δρῶσι δὲ
ἄλλα τοιαῦτα· λαμβάνοντες παρὰ τῆς θεοῦ πέμματα ἐπι-

χώρια ἀφιᾶσιν ἐς θάλασσαν, πέμπειν δὲ τῇ ἐν Συρακού-
4 σαις Ἀρεθούσῃ φασὶν αὐτά. Ἔστι δὲ καὶ ἄλλα Αἰγιεῦσιν
ἀγάλματα χαλκοῦ πεποιημένα, Ζεύς τε ἡλικίαν παῖς καὶ
Ἡρακλῆς, οὐδὲ οὗτος ἔχων πω γένεια, Ἀγελάδα τέχνη
τοῦ Ἀργείου. τούτοις κατὰ ἔτος ἱερεῖς αἱρετοὶ γίνονται,
καὶ ἑκάτερα τῶν ἀγαλμάτων ἐπὶ ταῖς οἰκίαις μένει τοῦ
ἱερουμένου. τὰ δὲ ἔτι παλαιότερα προεκέκριτο ἐκ τῶν 585
παίδων ἱερᾶσθαι τῷ Διὶ ὁ νικῶν κάλλει· ἀρχομένων δὲ
αὐτῷ γενείων ἐς ἄλλον παῖδα ἡ ἐπὶ τῷ κάλλει μετῄει τιμή.
ταῦτα μὲν οὕτως ἐνομίζετο· ἐς δὲ Αἴγιον καὶ ἐφ' ἡμῶν
ἔτι συνέδριον τὸ Ἀχαιῶν ἀθροίζεται, καθότι ἐς Θερμο-
πύλας τε καὶ ἐς Δελφοὺς οἱ Ἀμφικτυόνες.
5 **3.** Ἰόντι δὲ ἐς τὸ πρόσω Σελινοῦς τε ποταμός, καὶ
ἀπωτέρω τεσσαράκοντα Αἰγίου σταδίοις ἐπὶ θαλάσσῃ
χωρίον ἐστὶν Ἑλίκη. **4.** Ἐνταῦθα ᾤκητο Ἑλίκη πόλις, καὶ
Ἴωσιν ἱερὸν ἁγιώτατον Ποσειδῶνος ἦν Ἑλικωνίου. δια-
μεμένηκε δέ σφισι, καὶ ὡς ὑπὸ Ἀχαιῶν ἐκπεσόντες ἐς
Ἀθήνας καὶ ὕστερον ἐξ Ἀθηνῶν ἐς τὰ παραθαλάσσια ἀφί-
κοντο τῆς Ἀσίας, σέβεσθαι Ποσειδῶνα Ἑλικώνιον· καὶ
Μιλησίοις τε ἰόντι ἐπὶ τὴν πηγὴν τὴν Βιβλίδα Ποσειδῶ-
νος πρὸ τῆς πόλεώς ἐστιν Ἑλικωνίου βωμός, καὶ ὡσαύ-
τως ἐν Τέῳ περίβολός τε καὶ βωμός ἐστι τῷ Ἑλικωνίῳ
6 θέας ἄξιος. ἔστι δὲ καὶ Ὁμήρῳ πεποιημένα ἐς Ἑλίκην καὶ
τὸν Ἑλικώνιον Ποσειδῶνα. χρόνῳ δὲ ὕστερον Ἀχαιοῖς
τοῖς ἐνταῦθα, ἱκέτας ἄνδρας ἀποστήσασιν ἐκ τοῦ ἱεροῦ
καὶ ἀποκτείνασιν, οὐκ ἐμέλλησε τὸ μήνιμα ἐκ τοῦ Πο-
σειδῶνος, ἀλλὰ σεισμὸς ἐς τὴν χώραν σφίσιν αὐτίκα κα-
τασκήψας τῶν τε οἰκοδομημάτων τὴν κατασκευὴν καὶ
ὁμοῦ τῇ κατασκευῇ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἀφα-
7 νὲς ἐς τοὺς ἔπειτα ἐποίησε. **6.** Τὰ μὲν οὖν ἄλλα ἐπὶ τοῖς
σεισμοῖς, ὅσοι μεγέθει τε ὑπερήρκασι καὶ ἐπὶ μήκιστον
διικνοῦνται τῆς γῆς, προσημαίνειν ὁ θεὸς κατὰ τὰ αὐτὰ

ὡς τὸ ἐπίπαν εἴωθεν. ἢ γὰρ ἐπομβρίαι συνεχεῖς ἢ αὐχμοὶ
πρὸ τῶν σεισμῶν συμβαίνουσιν ἐπὶ χρόνον πλείονα· καὶ
ὁ ἀὴρ παρὰ τὴν ἑκάστοτε τοῦ ἔτους ὥραν χειμῶνός τε γί-
νεται καυματωδέστερος, καὶ ἐν θέρει μετὰ ἀχλύος μᾶλ-
λον ὁ κύκλος παρέχεται τοῦ ἡλίου τὴν χρόαν παρὰ τὸ
586 εἰωθὸς ἤτοι ἐς τὸ ἐρυθρότερον ἢ καὶ ἡσυχῇ ῥέπουσαν ἐς
τὸ μελάντερον. τῶν τε ὑδάτων ὡς τὸ πολὺ ἐπιλείπουσιν 8
αἱ πηγαί, καὶ ἀνέμων ἔστιν οἷς ἐνέπεσον ἐς τὴν χώραι
ἐμβολαὶ περιτρέπουσαι τὰ δένδρα, καί που καὶ ἐν τῷ οὐ-
ρανῷ διαδρομαὶ σὺν πολλῇ τῇ φλογί, τὰ δὲ καὶ ἀστέρων
ὤφθη σχήματα οὔτε ἐγνωσμένα ὑπὸ τῶν πρότερον καὶ
μεγάλην τοῖς ὁρῶσιν ἐμποιοῦντα ἔκπληξιν, ἔτι δὲ καὶ τῆς
γῆς κάτω πνευμάτων ὑφήγησις ἰσχυρά· ἄλλα τε πολλὰ ὁ
θεὸς ἐπὶ τοῖς βιαίοις τῶν σεισμῶν ἐθέλει προενδείκνυ-
σθαι. Τῆς δὲ κινήσεως αὐτῆς καθέστηκεν οὐχ εἷς τρόπος, 9
ἀλλ' οἱ φροντίσαντες τὰ τοιαῦτα ἐξ ἀρχῆς καὶ οἱ παρ' ἐκεί-
νων διδαχθέντες ἰδέας καταμαθεῖν ἐδυνήθησαν τοσάσδε
ἐπὶ τοῖς σεισμοῖς. Ἠπιώτατος μέν ἐστιν αὐτῶν, ἣν δὴ ἐν
κακῷ γε τοσούτῳ ῥᾳστώνην ἐνεῖναί τινα ἡγησώμεθα,
ἐπειδὰν ὁμοῦ τῇ κινήσει τῇ ἀρξαμένῃ τὸ πρῶτον καὶ τῇ
ἐς τὸ ἔδαφος τροπῇ τῶν οἰκοδομημάτων ἀντιστᾶσα ἐναν-
τία κίνησις ἐξεγείρῃ τὰ ἤδη τραπέντα. καὶ ἐν τῇ τοιᾷδε 10
ἰδέᾳ τοῦ σεισμοῦ κίονας ὁρᾶν ἔστιν ἀνορθουμένους, οἳ
ὀλίγου ἐδέησαν ἐς ἅπαν ἐκριφῆναι, καὶ ὁπόσα διέστη
τοίχων, συνερχόμενα ἐς τὸ ἐξ ἀρχῆς· δοκοὶ δέ, ὅσας ἐκ-
τὸς ὀλισθεῖν ἐποίησεν ἡ κίνησις, ἐπανίασιν αὖθις ἐς τὰς
ἕδρας· ὡσαύτως δὲ καὶ ὀχετῶν κατασκευῆς, καὶ εἰ δή τι
ἄλλο ἐπὶ ὕδατος ῥοαῖς προάγει, καὶ τούτων συνδεῖ τὰ
διεσπασμένα μᾶλλον ἢ ἀνθρώπων τεκτόνων. Ὁ δὲ δὴ
δεύτερος τῶν σεισμῶν ἀπώλειάν τε τῶν ἑτοιμοτέρων φέ-
ρει, καὶ ἐφ' ὅ τι ἂν βάλῃ τὴν ὁρμήν, ἀνέκλινεν αὐτίκα
τοῖς ἐς πολιορκίαν μηχανήμασιν ὁμοίως. Τὸν δὲ αὐτῶν 11

ὀλεθριωτατον τοιῷδέ τινι ἐθέλουσιν εἰκάζειν. τὸ ἐντὸς τοῦ ἀνθρώπου πνεῦμα εἰ συνεχεῖ πυρετῷ πυκνότερόν τε καὶ ὑπὸ πολλῆς ἄνω τῆς βίας ὠθοῖτο· τοῦτο δὲ ἀλλαχοῦ 587
τε τοῦ σώματος ἐπισημαίνει, καὶ ἐν ταῖς χερσὶν ὑπὸ ἑκάτερον μάλιστα τὸν καρπόν. κατὰ ταὐτὰ οὖν καὶ τὸν σεισμὸν [εἴτ'] εὐθὺ ὑποδύεσθαι τῶν οἰκοδομημάτων καὶ θεμέλια ἀναπάλλειν φασὶν αὐτόν, καθότι καὶ τὰ ἔργα τῶν σφαλάκων ἐκ μυχοῦ τῆς γῆς ἀναπέμπεται. μόνη τε ἡ τοιαύτη κίνησις οὐδὲ τοῦ οἰκισθῆναί ποτε ὑπολείπει
12 σημεῖα ἐν τῇ γῇ. Τότε δὲ ἰδέαν μὲν ταύτην ἐπὶ τῇ Ἑλίκῃ τοῦ σεισμοῦ τὴν ἐς τὸ ἔδαφος ἀνακλίνουσαν, σὺν δὲ αὐτῇ καὶ ἄλλο πῆμα τοιόνδε οἱ ἐπιγενέσθαι φασὶν ὥρᾳ χειμῶνος. ἐπῆλθε γάρ σφισιν ἐπὶ πολὺ τῆς χώρας ἡ θάλασσα, καὶ τὴν Ἑλίκην περιέλαβεν ἐν κύκλῳ πᾶσαν· καὶ δὴ καὶ τὸ ἄλσος τοῦ Ποσειδῶνος ἐπὶ τοσοῦτον ἐπέσχεν ὁ κλύδων ὡς τὰ ἄκρα τῶν δένδρων σύνοπτα εἶναι μόνον. σείσαντος δὲ ἐξαίφνης τοῦ θεοῦ, καὶ ὁμοῦ τῷ σεισμῷ τῆς θαλάσσης ἀναδραμούσης, καθείλκυσεν αὔτανδρον τὸ κῦμα
13 τὴν Ἑλίκην. τοιοῦτό γε δὴ κατέλαβεν ἕτερον τὴν ἰδέαν ἐν Σιπύλῳ πόλιν ἐς χάσμα ἀφανισθῆναι· ἐξ ὅτου δὲ ἡ ἰδέα κατεάγη τοῦ ὄρους, ὕδωρ αὐτόθεν ἐρρύη, καὶ λίμνη τε ὀνομαζομένη Σαλόη τὸ χάσμα ἐγένετο, καὶ ἐρείπια πόλεως δῆλα ἦν ἐν τῇ λίμνῃ, πρὶν ἢ τὸ ὕδωρ ἀπέκρυψεν αὐτὰ τοῦ χειμάρρου. σύνοπτα δὲ καὶ Ἑλίκης ἐστὶ τὰ ἐρείπια, οὐ μὴν ἔτι γε ὁμοίως, ἅτε ὑπὸ τῆς ἅλμης λελυμασμένα.

XXV. Τὸ δὲ τοῦ Ἱκεσίου μήνιμα πάρεστι μὲν τοῖς 588
ἐς τὴν Ἑλίκην, πάρεστι δὲ καὶ ἄλλοις διδαχθῆναι πολλοῖς ὡς ἔστιν ἀπαραίτητον. Φαίνεται δὲ καὶ ὁ θεὸς παραινῶν ὁ ἐν Δωδώνῃ νέμειν ἐς ἱκέτας αἰδῶ. Ἀθηναίοις γὰρ ἐπὶ ἡλικίας μάλιστα τῆς Ἀφείδαντος ἀφίκετο παρὰ τοῦ ἐν Δωδώνῃ Διὸς τὰ ἔπη τάδε·

Φράζεο δ' Ἄρειόν τε πάγον βωμούς τε θυώδεις
Εὐμενίδων, ὅθι χρὴ Λακεδαιμονίους σ' ἱκετεῦσαι
δουρὶ πιεζομένους. τοὺς μὴ σὺ κτεῖνε σιδήρῳ,
μηδ' ἱκέτας ἀδικεῖν· ἱκέται δ' ἱεροί τε καὶ ἁγνοί.

Ταῦτα Ἕλλησιν ἦλθεν ἐς μνήμην, ὅτε ἀφίκοντο ἐπὶ Ἀθή- 2
νας Πελοποννήσιοι, τότε Κόδρου τοῖς Ἀθηναίοις τοῦ
Μελάνθου βασιλεύοντος. ὁ μὲν δὴ ἄλλος στρατὸς τῶν
Πελοποννησίων ἀπεχώρησεν ἐκ τῆς Ἀττικῆς, ἐπειδὴ ἐπύ-
θοντο τοῦ Κόδρου τὴν τελευτὴν καὶ ὅντινα ἐγένετο αὐτῷ
τρόπον· οὐ γὰρ εἶναι νίκην ἔτι σφίσι κατὰ τὸ ἐκ Δελφῶν
μάντευμα ἤλπιζον. Λακεδαιμονίων δὲ ἄνδρες γενόμενοι
μὲν ἐντὸς τείχους λανθάνουσιν ἐν τῇ νυκτί, ἅμα δὲ ἡμέρᾳ
τούς τε ἑαυτῶν ἀπεληλυθότας αἰσθάνονται, καὶ ἀθροι-
ζομένων ἐπ' αὐτοὺς τῶν Ἀθηναίων καταφεύγουσιν ἐς
τὸν Ἄρειον πάγον καὶ ἐπὶ τῶν θεῶν αἳ Σεμναὶ καλοῦν-
ται τοὺς βωμούς. Ἀθηναῖοι δὲ τότε μὲν διδόασι τοῖς ἱκέ- 3
ταις ἀπελθεῖν ἀζημίοις, χρόνῳ δὲ ὕστερον αὐτοὶ οἱ ἔχον-
τες τὰς ἀρχὰς διέφθειραν τῆς Ἀθηνᾶς ἱκέτας τῶν Κύλωνι
ὁμοῦ τὴν ἀκρόπολιν κατειληφότων, καὶ αὐτοί τε οἱ ἀπο-
κτείναντες ἐνομίσθησαν καὶ οἱ ἐξ ἐκείνων ἐναγεῖς τῆς
θεοῦ. Λακεδαιμονίοις δὲ ἀποκτείνασι καὶ τούτοις ἄνδρας
ἐς τὸ ἱερὸν καταπεφευγότας τὸ ἐπὶ Ταινάρῳ τοῦ Ποσει-
δῶνος οὐ μετὰ πολὺ ἐσείσθη σφίσιν ἡ πόλις συνεχεῖ τε
ὁμοῦ καὶ ἰσχυρῷ τῷ σεισμῷ, ὥστε οἰκίαν μηδεμίαν τῶν
ἐν Λακεδαίμονι ἀντισχεῖν. 2. Ἐγένετο δὲ τῆς Ἑλίκης ἀπώ- 4
589 λεια Ἀστείου μὲν Ἀθήνησιν ἔτι ἄρχοντος, τετάρτῳ δὲ
ἔτει τῆς πρώτης ὀλυμπιάδος ἐπὶ ταῖς ἑκατόν, ἣν Δάμων
Θούριος ἐνίκα τὸ πρῶτον. Ἑλικαέων δὲ οὐκέτι ὄντων
νέμονται τὴν χώραν οἱ Αἰγιεῖς.

3. Μετὰ δὲ Ἑλίκην ἀποτραπήσῃ τε ἀπὸ θαλάσσης ἐς 5
δεξιάν, καὶ ἥξεις ἐς πόλισμα Κερύνειαν· ᾤκισται δὲ ὑπὲρ
τὴν λεωφόρον ἐν ὄρει, καί οἱ τὸ ὄνομα ἢ δυνάστης ἐπι-

χώριος ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν, ὃς ἐξ Ἀρκα-
δίας καὶ ὄρους Κερυνείας ῥέων Ἀχαιοὺς τοὺς ταύτῃ πα-
ρέξεισι. παρὰ τούτους σύνοικοι κατὰ συμφορὰν ἀφίκοντο
ἐκ τῆς Ἀργολίδος. Μυκηναίοις γὰρ τὸ μὲν τεῖχος ἁλῶναι
6 κατὰ τὸ ἰσχυρὸν οὐκ ἐδύνατο ὑπὸ Ἀργείων, ἐτετείχιστο
γὰρ κατὰ ταὐτὰ τῷ ἐν Τίρυνθι ὑπὸ τῶν Κυκλώπων κα-
λουμένων, κατὰ ἀνάγκην δὲ ἐκλείπουσι Μυκηναῖοι τὴν
πόλιν ἐπιλειπόντων σφᾶς τῶν σιτίων, καὶ ἄλλοι μέν τι-
νες ἐς Κλεωνὰς ἀποχωροῦσιν ἐξ αὐτῶν, τοῦ δήμου δὲ
πλέον μὲν ἥμισυ ἐς Μακεδονίαν καταφεύγουσι παρὰ
Ἀλέξανδρον, ᾧ Μαρδόνιος ὁ Γωβρύου τὴν ἀγγελίαν ἐπί-
στευσεν ἐς Ἀθηναίους ἀπαγγεῖλαι· ὁ δὲ ἄλλος δῆμος ἀφί-
κοντο ἐς τὴν Κερύνειαν, καὶ δυνατωτέρα τε ἡ Κερύνεια
οἰκητόρων πλήθει καὶ ἐς τὸ ἔπειτα ἐγένετο ἐπιφανεστέρα
7 διὰ τὴν συνοίκησιν τῶν Μυκηναίων. 4. Ἐν Κερυνείᾳ δέ
ἐστιν ἱερὸν Εὐμενίδων· ἱδρύσασθαι δὲ αὐτὸ Ὀρέστην
λέγουσιν. ὃς δ᾽ ἂν ἐνταῦθα ἢ αἵματι ἢ ἄλλῳ τῳ μιάσματι
ἔνοχος ἢ καὶ ἀσεβὴς ἐσέλθῃ θέλων θεάσασθαι, αὐτίκα
λέγεται δείμασιν ἐκτὸς τῶν φρενῶν γίνεσθαι· καὶ τοῦδε
ἕνεκα οὐ τοῖς πᾶσιν ἡ ἔσοδος οὐδὲ ἐξ ἐπιδρομῆς ἐστί.
τοῖς μὲν δὴ ἀγάλμασι ξύλων εἰργασμένοις *** μέγεθός
εἰσιν οὐ μεγάλοι, κατὰ δὲ τὴν ἔσοδον ἐς τὸ ἱερὸν γυναι-
κῶν εἰκόνες λίθου τέ εἰσιν εἰργασμέναι καὶ ἔχουσαι τέχ-
νης εὖ· ἐλέγοντο δὲ ὑπὸ τῶν ἐπιχωρίων ἱέρειαι ταῖς Εὐ-
μενίσιν αἱ γυναῖκες γενέσθαι.
8 5. Ἐκ Κερυνείας δὲ ἐπανελθόντι ἐς τὴν λεωφόρον
καὶ ὁδεύσαντι οὐκ ἐπὶ πολὺ δεύτερα ἔστιν ἐς Βοῦραν
ἀποτραπέσθαι ἀπὸ θαλάσσης ἐς δεξιάν, καὶ ἡ Βοῦρα ἐν 590
ὄρει κεῖται· τεθῆναι δέ φασι τῇ πόλει τὸ ὄνομα ἀπὸ γυ-
ναικὸς Βούρας, θυγατέρα δ᾽ αὐτὴν Ἴωνος τοῦ Ξούθου
καὶ Ἑλίκης εἶναι. ὅτε δὲ Ἑλίκην ἐποίησεν ἄδηλον ἐξ ἀν-
θρώπων ὁ θεός, τότε καὶ τὴν Βοῦραν σεισμὸς ἐπέλαβεν

ἰσχυρός, ὡς μηδὲ τὰ ἀγάλματα ἐν τοῖς ἱεροῖς ὑπολειφθῆ-
ναι τὰ ἀρχαῖα. Ὁπόσοι δὲ τηνικαῦτα ἀποδημοῦντες ἢ 9
στρατείας ἕνεκα ἔτυχον ἢ κατὰ πρόφασιν ἀλλοίαν, μόνοι
τε οὗτοι Βουραίων ἐλείφθησαν καὶ αὐτοὶ τῆς Βούρας ἐγέ-
νοντο οἰκισταί. Ναὸς ἐνταῦθα Δήμητρος, ὁ δὲ Ἀφροδίτης
Διονύσου τέ ἐστι, καὶ ἄλλος Εἰλειθυίας. λίθου τοῦ Πεν-
τελησίου τὰ ἀγάλματα, Ἀθηναίου δὲ ἔργα Εὐκλείδου· καὶ
τῇ Δήμητρί ἐστιν ἐσθής. πεποίηται δὲ καὶ Ἴσιδι ἱερόν.

6. Καταβάντων δὲ ἐκ Βούρας ὡς ἐπὶ θάλασσαν πο- 10
ταμός τε Βουραϊκὸς ὀνομαζόμενος καὶ Ἡρακλῆς οὐ μέγας
ἐστὶν ἐν σπηλαίῳ· ἐπίκλησις μὲν καὶ τούτου Βουραϊκός,
μαντεία δὲ ὑπὸ πίνακί τε καὶ ἀστραγάλοις ἐστίν. εὔχεται
μὲν γὰρ πρὸ τοῦ ἀγάλματος ὁ τῷ θεῷ χρώμενος, ἐπὶ δὲ
τῇ εὐχῇ λαβὼν ἀστραγάλους, οἱ δὲ ἄφθονοι παρὰ τῷ
Ἡρακλεῖ κεῖνται, τέσσαρας ἀφίησιν ἐπὶ τῆς τραπέζης.
ἐπὶ δὲ παντὶ ἀστραγάλῳ σχῆμά τι γεγραμμένον ἐν πίνακι
ἐπίτηδες ἐξήγησιν ἔχει τοῦ σχήματος. 7. Σταδίων ἐπὶ τὸν 11
Ἡρακλέα ὡς τριάκοντα ἐξ Ἑλίκης ὁδός ἡ εὐθεῖά ἐστι.
προελθόντι δὲ ἀπὸ τοῦ Ἡρακλέους ποταμὸς ἐς θάλασσαν
ἐκδίδωσιν ἀέναος, ἐξ ὄρους Ἀρκαδικοῦ κατερχόμενος·
ὄνομα δὲ αὐτῷ τε τῷ ποταμῷ Κρᾶθις καὶ ἔνθα αἱ πηγαὶ
τοῦ ποταμοῦ τῷ ὄρει· ἀπὸ ταύτης τῆς Κράθιδος καὶ πρὸς
Κρότωνι τῇ ἐν Ἰταλίᾳ ποταμὸς ὄνομα ἔσχηκε. Πρὸς δὲ 12
τῇ Ἀχαϊκῇ Κράθιδι Ἀχαιῶν ποτὲ ᾠκεῖτο Αἰγαὶ πόλις·
ἐκλειφθῆναι δὲ αὐτὴν ἀνὰ χρόνον ὑπὸ ἀσθενείας λέ-
γουσι. τούτων δὲ καὶ Ὅμηρος τῶν Αἰγῶν ἐν Ἥρας λόγοις
ἐποιήσατο μνήμην,

οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι,

591 δῆλον ὡς γέρα τοῦ Ποσειδῶνος ἐπ' ἴσης ἔν τε Ἑλίκῃ καὶ
ἐν ταῖς Αἰγαῖς ἔχοντος. Οὐ πολὺ δὲ ἀπωτέρω Κράθιδος 13
σῆμά τε ἐν δεξιᾷ τῆς ὁδοῦ καὶ ἄνδρα εὑρήσεις ἐπὶ τῷ
μνήματι ἵππῳ παρεστῶτα, ἀμυδρὰν γραφήν. 8. Ὁδὸς δὲ

ἀπὸ τοῦ τάφου σταδίων ὅσον τριάκοντα ἐπὶ τὸν καλούμενον Γαῖον· Γῆς δὲ ἱερόν ἐστιν ὁ Γαῖος ἐπίκλησιν Εὐρυστέρνου· ξόανον δὲ τοῖς μάλιστα ὁμοίως ἐστὶν ἀρχαῖον. γυνὴ δὲ ἡ ἀεὶ τὴν ἱερωσύνην λαμβάνουσα ἁγιστεύει μὲν τὸ ἀπὸ τούτου, οὐ μὴν οὐδὲ τὰ πρότερα ἔσται πλέον ἢ ἑνὸς ἀνδρὸς ἐς πεῖραν ἀφιγμένη. πίνουσαι δὲ αἷμα ταύρου δοκιμάζονται· ἣ δ' ἂν αὐτῶν τύχῃ μὴ ἀληθεύουσα, αὐτίκα ἐκ τούτου τὴν δίκην ἔσχεν. ἢν δὲ ὑπὲρ τῆς ἱερωσύνης ἀφίκωνται γυναῖκες ἐς ἀμφισβήτησιν πλέονες, ἡ τῷ κλήρῳ λαχοῦσα προτετίμηται.

XXVI. Ἐς δὲ τὸ ἐπίνειον τὸ Αἰγειρατῶν, ὄνομα τὸ αὐτὸ ἥ τε πόλις καὶ τὸ ἐπίνειον ἔχει, ἐς οὖν τὸ ἐπίνειον Αἰγείρων δύο καὶ ἑβδομήκοντα ἀπὸ τοῦ κατὰ τὴν ὁδὸν τὴν Βουραϊκὴν εἰσιν Ἡρακλέους στάδιοι. Ἐπὶ θαλάσσῃ μὲν δὴ Αἰγειράταις οὐδέν ἐστιν ἐς μνήμην· ὁδὸς δ' ἐκ τοῦ
2 ἐπινείου δύο σταδίων καὶ δέκα ἐς τὴν ἄνω πόλιν. 2. Ὁμήρου δὲ ἐν τοῖς ἔπεσιν Ὑπερησία ὠνόμασται· τὸ δὲ ὄνομα τὸ νῦν ἐγένετο Ἰώνων ἐποικούντων, ἐγένετο δὲ ἐπ' αἰτίᾳ τοιᾷδε. Σικυωνίων ἀφίξεσθαι στρατὸς ἔμελλεν αὐτοῖς πολέμιος ἐς τὴν γῆν. οἱ δέ, οὐ γὰρ ἐδόκουν ἀξιόμαχοι τοῖς Σικυωνίοις εἶναι, ἀθροίζουσιν αἶγας, ὁπόσαι σφίσιν ἦσαν ἐν τῇ χώρᾳ· συλλέξαντες δὲ ἔδησαν πρὸς τοῖς κέρασιν αὐτῶν δᾷδας, καὶ ὡς πρόσω νυκτὸς ἦν ἐξάπτουσι
3 τὰς δᾷδας. Σικυώνιοι δέ, ἰέναι γὰρ συμμάχους τοῖς Ὑπερησιεῦσιν ἤλπιζον, καὶ εἶναι τὴν φλόγα ἐκ τοῦ ἐπικουρικοῦ πυρός, οἱ μὲν οἴκαδε ἐπανήρχοντο, Ὑπερησιεῖς δὲ τῇ τε πόλει τὸ ὄνομα τὸ νῦν μετέθεντο ἀπὸ τῶν αἰγῶν, καὶ καθότι αὐτῶν ἡ καλλίστη καὶ ἡγουμένη τῶν ἄλλων ὤκλασεν, Ἀρτέμιδος Ἀγροτέρας ἐποιήσαντο ἱερόν, τὸ σόφισμα ἐς τοὺς Σικυωνίους οὐκ ἄνευ τῆς Ἀρτέμιδός
4 σφισιν ἐπελθεῖν νομίζοντες. οὐ μὴν καὶ αὐτίκα γε ἐξενί- 592
κησεν Αἴγειραν ἀντὶ Ὑπερησίας καλεῖσθαι, ἐπεὶ κατ' ἐμὲ

ἦσαν ἔτι οἱ Ὠρεὸν τὴν ἐν Εὐβοίᾳ τῷ ὀνόματι Ἑστίαιαν
ἐκάλουν τῷ ἀρχαίῳ. 3. Παρείχετο δὲ ἡ Αἴγειρα ἐς συγ-
γραφὴν ἱερὸν Διὸς καὶ ἄγαλμα καθήμενον, λίθου τοῦ
Πεντελησίου, Ἀθηναίου δὲ ἔργον Εὐκλείδου. ἐν τούτῳ
τῷ ἱερῷ καὶ Ἀθηνᾶς ἄγαλμα ἕστηκε· πρόσωπόν τε καὶ
ἄκραι χεῖρες ἐλέφαντος καὶ οἱ πόδες, τὸ δὲ ἄλλο ξόανον
χρυσῷ τε ἐπιπολῆς διηνθισμένον ἐστὶ καὶ φαρμάκοις.
Ἀρτέμιδός τε ναὸς καὶ ἄγαλμα τέχνης τῆς ἐφ' ἡμῶν· ἱερᾶ- 5
ται δὲ παρθένος, ἔστ' ἂν ἐς ὥραν ἀφίκηται γάμου. ἕστηκε
δὲ καὶ ἄγαλμα ἐνταῦθα ἀρχαῖον, Ἰφιγένεια ἡ Ἀγαμέμνο-
νός, ὡς οἱ Αἰγειρᾶταί φασιν· εἰ δὲ ἀληθῆ λέγουσιν οὗτοι,
δῆλός ἐστιν ἐξ ἀρχῆς Ἰφιγενείᾳ ποιηθεὶς ὁ ναός. Ἔστι 6
καὶ Ἀπόλλωνος ἱερὸν ἐς τὰ μάλιστα ἀρχαῖον, τό τε ἱερὸν
αὐτὸ καὶ ὁπόσα ἐν τοῖς ἀετοῖς· ἀρχαῖον δὲ καὶ τοῦ θεοῦ
τὸ ξόανον, γυμνός, μεγέθει μέγας. τὸν ποιήσαντα δὲ
εἶχεν οὐδεὶς τῶν ἐπιχωρίων εἰπεῖν· ὅστις δὲ ἤδη τὸν
Ἡρακλέα τὸν ἐν Σικυῶνι ἐθεάσατο, τεκμαίροιτο ἂν καὶ
ἐν Αἰγείρᾳ τὸν Ἀπόλλωνα ἔργον εἶναι τοῦ αὐτοῦ Φλια-
σίου Λαφάους. Ἀσκληπιοῦ δὲ ἀγάλματα ὀρθά ἐστιν ἐν 7
ναῷ, καὶ Σαράπιδος ἑτέρωθι καὶ Ἴσιδος, λίθου καὶ ταῦτα
Πεντελησίου. τὴν δὲ Οὐρανίαν σέβουσι μὲν τὰ μάλιστα,
ἐσελθεῖν δὲ ἐς τὸ ἱερὸν οὐκ ἔστιν ἀνθρώποις. θεοῦ δὲ
ἣν Συρίαν ἐπονομάζουσιν, ἐς ταύτης τὸ ἱερὸν ἐσίασιν ἐν
ἡμέραις ῥηταῖς, ἄλλα τε ὅσα νομίζουσι προκαθαριεύσαν-
τες καὶ ἐς τὴν δίαιταν. Οἶδα καὶ οἴκημα ἐν Αἰγείρᾳ θεα- 8
σάμενος· ἄγαλμα ἦν ἐν τῷ οἰκήματι Τύχης, τὸ κέρας
φέρουσα τὸ Ἀμαλθείας· παρὰ δὲ αὐτὴν Ἔρως πτερὰ
ἔχων ἐστίν· ἐθέλει δὲ σημαίνειν ὅτι ἀνθρώποις καὶ τὰ
ἐς ἔρωτα τύχῃ μᾶλλον ἢ ὑπὸ κάλλους κατορθοῦται. Ἐγὼ
μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ, καὶ Μοι-
ρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι
593 ἰσχύειν. Ἐν Αἰγείρᾳ δὲ ἐν τούτῳ τῷ οἰκήματι, ἀνήρ τε 9

ἤδη γέρων ἴσα καὶ ὀδυρόμενος, καὶ γυναῖκες τρεῖς ἀφαι-
ρούμεναι ψέλιά εἰσι, καὶ ἴσοι νεανίσκοι ταῖς γυναιξί, καὶ
ὁ ** ἐνδεδυκὼς θώρακα. ἐς τοῦτόν φασιν Ἀχαιοῖς γενο-
μένου πολέμου μαχεσάμενον ἀνδρειότατα Αἰγειρατῶν
τελευτῆσαι, καὶ αὐτοῦ τὸν θάνατον οἱ λοιποὶ τῶν ἀδελ-
φῶν οἴκαδε ἀπήγγειλαν· καὶ τοῦδε ἕνεκα αἵ τε ἀδελφαὶ
διὰ τὸ ἐπ' αὐτῷ πένθος ἀποκοσμοῦνται, καὶ τὸν πατέρα
ἐπονομάζουσιν οἱ ἐπιχώριοι Συμπαθῆ, ἅτε ἐλεεινὸν καὶ
ἐν τῇ εἰκόνι.
10 4. Ὁδὸς δὲ ἐξ Αἰγείρας εὐθεῖα ἀπὸ τοῦ ἱεροῦ τοῦ
Διὸς διά τε ὀρῶν καὶ ἀνάντης [ἐστῶσά] ἐστι. μῆκος μὲν
οὖν τῆς ὁδοῦ τεσσαράκοντά εἰσι στάδιοι, ἄγει δὲ ἐς Φελ-
λόην, πόλισμα οὐκ ἐπιφανές, οὐδὲ ἀεὶ ᾠκεῖτο καὶ Ἰώνων
ἔτι ἐχόντων τὴν γῆν. Τὰ δὲ περὶ τὴν Φελλόην ἐς φυτείαν
ἀμπέλων ἐστὶν ἐπιτήδεια· καὶ ὅσα πετρώδη τῆς χώρας
11 δρῦς τέ εἰσι καὶ θηρία, ἔλαφοι καὶ ὗς ἄγριοι. εἰ δέ τινα
τῶν ἐν Ἕλλησι πολισματίων ἀφθόνῳ καταρρεῖται τῷ
ὕδατι, ἀριθμεῖν καὶ τὴν Φελλόην ἔστιν ἐν τούτοις. Θεῶν
δὲ ἱερὰ Διονύσου καὶ Ἀρτέμιδός ἐστιν· ἡ μὲν χαλκοῦ
πεποίηται, βέλος δὲ ἐκ φαρέτρας λαμβάνουσα· τῷ Διο-
νύσῳ δὲ ὑπὸ κινναβάρεως τὸ ἄγαλμά ἐστιν ἐπηνθισμέ-
νον. Ἐς δὲ τὸ ἐπίνειον καταβᾶσιν ἐξ Αἰγείρας καὶ αὖθις
ἐς τὰ πρόσω βαδίζουσιν ἔστιν ἐν δεξιᾷ τῆς ὁδοῦ τὸ ἱερὸν
τῆς Ἀγροτέρας, ἔνθα τὴν αἶγα ὀκλάσαι λέγουσιν.
12 5. Τῆς δὲ Αἰγειρατῶν ἔχονται Πελληνεῖς· πρὸς Σι-
κυῶνος δὲ οὗτοι καὶ μοίρας τῆς Ἀργολίδος Ἀχαιῶν οἰκοῦ-
σιν ἔσχατοι. τὸ δὲ ὄνομα ἐγένετο τῇ πόλει λόγῳ μὲν τῷ
Πελληνέων ἀπὸ Πάλλαντος, τῶν Τιτάνων δὲ καὶ Πάλ-
λαντα εἶναι λέγουσι, δόξῃ δὲ τῇ Ἀργείων ἀπὸ ἀνδρὸς Ἀρ-
γείου Πέλληνος· Φόρβαντος δὲ εἶναι τοῦ Τριόπα παῖδα
13 αὐτὸν λέγουσιν. 6. Αἰγείρας δὲ ἐν τῷ μεταξὺ καὶ Πελ-
λήνης πόλισμα ὑπήκοον Σικυωνίων Δονοῦσσα καλου-

593 μένη ἐγένετο μὲν ὑπὸ τῶν Σικυωνίων ἀνάστατος, μνη-
μονεύειν δὲ καὶ Ὅμηρον ἐν καταλόγῳ τῶν σὺν Ἀγαμέμ-
νονί φασιν αὐτῆς ποιήσαντα ἔπος,

οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Δονόεσσαν·

Πεισίστρατον δέ, ἡνίκα ἔπη τὰ Ὁμήρου διεσπασμένα τε
καὶ ἄλλα ἀλλαχοῦ μνημονευόμενα ἤθροιζε, τότε αὐτὸν
Πεισίστρατον ἢ τῶν τινὰ ἑταίρων μεταποιῆσαι τὸ ὄνομα
ὑπὸ ἀγνοίας. 7. Ἔστι δὲ Ἀριστοναῦται Πελληνεῦσιν ἐπί- 14
νειον. ἐς τοῦτο ἐξ Αἰγείρας τῆς ἐπὶ θαλάσσῃ σταδίων
ἐστὶν εἴκοσιν ὁδὸς καὶ ἑκατόν· ταύτης δὲ ἡμίσεια ἐς Πελ-
λήνην ἀπὸ τοῦ ἐπινείου. ὄνομα δὲ Ἀριστοναύτας γενέ-
σθαι τῷ ἐπινείῳ λέγουσιν, ὅτι καὶ ἐς τοῦτον τὸν λιμένα
ὁρμίσαιντο οἱ πλεύσαντες ἐπὶ τῆς Ἀργοῦς.

XXVII. Πελληνεῦσι δὲ ἡ πόλις ἐστὶν ἐπὶ λόφου κατὰ
ἄκραν τὴν κορυφὴν ἐς ὀξὺ ἀνεστηκότος. τοῦτο μὲν δὴ
ἀπότομον καὶ δι' αὐτό ἐστιν ἀοίκητον· τῷ δὲ χθαμαλω-
τέρῳ πεπόλισταί σφισιν οὐ συνεχὴς ἡ πόλις, ἐς δὲ μοί-
ρας νενεμημένη δύο ὑπὸ τῆς ἄκρας μεταξὺ ἀνεχούσης.
Ἰόντων δὲ ἐς Πελλήνην ἄγαλμά ἐστιν Ἑρμοῦ κατὰ τὴν
ὁδόν, ἐπίκλησιν μὲν Δόλιος, εὐχὰς δὲ ἀνθρώπων ἕτοι-
μος τελέσαι· σχῆμα δὲ αὐτῷ τετράγωνον, γένειά τε ἔχει
καὶ ἐπὶ τῇ κεφαλῇ πῖλον εἰργασμένον. Κατὰ δὲ τὴν ὁδὸν 2
ἐς αὐτὴν τὴν πόλιν ἐστὶν Ἀθηνᾶς λίθου μὲν ἐπιχωρίου
ναός, ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ· Φειδίαν δὲ
εἶναι τὸν εἰργασμένον φασί, πρότερον ἔτι ἢ ἐν τῇ ἀκρο-
πόλει τε αὐτὸν τῇ Ἀθηναίων καὶ ἐν Πλαταιαῖς ποιῆσαι
τῆς Ἀθηνᾶς τὰ ἀγάλματα. λέγουσι δὲ οἱ Πελληνεῖς καὶ
ἄδυτον τῆς Ἀθηνᾶς καθήκειν ἐς βάθος τῆς γῆς, εἶναι δὲ
τὸ ἄδυτον τοῦτο ὑπὸ τοῦ ἀγάλματος τῷ βάθρῳ, καὶ τὸν
ἀέρα ἐκ τοῦ ἀδύτου νότιόν τε εἶναι καὶ δι' αὐτὸ τῷ ἐλέ-
φαντι ἐπιτήδειον. Ὑπὲρ δὲ τὸν ναὸν τῆς Ἀθηνᾶς ἐστὶν 3
ἄλσος περιῳκοδομημένον τείχει Σωτείρας ἐπίκλησιν Ἀρ-

τέμιδος, καὶ ὀμνύουσιν ἐπὶ μεγίστοις αὐτήν· ἔσοδός τε 595
πλὴν τοῖς ἱερεῦσιν, ἄλλῳ γε οὐδενὶ ἔστιν ἀνθρώπων.
ἱερεῖς δὲ ἄνδρες τῶν ἐπιχωρίων εἰσὶ κατὰ δόξαν γένους
μάλιστα αἱρούμενοι. Τοῦ δὲ ἄλσους τῆς Σωτείρας ἱερὸν
ἀπαντικρὺ Διονύσου Λαμπτῆρός ἐστιν ἐπίκλησιν· τούτῳ
καὶ Λαμπτήρια ἑορτὴν ἄγουσι, καὶ δᾷδάς τε ἐς τὸ ἱερὸν
κομίζουσιν ἐν νυκτί, καὶ οἴνου κρατῆρας ἱστᾶσιν ἀνὰ
4 τὴν πόλιν πᾶσαν. Ἔστι καὶ Ἀπόλλωνος Θεοξενίου Πελ-
ληνεῦσιν ἱερόν, τὸ δὲ ἄγαλμα χαλκοῦ πεποίηται· καὶ
ἀγῶνα ἐπιτελοῦσι Θεοξένια τῷ Ἀπόλλωνι, τιθέντες ἀρ-
γύριον ἆθλα τῆς νίκης, καὶ ἄνδρες ἀγωνίζονται τῶν ἐπι-
χωρίων. Πλησίον δὲ τοῦ Ἀπόλλωνος ναός ἐστιν Ἀρτέμι-
δος· τοξευούσης δὲ ἡ θεὸς παρέχεται σχῆμα. ᾠκοδόμηται
δὲ καὶ ἔλυτρον κρήνης ἐν τῇ ἀγορᾷ, καὶ λουτρά ἐστιν
αὐτοῖς τὸ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ, ἐπεί τοι πίνειν πηγαί
σφισιν ὑπὸ τὴν πόλιν εἰσὶν οὐ πολλαί· τὸ δὲ χωρίον ἔνθα
5 αἱ πηγαί, Γλυκείας ὀνομάζουσι. 2. Γυμνάσιον δὲ ἀρχαῖον
ἐς ἐφήβων μάλιστα ἀνεῖται μελέτην· οὐδὲ ἐς τὴν πολι-
τείαν ἐγγραφῆναι πρότερον καθέστηκεν οὐδενὶ πρὶν ἂν
ἐφηβεύσωσιν. Ἐνταῦθα ἀνὴρ Πελληνεὺς ἕστηκε Πρό-
μαχος ὁ Δρύωνος, ἀνελόμενος παγκρατίου νίκας, τὴν
μὲν Ὀλυμπίασι, τρεῖς δ' Ἰσθμίων καὶ Νεμέᾳ δύο· καὶ
αὐτοῦ καὶ εἰκόνας ποιήσαντες οἱ Πελληνεῖς τὴν μὲν ἐς
Ὀλυμπίαν ἀνέθεσαν, τὴν δὲ ἐν τῷ γυμνασίῳ, λίθου ταύ-
6 την καὶ οὐ χαλκοῦ. λέγεται δὲ καὶ ὡς Κορινθίου συνε-
στῶτος πολέμου Πελληνεῦσιν ἀποκτείνειεν ὁ Πρόμαχος
πλείστους τῶν ἀντιτεταγμένων. λέγεται δὲ καὶ ὡς Που-
λυδάμαντος τοῦ Σκοτουσσαίου κρατήσειεν ἐν Ὀλυμπίᾳ·
τὸν δὲ Πουλυδάμαντα δεύτερα τότε ἐς τὸν ἀγῶνα ἀφῖχθαι
τὸν Ὀλυμπικὸν παρὰ βασιλέως τοῦ Περσῶν ἀνασωθέντα
οἴκαδε. Θεσσαλοὶ δὲ ἡσσηθῆναι Πουλυδάμαντα οὐχ ὁμο-

λογοῦντες παρέχονται καὶ ἄλλα ἐς πίστιν καὶ ἐλεγεῖον ἐπὶ
τῷ Πουλυδάμαντι·
596 *Ὦ τροφὲ Πουλυδάμαντος ἀνικάτου Σκοτόεσσα.*
Πελληνεῖς δ' οὖν Πρόμαχον τὰ μάλιστα ἄγουσιν ἐν τιμῇ. 7
Χαίρωνα δὲ δύο ἀνελόμενον πάλης νίκας ** καὶ ἐν Ὀλυμ-
πίᾳ τέσσαρας οὐδὲ ἀρχὴν ἐθέλουσιν ὀνομάζειν, ὅτι κατέ-
λυσε πολιτείαν, ἐμοὶ δοκεῖν, τὴν ἐν Πελλήνῃ, δῶρον τὸ
ἐπιφθονώτατον παρὰ Ἀλεξάνδρου τοῦ Φιλίππου λαβών,
τύραννος πατρίδος τῆς αὑτοῦ καταστῆναι. Ἔστι δὲ καὶ 8
Εἰλειθυίας Πελληνεῦσιν ἱερόν· τοῦτο ἐν μοίρᾳ τῆς πό-
λεως τῇ ἐλάσσονί ἐστιν ἱδρυμένον. 3. Τὸ δὲ ὀνομαζόμε-
νον Ποσείδιον τὰ μὲν ἀρχαιότερα ἦν δῆμος, ἔρημον δὲ
ἐφ' ἡμῶν. ἔστι μὲν δὴ τὸ Ποσείδιον τοῦτο ὑπὸ τὸ γυμνά-
σιον, διαμεμένηκε δὲ καὶ ἐς τόδε ἔτι αὐτῷ Ποσειδῶνος
ἱερὸν νομίζεσθαι.

Πελλήνης δὲ ὅσον στάδια ἑξήκοντα ἀπέχει τὸ Μύ- 9
σαιον, ἱερὸν Δήμητρος Μυσίας. ἱδρύσασθαι δὲ αὐτὸ
Μύσιόν φασιν ἄνδρα Ἀργεῖον· ἐδέξατο δὲ οἴκῳ Δήμη-
τρα καὶ ὁ Μύσιος λόγῳ τῷ Ἀργείων. ἔστι δὲ ἄλσος ἐν τῷ
Μυσαίῳ, δένδρα ὁμοίως τὰ πάντα, καὶ ὕδωρ ἄφθονον
ἄνεισιν ἐκ πηγῶν. ἄγουσι δὲ καὶ ἑορτὴν τῇ Δήμητρι ἐν-
ταῦθα ἡμερῶν ἑπτά· τρίτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς ὑπεξία- 10
σιν οἱ ἄνδρες ἐκ τοῦ ἱεροῦ, καταλειπόμεναι δὲ αἱ γυναῖ-
κες δρῶσιν ἐν τῇ νυκτὶ ὁπόσα νόμος ἐστὶν αὐταῖς· ἀπε-
λαύνονται δὲ οὐχ οἱ ἄνδρες μόνον ἀλλὰ καὶ τῶν κυνῶν
τὸ ἄρρεν. ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων ἐς τὸ ἱερὸν
τῶν ἀνδρῶν, αἱ γυναῖκές τε ἐς αὐτοὺς καὶ ἀνὰ μέρος ἐς
τὰς γυναῖκας οἱ ἄνδρες γέλωτί τε ἐς ἀλλήλους χρῶνται
καὶ σκώμμασιν. 4. Ἀπωτέρω δὲ οὐ πολὺ ἀπὸ τοῦ Μυ- 11
σαίου ἱερόν ἐστιν Ἀσκληπιοῦ καλούμενον Κῦρος, καὶ
ἰάματα ἀνθρώποις παρὰ τοῦ θεοῦ γίνεται. ὕδωρ δὲ καὶ
ἐνταῦθα ἀνέδην ἐστί, καὶ ἐπὶ τῇ μεγίστῃ τῶν πηγῶν τοῦ

Ἀσκληπιοῦ τὸ ἄγαλμα ἵδρυται. ποταμοὶ δὲ ἐκ τῶν ὀρῶν
κατέρχονται τῶν ὑπὲρ τὴν Πελλήνην, πρὸς μὲν Αἰγείρας
καλούμενος Κριός· ἔχειν δὲ αὐτὸν τὸ ὄνομα ἀπὸ Τιτᾶνος
12 Κριοῦ· Κριὸς δὲ καὶ ἄλλος ὠνόμασται ποταμός, ὃς ἀρχό-
μενος ἐκ Σιπύλου τοῦ ὄρους ἐς τὸν Ἕρμον κάτεισι. κα-
θότι δὲ Πελληνεῦσιν ὅροι τῆς χώρας πρὸς Σικυωνίους 597
εἰσί, κατὰ τοῦτο ποταμός σφισι Σύθας, ἔσχατος πο-
ταμῶν τῶν Ἀχαϊκῶν, ἐς τὴν Σικυωνίαν ἐκδίδωσι θά-
λασσαν.

ΑΡΚΑΔΙΚΑ

I. Ἀρκάδων δὲ τὰ πρὸς τῆς Ἀργείας Τεγεᾶταί τε 598
ἔχουσι καὶ Μαντινεῖς. νέμονται δὲ οὗτοί τε καὶ τὸ ἄλλο
Ἀρκαδικὸν τὸ μεσόγαιον τῆς Πελοποννήσου. Κορίνθιοι
γὰρ οἰκοῦσιν ἐπὶ τῷ Ἰσθμῷ πρῶτοι· Κορινθίοις δὲ τὰ
πρὸς θαλάσσης εἰσὶν Ἐπιδαύριοι γείτονες· τὰ δὲ ἐς Ἐπί-
δαυρον καὶ Τροιζῆνά τε καὶ Ἑρμιόνα ὁ κόλπος ἐστὶν ὁ
Ἀργολικὸς καὶ ὅσα ἐπιθαλάσσια τῆς Ἀργείας· ταύτης δὲ
ἔχονται τῆς χώρας Λακεδαιμονίων περίοικοι, τούτοις δὲ
ὅμορος ἡ Μεσσηνία· καταβαίνει γὰρ μέχρι θαλάσσης ἐς
2 Μοθώνην καὶ Πύλον καὶ ἐπὶ Κυπαρισσιάς. τὰ δὲ πρὸς
Λεχαίου Κορινθίοις Σικυώνιοι προσοικοῦσιν ἔσχατοι
ταύτῃ μοίρας τῆς Ἀργολίδος· μετὰ δὲ Σικυῶνα Ἀχαιοὶ
τὸ ἐντεῦθέν εἰσιν οἱ παρὰ τὸν αἰγιαλὸν οἰκοῦντες· τὸ δὲ
ἕτερον Πελοποννήσου πέρας τὸ ἀπαντικρὺ τῶν Ἐχινά-
δων οἰκοῦσιν Ἠλεῖοι· τῆς δὲ γῆς τῆς Ἠλείας κατὰ μὲν
Ὀλυμπίαν καὶ τοῦ Ἀλφειοῦ τὰς ἐκβολὰς πρὸς τὴν Μεσ-
σηνίαν εἰσὶν ὅροι, τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαίων εἰσὶν

ὅμοροι. τούτων τῶν κατειλεγμένων καθηκόντων ἐπὶ θά- 3
λασσαν, Ἀρκάδες τὰ ἐντὸς οἰκοῦσιν ἀποκλειόμενοι θα-
λάσσης πανταχόθεν· ὅθεν σφᾶς καὶ Ὅμηρος ἀφικέσθαι
φησὶν ἐς Τροίαν παρ' Ἀγαμέμνονος πλοῖα εἰληφότας καὶ
οὐχὶ ναυσὶν οἰκείαις.

2. Φασὶ δὲ Ἀρκάδες ὡς Πελασγὸς γένοιτο ἐν τῇ γῇ 4
599 ταύτῃ πρῶτος. εἰκὸς δὲ ἔχει τοῦ λόγου καὶ ἄλλους ὁμοῦ
τῷ Πελασγῷ μηδὲ αὐτὸν Πελασγὸν γενέσθαι μόνον·
ποίων γὰρ ἂν καὶ ἦρχεν ὁ Πελασγὸς ἀνθρώπων; μεγέθει
μέντοι καὶ κατὰ ἀλκὴν καὶ κάλλος προεῖχεν ὁ Πελασγός,
καὶ γνώμην ὑπὲρ τοὺς ἄλλους ἦν, καὶ τούτων ἕνεκα αἱρε-
θῆναί μοι δοκεῖ βασιλεύειν ὑπ' αὐτῶν. πεποίηται δὲ καὶ
Ἀσίῳ τοιάδε ἐς αὐτόν·

Ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι
γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.

Πελασγὸς δὲ βασιλεύσας τοῦτο μὲν ποιήσασθαι καλύβας 5
ἐπενόησεν, ὡς μὴ ῥιγοῦν τε καὶ ὕεσθαι τοὺς ἀνθρώπους,
μηδὲ ὑπὸ τοῦ καύματος ταλαιπωρεῖν· τοῦτο δὲ τοὺς χι-
τῶνας τοὺς ἐκ τῶν δερμάτων τῶν ὑῶν, οἷς καὶ νῦν περί
τε Εὔβοιαν ἔτι χρῶνται καὶ ἐν τῇ Φωκίδι ὁπόσοι βίου
σπανίζουσιν, οὗτός ἐστιν ὁ ἐξευρών. καὶ δὴ καὶ τῶν φύλ-
λων τὰ ἔτι χλωρὰ καὶ πόας τε καὶ ῥίζας οὐδὲ ἐδωδίμους,
ἀλλὰ καὶ ὀλεθρίους ἐνίας σιτουμένους τοὺς ἀνθρώπους
τούτων μὲν ἔπαυσεν ὁ Πελασγός· ὁ δὲ τὸν καρπὸν τῶν 6
δρυῶν οὔτι που πασῶν, ἀλλὰ τὰς βαλάνους τῆς φηγοῦ
τροφὴν ἐξεῦρεν εἶναι. παρέμεινέ τε ἐνίοις ἐς τοσοῦτο
ἀπὸ Πελασγοῦ τούτου ἡ δίαιτα, ὡς καὶ τὴν Πυθίαν, ἡνίκα
Λακεδαιμονίοις γῆς τῆς Ἀρκάδων ἀπηγόρευεν ἅπτεσθαι,
καὶ τάδε εἰπεῖν τὰ ἔπη·

Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι οὔ τι μεγαίρω.

Πελασγοῦ δὲ βασιλεύοντος γενέσθαι καὶ τῇ χώρᾳ Πελασγίαν φασὶν ὄνομα.

II. *Λυκάων δὲ ὁ Πελασγοῦ τοσάδε εὗρεν ἢ ὁ πατὴρ* 600
οἱ σοφώτερα· Λυκόσουράν τε γὰρ πόλιν ᾤκισεν ἐν τῷ ὄρει τῷ Λυκαίῳ, καὶ Δία ὠνόμασε Λυκαῖον, καὶ ἀγῶνα ἔθηκε Λύκαια. οὐχὶ δὲ τὰ παρ' Ἀθηναίοις Παναθήναια τεθῆναι πρότερα ἀποφαίνομαι· τούτῳ γὰρ τῷ ἀγῶνι Ἀθήναια ὄνομα ἦν, Παναθήναια δὲ κληθῆναί φασιν ἐπὶ Θησέως, ὅτι ὑπὸ Ἀθηναίων ἐτέθη συνειλεγμένων ἐς μίαν
2 *ἁπάντων πόλιν. Ὁ δὲ ἀγὼν ὁ Ὀλυμπικός, ἐπανάγουσι γὰρ δὴ αὐτὸν ἐς τὰ ἀνωτέρω τοῦ ἀνθρώπων γένους, Κρόνον καὶ Δία αὐτόθι παλαῖσαι λέγοντες, καὶ ὡς Κούρητες δράμοιεν πρῶτοι, τούτων ἕνεκα ἐκτὸς ἔστω μοι τοῦ παρόντος λόγου. Δοκῶ δὲ ἔγωγε Κέκροπι ἡλικίαν τῷ βασιλεύσαντι Ἀθηναίων καὶ Λυκάονι εἶναι τὴν αὐτήν,*
3 *σοφίᾳ δὲ οὐχ ὁμοίᾳ σφᾶς ἐς τὸ θεῖον χρήσασθαι. ὁ μὲν γὰρ Δία τε ὠνόμασεν Ὕπατον πρῶτος, καὶ ὁπόσα ἔχει ψυχήν, τούτων μὲν ἠξίωσεν οὐδὲν θῦσαι, πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι· Λυκάων δὲ ἐπὶ τὸν βωμὸν τοῦ Λυκαίου Διὸς βρέφος ἤνεγκεν ἀνθρώπου, καὶ ἔθυσε τὸ βρέφος, καὶ ἔσπεισεν ἐπὶ τοῦ βωμοῦ τὸ αἷμα. καὶ αὐτὸν αὐτίκα ἐπὶ τῇ θυσίᾳ γενέσθαι λύκον φασὶν ἀντὶ*
4 *ἀνθρώπου. Καὶ ἐμέ γε ὁ λόγος οὗτος πείθει, λέγεται δὲ ὑπὸ Ἀρκάδων ἐκ παλαιοῦ, καὶ τὸ εἰκὸς αὐτῷ πρόσεστιν. οἱ γὰρ δὴ τότε ἄνθρωποι ξένοι καὶ ὁμοτράπεζοι θεοῖς ἦσαν ὑπὸ δικαιοσύνης καὶ εὐσεβείας, καί σφισιν ἐναργῶς ἀπήντα παρὰ τῶν θεῶν τιμή τε οὖσιν ἀγαθοῖς καὶ ἀδικήσασιν ὡσαύτως ἡ ὀργή, ἐπεί τοι καὶ θεοὶ τότε ἐγίνοντο ἐξ ἀνθρώπων, οἳ γέρα καὶ ἐς τόδε ἔτι ἔχουσιν, ὡς Ἀρισταῖος καὶ Βριτόμαρτις ἡ Κρητικὴ καὶ Ἡρακλῆς ὁ*
Ἀλκμήνης καὶ Ἀμφιάραος ὁ Οἰκλέους, ἐπὶ δὲ αὐτοῖς 601

Πολυδεύκης τε καὶ Κάστωρ. οὕτω πείθοιτο ἄν τις καὶ 5
Λυκάονα θηρίον καὶ τὴν Ταντάλου Νιόβην γενέσθαι λίθον. ἐπ᾽ ἐμοῦ δέ, κακία γὰρ δὴ ἐπὶ πλεῖστον ηὔξετο καὶ γῆν τε ἐπενέμετο πᾶσαν καὶ πόλεις πάσας, οὔτε θεὸς ἐγίνετο οὐδεὶς ἔτι ἐξ ἀνθρώπου, πλὴν ὅσον λόγῳ καὶ κολακείᾳ πρὸς τὸ ὑπερέχον, καὶ ἀδίκοις τὸ μήνιμα τὸ ἐκ τῶν θεῶν ὀψέ τε καὶ ἀπελθοῦσιν ἐνθένδε ἀπόκειται.
3. *Ἐν δὲ τῷ παντὶ αἰῶνι πολλὰ μὲν πάλαι συμβάντα, τὰ* 6
δὲ καὶ ἔτι γινόμενα ἄπιστα εἶναι πεποιήκασιν ἐς τοὺς πολλοὺς οἱ τοῖς ἀληθέσιν ἐποικοδομοῦντες ἐψευσμένα. λέγουσι γὰρ δὴ ὡς Λυκάονος ὕστερον ἀεί τις ἐξ ἀνθρώπου λύκος γίνοιτο ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διός, γίνοιτο δὲ οὐκ ἐς ἅπαντα τὸν βίον· ὁπότε δὲ εἴη λύκος, εἰ μὲν κρεῶν ἀπόσχοιτο ἀνθρωπίνων, ὕστερον ἔτει δεκάτῳ φασὶν αὐτὸν αὖθις ἄνθρωπον ἐκ λύκου γίνεσθαι, γευσάμενον δὲ ἐς ἀεὶ μένειν θηρίον. Ὡσαύτως δὲ καὶ Νιό- 7
βην λέγουσιν ἐν Σιπύλῳ τῷ ὄρει θέρους ὥρᾳ κλαίειν. ἤδη δὲ καὶ ἄλλα ἤκουσα, τοῖς γρυψὶ στίγματα ὁποῖα καὶ ταῖς παρδάλεσιν εἶναι, καὶ ὡς οἱ Τρίτωνες ἀνθρώπου φωνῇ φθέγγοιντο· οἱ δὲ καὶ φυσᾶν διὰ κόχλου τετρυπημένης φασὶν αὐτούς. Ὁπόσοι δὲ μυθολογήμασιν ἀκούοντες ἥδονται, πεφύκασι καὶ αὐτοί τι ἐπιτερατεύεσθαι· καὶ οὕτω τοῖς ἀληθέσιν ἐλυμήναντο συγκεραννύντες αὐτὰ ἐψευσμένοις.

III. *Τρίτῃ δὲ ὕστερον γενεᾷ μετὰ Πελασγὸν ἔς τε πόλεων καὶ ἐς ἀνθρώπων πλῆθος ἐπέδωκεν ἡ χώρα. Νύκτιμος μὲν γὰρ πρεσβύτατός τε ἦν καὶ εἶχε τὸ πᾶν κράτος· οἱ δὲ ἄλλοι παῖδες τοῦ Λυκάονος πόλεις ἐνταῦθα ἔκτιζον ἔνθα ἑκάστῳ μάλιστα ἦν κατὰ γνώμην. Πάλλας μὲν καὶ Ὀρεσθεὺς καὶ Φίγαλος Παλλάντιον, Ὀρεσθεὺς δὲ Ὀρεσθάσιον, Φιγαλίαν δὲ οἰκίζει Φίγαλος. Παλλαντίου μὲν* 2
602 *δὴ καὶ Στησίχορος ὁ Ἱμεραῖος ἐν Γηρυονηίδι ἐποιήσατο*

μνήμην· Φιγαλία δὲ καὶ Ὀρεσθάσιον χρόνῳ μεταβάλλουσι τὰ ὀνόματα, Ὀρέστειόν τε ἀπὸ Ὀρέστου κληθεῖσα τοῦ Ἀγαμέμνονος καὶ Φιαλία ἀπὸ τοῦ Βουκολίωνος παιδὸς Φιάλου. Τραπεζεὺς δὲ καὶ Δασεάτας καὶ Μακαρεὺς καὶ Ἑλισσὼν καὶ Ἄκακός τε καὶ Θῶκνος Θωκνίαν πόλιν, ὁ δὲ Ἀκακήσιον ἔκτισεν. ἀπὸ τούτου δὲ τοῦ Ἀκάκου καὶ Ὅμηρος λόγῳ τῷ Ἀρκάδων ἐς Ἑρμῆν ἐποίησεν ἐπίκλησιν.
3 *Ἀπὸ δὲ Ἑλισσόντος ἥ τε πόλις καὶ ὁ ποταμὸς Ἑλισσὼν τὰ ὀνόματα ἐσχήκασιν. ὡσαύτως δὲ καὶ Μακαρία τε καὶ Δασέα καὶ Τραπεζοῦς ἀπὸ τῶν Λυκάονος ἐκλήθησαν καὶ αὗται παίδων. Ὀρχομενὸς δὲ ἐγένετο οἰκιστὴς Μεθυδρίου τε καλουμένης καὶ Ὀρχομενίων, οὓς ἐν τοῖς ἔπεσι πολυμήλους ὠνόμασεν Ὅμηρος. ὑπὸ δὲ Ὑψοῦντος καὶ *** Μελαινεαί τε ἐκτίσθησαν καὶ Ὑψοῦς, ἔτι δὲ Θυραῖόν τε καὶ Αἱμονιαί· δόξῃ δὲ τῇ Ἀρκάδων καὶ ἡ Θυρέα ἐν τῇ Ἀργολίδι γῇ καὶ ὁ Θυρεάτης καλούμενος κόλπος ἀπὸ τοῦ*
4 *Θυραιάτα τούτου τὰ ὀνόματα ἐσχήκασι. Μαντινεὺς δὲ*
καὶ Τεγεάτης καὶ Μαίναλος, ὁ μὲν τῶν ἐν Ἀρκαδίᾳ πό- 603
*λεων ὀνομαστοτάτην τὸ ἀρχαῖον Μαίναλον, Τεγεάτης δὲ καὶ Μαντινεὺς Τεγέαν κτίζουσι καὶ Μαντίνειαν. ὠνομάσθησαν δὲ καὶ ἀπὸ Κρώμου Κρῶμοι, καὶ Χαρισία Χαρίσιον ἔχουσα οἰκιστήν, Τρικόλωνοι δὲ ἀπὸ Τρικολώνου, καὶ ἀπὸ μὲν Περαίθου Περαιθεῖς, Ἀσέα δὲ ἀπὸ Ἀσεάτα καὶ ** Λυκόα καὶ Σουματία ἀπὸ Σουματέως. Ἀλίφηρος δὲ καὶ Ἡραιεὺς ἐπώνυμοι καὶ οὗτοι πόλεσίν εἰσιν ἀμφό-*
5 *τεροι.* 2. *Οἴνωτρος δὲ ὁ τῶν παίδων νεώτατος Λυκάονι ἀρσένων, Νύκτιμον τὸν ἀδελφὸν χρήματα καὶ ἄνδρας αἰτήσας, ἐπεραιώθη ναυσὶν ἐς Ἰταλίαν, καὶ ἡ Οἰνωτρία χώρα τὸ ὄνομα ἔσχεν ἀπὸ Οἰνώτρου βασιλεύοντος. Οὗτος ἐκ τῆς Ἑλλάδος ἐς ἀποικίαν στόλος πρῶτος ἐστάλη· ἀναριθμουμένῳ δὲ ἐς τὸ ἀκριβέστατον οὐδὲ ἐκ τῶν βαρβά-*

ρων οὐδένες πρότερον ἢ Οἴνωτρος ἀφίκοντο ἐς τὴν ἀλ-
λοδαπήν.

3. Ἐπὶ δὲ τῷ γένει παντὶ τῷ ἄρσενι θυγάτηρ Λυκά- 6
ονι ἐγένετο Καλλιστώ. ταύτῃ τῇ Καλλιστοῖ, λέγω δὲ τὰ
λεγόμενα ὑπὸ Ἑλλήνων, συνεγένετο ἐρασθεὶς Ζεύς. Ἥρα
δὲ ὡς ἐφώρασεν, ἐποίησεν ἄρκτον τὴν Καλλιστώ, Ἄρτε-
μις δὲ ἐς χάριν τῆς Ἥρας κατετόξευσεν αὐτήν. καὶ ὁ
Ζεὺς Ἑρμῆν πέμπει σῶσαι τὸν παῖδά οἱ προστάξας, ὃν ἐν
τῇ γαστρὶ εἶχεν ἡ Καλλιστώ· Καλλιστὼ δὲ αὐτὴν ἐποίη- 7
σεν ἀστέρας καλουμένην ἄρκτον μεγάλην, ἧς καὶ Ὅμηρος
ἐν Ὀδυσσέως ἀνάπλῳ παρὰ Καλυψοῦς μνήμην ἔσχε·

Πληϊάδας τ' ἐσορῶντα καὶ ὀψὲ δύοντα Βοώτην
ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν.

604 ἔχοιεν δ' ἂν καὶ ἄλλως τὸ ὄνομα οἱ ἀστέρες ἐπὶ τιμῇ τῇ
Καλλιστοῦς, ἐπεὶ τάφον γε αὐτῆς ἀποφαίνουσιν οἱ Ἀρ-
κάδες.

IV. Μετὰ δὲ Νύκτιμον ἀποθανόντα Ἀρκὰς ἐξεδέ-
ξατο ὁ Καλλιστοῦς τὴν ἀρχήν· καὶ τόν τε ἥμερόν καρπὸν
ἐσηγάγετο οὗτος παρὰ Τριπτολέμου, καὶ τὴν ποίησιν ἐδί-
δαξε τοῦ ἄρτου, καὶ ἐσθῆτα ὑφαίνεσθαι καὶ ἄλλα, τὰ ἐς
ταλασίαν μαθὼν παρ' Ἀδρίστα. ἀπὸ τούτου δὲ βασιλεύ-
σαντος Ἀρκαδία τε ἀντὶ Πελασγίας ἡ χώρα καὶ ἀντὶ Πε-
λασγῶν Ἀρκάδες ἐκλήθησαν οἱ ἄνθρωποι. 2. Συνοικῆσαι 2
δὲ οὐ θνητῇ γυναικὶ αὐτόν, ἀλλὰ νύμφῃ Δρυάδι ἔλεγον·
Δρυάδας γὰρ δὴ καὶ Ἐπιμηλιάδας, τὰς δὲ αὐτῶν ἐκά-
λουν Ναΐδας, καὶ Ὁμήρῳ γε ἐν τοῖς ἔπεσι Ναΐδων νυμ-
φῶν μάλιστά ἐστι μνήμη. Τὴν δὲ νύμφην ταύτην κα-
λοῦσιν Ἐρατώ, καὶ ἐκ ταύτης φασὶν Ἀρκάδι Ἀζᾶνα καὶ
Ἀφείδαντα γενέσθαι καὶ Ἔλατον· ἐγεγόνει δὲ αὐτῷ πρό-
τερον ἔτι Αὐτόλαος νόθος. Τοῖς δὲ παισίν, ὡς ηὐξήθη- 3
σαν, διένειμεν Ἀρκὰς τριχῇ τὴν χώραν, καὶ ἀπὸ μὲν
Ἀζᾶνος ἡ Ἀζανία μοῖρα ὠνομάσθη· παρὰ τούτων δὲ

αποικισθῆναι λέγουσιν ὅσοι περὶ τὸ ἄντρον ἐν Φρυγίᾳ
τὸ καλούμενον Στεῦνος καὶ Πέγκαλαν ποταμὸν οἰκοῦσιν.
Ἀφείδας δὲ Τεγέαν καὶ τὴν προσεχῆ ταύτης ἔλαχεν· ἐπὶ
τούτῳ δὲ καὶ ποιηταὶ καλοῦσιν Ἀφειδάντειον κλῆρον τὴν
4 Τεγέαν. 3. Ἔλατος δὲ ἔσχε τὸ ὄρος τὴν Κυλλήνην, ἔτι
τότε οὖσαν ἀνώνυμον· χρόνῳ δὲ ὕστερον μετῴκησεν ὁ
Ἔλατος ἐς τὴν νῦν καλουμένην Φωκίδα, καὶ τοῖς τε Φω-
κεῦσιν ἤμυνεν ὑπὸ Φλεγυῶν πολέμῳ πιεζομένοις καὶ
Ἐλατείας πόλεως ἐγένετο οἰκιστής. Παῖδα δὲ Ἀζᾶνι μὲν 605
Κλείτορα, Ἀφείδαντι δὲ Ἄλεον, Ἐλάτῳ δέ φασιν εἶναι
πέντε, Αἴπυτον, Περέα, Κυλλῆνα, Ἴσχυν, Στύμφηλον.
5 Ἐπὶ δὲ Ἀζᾶνι τῷ Ἀρκάδος τελευτήσαντι ἆθλα ἐτέθη πρῶ-
τον· εἰ μὲν καὶ ἄλλα, οὐκ οἶδα, ἱπποδρομίας δὲ ἐτέθη.
Κλείτωρ μὲν δὴ ὁ Ἀζᾶνος ἐν Λυκοσούρᾳ τε ᾤκει, καὶ ἦν
τῶν βασιλέων δυνατώτατος, καὶ Κλείτορα ᾤκισεν ἀφ'
6 αὑτοῦ πόλιν. Ἄλεος δὲ εἶχε τὴν πατρῴαν λῆξιν. Ἀπὸ δὲ
Ἐλάτου τῶν παίδων Κυλλήνην τὸ ὄρος καλοῦσιν ἀπὸ
Κυλλῆνος, καὶ ἀπὸ Στυμφήλου πηγή τε ὀνομάζεται καὶ
πόλις Στύμφηλος ἐπὶ τῇ πηγῇ. τὰ δὲ ἐς τὸν θάνατον
Ἴσχυος τοῦ Ἐλάτου πρότερον ἔτι ἐν τῇ συγγραφῇ τῇ Ἀρ-
γολίδι ἐδήλωσα. παῖδα δὲ Περεῖ ἄρρενα μέν φασιν οὐ-
δένα, Νέαιραν δὲ γενέσθαι θυγατέρα· ταύτην γυναῖκα
ἔσχεν Αὐτόλυκος, οἰκῶν μὲν ἐν τῷ ὄρει τῷ Παρνασῷ,
λεγόμενος δὲ Ἑρμοῦ παῖς εἶναι, Δαιδαλίωνος δὲ ὢν τῷ
ἀληθεῖ λόγῳ.
7 4. Κλείτορι δὲ τῷ Ἀζᾶνος οὐ γενομένων παίδων, ἐς
Αἴπυτον Ἐλάτου περιεχώρησεν ἡ Ἀρκάδων βασιλεία.
τὸν δὲ Αἴπυτον ἐξελθόντα ἐς ἄγραν θηρίων μὲν των
ἀλκιμωτέρων οὐδέν, σηψ δὲ οὐ προϊδόμενον ἀποκτίν-
νυσι. τὸν δὲ ὄφιν τοῦτον καὶ αὐτός ποτε εἶδον· κατὰ
ἔχιν ἐστὶ τὸν μικρότατον, τέφρᾳ ἐμφερής, στίγμασιν οὐ
συνεχέσι πεποικιλμένος· κεφαλὴ δέ ἐστιν αὐτῷ πλατεῖα

καὶ τράχηλος στενός, γαστέρα δὲ ἔχει μείζονα καὶ οὐρὰν
βραχεῖαν· βαδίζει δὲ οὗτός τε καὶ ὄφις ἕτερος ὁ κεράστης
606 καλούμενος ἐνδιδόντες ἐς τὰ πλάγια, ὥσπερ οἱ καρκίνοι.
5. Μετὰ δὲ Αἴπυτον ἔσχεν Ἄλεος τὴν ἀρχήν· Ἀγαμήδης 8
μὲν γὰρ καὶ Γόρτυς οἱ Στυμφήλου τέταρτον γένος ἦσαν
ἀπὸ Ἀρκάδος, Ἄλεος δὲ τρίτον ὁ Ἀφείδαντος. Ἄλεος δὲ
τῇ τε Ἀθηνᾷ τῇ Ἀλέᾳ τὸ ἱερὸν ᾠκοδόμησεν ἐν Τεγέᾳ τὸ
ἀρχαῖον, καὶ αὐτῷ κατεσκεύαστο αὐτόθι ἡ βασιλεία. Γόρ-
τυς δὲ ὁ Στυμφήλου πόλιν Γόρτυνα ᾤκισεν ἐπὶ ποταμῷ·
καλεῖται δὲ Γορτύνιος καὶ ὁ ποταμός. 6. Ἀλέῳ δὲ ἄρσενες
μὲν παῖδες Λυκοῦργός τε καὶ Ἀμφιδάμας καὶ Κηφεύς,
θυγάτηρ δὲ ἐγένετο Αὔγη. ταύτῃ τῇ Αὔγῃ τῷ Ἑκαταίου 9
λόγῳ συνεγίνετο Ἡρακλῆς, ὁπότε ἀφίκοιτο ἐς Τεγέαν·
τέλος δὲ καὶ ἐφωράθη τετοκυῖα ἐκ τοῦ Ἡρακλέους, καὶ
αὐτὴν ὁ Ἄλεος ἐσθέμενος ὁμοῦ τῷ παιδὶ ἐς λάρνακα ἀφί-
ησιν ἐς θάλασσαν. καὶ ἡ μὲν ἀφίκετο ἐς Τεύθραντα, δυ-
νάστην ἄνδρα ἐν Καΐκου πεδίῳ, καὶ συνῴκησεν ἐρα-
σθέντι τῷ Τεύθραντι· καὶ νῦν ἔστι μὲν Αὔγης μνῆμα ἐν
Περγάμῳ τῇ ὑπὲρ τοῦ Καΐκου, γῆς χῶμα λίθου περιεχό-
μενον κρηπῖδι, ἔστι δὲ ἐν τῷ μνήματι ἐπίθημα χαλκοῦ
πεποιημένον, γυνὴ γυμνή. 7. Μετὰ δὲ Ἄλεον τελευτή- 10
σαντα Λυκοῦργος ὁ Ἀλέου τὴν βασιλείαν πρεσβεῖα ἔσχε·
παρέσχετο δὲ ἐς μνήμην Ἀρηΐθοον, ἄνδρα πολεμικόν,
δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνας. γενομένων δὲ αὐτῷ
παίδων Ἀγκαίου τε καὶ Ἐπόχου, τὸν μὲν νοσήσαντα ἐπι-
λαμβάνει τὸ χρεών, Ἀγκαῖος δὲ Ἰάσονί τε τοῦ πλοῦ μετέ-
σχεν ἐς Κόλχους, καὶ ὕστερον ὁμοῦ Μελεάγρῳ τὸ ἐν Κα-
λυδῶνι κατεργαζόμενος θηρίον ἀπέθανεν ὑπὸ τοῦ ὑός.
Λυκοῦργος μὲν δὴ πορρωτάτω γήρως ἀφίκετο ἐπιδὼν
τοὺς παῖδας ἀμφοτέρους τελευτήσαντας.

V. Λυκούργου δὲ ἀποθανόντος Ἔχεμος ὁ Ἀερόπου
607 τοῦ Κηφέως τοῦ Ἀλέου τὴν Ἀρκάδων ἔσχεν ἀρχήν. Ἐπὶ

τούτου Δωριεῖς κατιόντας ἐς Πελοπόννησον ὑπὸ ἡγεμόνι
Ὕλλῳ τῷ Ἡρακλέους Ἀχαιοὶ περὶ Ἰσθμὸν τὸν Κορινθίων
κρατοῦσι μάχῃ, καὶ Ἔχεμος ἀποκτίννυσιν Ὕλλον μονο-
μαχήσαντά οἱ κατὰ πρόκλησιν. τάδε γὰρ ἐφαίνετο εἰκότα
εἶναί μοι μᾶλλον ἢ ὁ πρότερος λόγος, ἐν ᾧ βασιλεύειν τε
Ἀχαιῶν τηνικαῦτα Ὀρέστην ἔγραψα, καὶ Ὕλλον Ὀρέστου
βασιλεύοντος ἀποπειρᾶσαι καθόδου τῆς ἐς Πελοπόννη-
σον. φαίνοιτο δ' ἂν τῷ ὑστέρῳ τῶν λόγων καὶ Τιμάνδρα
συνοικήσασα ἡ Τυνδάρεω τῷ ἀποκτείναντι Ὕλλον Ἔχέμῳ.
2 2. Ἀγαπήνωρ δὲ ὁ Ἀγκαίου τοῦ Λυκούργου μετὰ Ἔχεμον
βασιλεύσας ἐς Τροίαν ἡγήσατο Ἀρκάσιν. Ἰλίου δὲ ἁλού-
σης ὁ τοῖς Ἕλλησι κατὰ τὸν πλοῦν τὸν οἴκαδε ἐπιγενόμε-
νος χειμὼν Ἀγαπήνορα καὶ τὸ Ἀρκάδων ναυτικὸν κατή-
νεγκεν ἐς Κύπρον, καὶ Πάφου τε Ἀγαπήνωρ ἐγένετο
οἰκιστὴς καὶ τῆς Ἀφροδίτης κατεσκευάσατο ἐν Παλαι-
πάφῳ τὸ ἱερόν· τέως δὲ ἡ θεὸς παρὰ Κυπρίων τιμὰς
3 εἶχεν ἐν Γολγοῖς καλουμένῳ χωρίῳ. χρόνῳ δὲ ὕστερον
Λαοδίκη γεγονυῖα ἀπὸ Ἀγαπήνορος ἔπεμψεν ἐς Τεγέαν
τῇ Ἀθηνᾷ τῇ Ἀλέᾳ πέπλον· τὸ δὲ ἐπὶ τῷ ἀναθήματι ἐπί-
γραμμα καὶ αὐτῆς Λαοδίκης ἅμα ἐδήλου τὸ γένος·

Λαοδίκης ὅδε πέπλος· ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
πατρίδ' ἐς εὐρύχορον Κύπρου ἄπο ζαθέας.

4 3. Ἀγαπήνορος δὲ οὐκ ἀνασωθέντος οἴκαδε ἐξ Ἰλίου,
παρέλαβε τὴν ἀρχὴν Ἱππόθους Κερκυόνος τοῦ Ἀγαμή-
δους τοῦ Στυμφήλου. καὶ τῷ μὲν ἐπιφανὲς συμβῆναι
παρὰ τὸν βίον φασὶν οὐδέν, πλὴν ὅσον οὐκ ἐν Τεγέᾳ τὴν
βασιλείαν κατεστήσατο, ἀλλὰ ἐν Τραπεζοῦντι· Αἴπυτος
δὲ ὁ Ἱππόθου μετὰ τὸν πατέρα ἔσχε τὴν ἀρχήν, καὶ Ὀρέ-
στης ὁ Ἀγαμέμνονος κατὰ μαντείαν τοῦ ἐν Δελφοῖς
5 Ἀπόλλωνος μετῴκησεν ἐς Ἀρκαδίαν ἐκ Μυκηνῶν. Αἰ- 608
πύτῳ δὲ τῷ Ἱππόθου παρελθεῖν ἐς τὸ ἱερὸν τοῦ Ποσει-
δῶνος το ἐν Μαντινείᾳ τολμήσαντι, ἔσοδος δὲ ἀνθρώ-

ποις οὔτε τότε ἐς αὐτὸ ἦν οὔτε ἄχρι ἡμῶν ἔστιν, ἐς τοῦτο
ἐσελθόντι τυφλωθῆναι καὶ οὐ μετὰ πολὺ τῆς συμφορᾶς
τελευτῆσαί οἱ τὸν βίον ἐγένετο.
4. Κυψέλου δὲ τοῦ Αἰπύτου βασιλεύοντος μετὰ Αἴ- 6
πυτον, ὁ Δωριέων στόλος οὐ διὰ τοῦ Κορινθίων Ἰσθμοῦ,
καθὰ ἐπὶ τρεῖς τὰς πρότερον γενεάς, ναυσὶ δὲ κατὰ τὸ
ὀνομαζόμενον Ῥίον κάτεισιν ἐς Πελοπόννησον, πυνθα-
νόμενός τε τὰ ἐς αὐτοὺς ὁ Κύψελος, ὃν τῶν Ἀριστομάχου
παίδων οὐκ ἔχοντά πω γυναῖκα εὕρισκε, τούτῳ τὴν θυ-
γατέρα ἐκδοὺς καὶ οἰκειωσάμενος τὸν Κρεσφόντην αὐτός
τε καὶ οἱ Ἀρκάδες ἐκτὸς ἑστήκεσαν δείματος. 5. Ὀλαίας 7
δὲ ἦν Κυψέλου παῖς, ὃς καὶ τῆς ἀδελφῆς τὸν παῖδα Αἴ-
πυτον, σὺν δὲ αὐτῷ καὶ οἱ ἐκ Λακεδαίμονος καὶ Ἄργους
Ἡρακλεῖδαι κατάγουσιν ἐς Μεσσήνην. Τοῦ δὲ ἦν Βου-
κολίων, τοῦ δὲ Φίαλος, ὃς τὸν Λυκάονος Φίγαλον οἰκι-
στὴν ὄντα ἀφελόμενος τὴν τιμὴν Φιαλίαν τὸ ὄνομα τῇ
πόλει μετέθετο ἀφ' ἑαυτοῦ· οὐ μὴν καὶ ἐς ἅπαν γε ἐξε-
νίκησεν. Ἐπὶ δὲ Σίμου τοῦ Φιάλου βασιλεύοντος ἠφα- 8
νίσθη Φιγαλεῦσιν ὑπὸ πυρὸς τῆς Μελαίνης Δήμητρος
τὸ ἀρχαῖον ξόανον· ἐσήμαινε δὲ ἄρα οὐ μετὰ πολὺ ἔσε-
σθαι καὶ αὐτῷ Σίμῳ τοῦ βίου τὴν τελευτήν. Πόμπου δὲ
ἐκδεξαμένου τοῦ Σίμου τὴν ἀρχήν, Αἰγινῆται κατὰ ἐμπο-
ρίαν ἐσέπλεον ναυσὶν ἐς Κυλλήνην, ἐκεῖθεν δὲ ὑποζυ-
γίοις τὰ φορτία ἀνῆγον παρὰ τοὺς Ἀρκάδας. * ἀντὶ τού-
του ἐτίμησεν ὁ Πόμπος μεγάλως, καὶ δὴ καὶ ὄνομα Αἰγι-
νήτην τῷ παιδὶ ἔθετο ἐπὶ τῶν Αἰγινητῶν τῇ φιλίᾳ.
6. Μετὰ δὲ Αἰγινήτην Πολυμήστωρ ἐγένετο ὁ Αἰγινήτου 9
609 βασιλεὺς Ἀρκάδων, καὶ Λακεδαιμόνιοι καὶ Χάριλλος
πρῶτον τότε ἐς τὴν Τεγεατῶν ἐσβάλλουσι στρατιᾷ· καὶ
σφᾶς αὐτοί τε οἱ Τεγεᾶται καὶ γυναῖκες ὅπλα ἐνδῦσαι
μάχῃ νικῶσι, καὶ τόν τε ἄλλον στρατὸν καὶ αὐτὸν Χάριλ-
λον ζῶντα αἱροῦσι. Χαρίλλου μὲν δὴ καὶ τῆς σὺν αὐτῷ

στρατιᾶς ἐς πλέον μνήμην ποιησόμεθα ἐν τοῖς Τεγεατι-
10 κοῖς· Πολυμήστορι δὲ οὐ γενομένων παίδων παρέλαβεν
Αἶχμις τὴν ἀρχήν, Βριάκα μὲν παῖς, Πολυμήστορος δὲ
ἀδελφιδοῦς· Αἰγινήτου γὰρ ἦν καὶ Βριάκας, νεώτερος
δὲ ἦν Πολυμήστορος. 7. Αἴχμιδος δὲ βασιλεύσαντος Λα-
κεδαιμονίοις ἐγένετο ὁ πρὸς Μεσσηνίους πόλεμος. τοῖς
δὲ Ἀρκάσιν ὑπῆρχε μὲν ἐς τοὺς Μεσσηνίους εὔνοια ἐξ
ἀρχῆς, τότε δὲ καὶ ἐκ τοῦ φανεροῦ πρὸς Λακεδαιμονίους
ἐμαχέσαντο μετὰ Ἀριστοδήμου βασιλεύοντος ἐν Μεσ-
11 σήνῃ. 8. Ἀριστοκράτης δὲ ὁ Αἴχμιδος τάχα μέν που καὶ
ἄλλα ἐς τοὺς Ἀρκάδας ὕβρισεν· ἃ δὲ ἀνοσιώτατα ἔργων
ἐς θεοὺς ἐργασάμενον οἶδα αὐτόν, ἐπέξεισί μοι ταῦτα ὁ
λόγος. ἔστιν Ἀρτέμιδος ἱερὸν Ὑμνίας ἐπίκλησιν. τοῦτο
ἐν ὅροις μέν ἐστιν Ὀρχομενίων, πρὸς δὲ τῇ Μαντινικῇ·
σέβουσιν ἐκ παλαιοτάτου καὶ οἱ πάντες Ἀρκάδες Ὑμνίαν
Ἄρτεμιν. ἐλάμβανε δὲ τὴν ἱερωσύνην τῆς θεοῦ τότε ἔτι
12 κόρη παρθένος. Ἀριστοκράτης δέ, ὥς οἱ πειρῶντι τὴν
παρθένον ἀντέβαινεν ἀεὶ τὰ παρ' αὐτῆς, τέλος καταφυ-
γοῦσαν ἐς τὸ ἱερὸν παρὰ τῇ Ἀρτέμιδι ᾔσχυνεν. ὡς δὲ ἐς
ἅπαντας ἐξηγγέλθη τὸ τόλμημα, τὸν μὲν καταλιθοῦσιν
οἱ Ἀρκάδες, μετεβλήθη δὲ ἐξ ἐκείνου καὶ ὁ νόμος· ἀντὶ
γὰρ παρθένου διδόασι τῇ Ἀρτέμιδι ἱέρειαν γυναῖκα, ὁμι-
13 λίας ἀνδρῶν ἀποχρώντως ἔχουσαν. 9. Τούτου δὲ υἱὸς
ἐγένετο Ἱκέτας, Ἱκέτα δὲ Ἀριστοκράτης ἄλλος ὁμώνυμός
τε τῷ προγόνῳ, καὶ δὴ καὶ τοῦ βίου τὴν αὐτὴν ἔσχεν
ἐκείνῳ τελευτήν· κατελίθωσαν γὰρ καὶ τοῦτον οἱ Ἀρκά-
δες, φωράσαντες δῶρα ἐκ Λακεδαίμονος εἰληφότα καὶ
Μεσσηνίοις τὸ ἐπὶ τῇ μεγάλῃ Τάφρῳ πταῖσμα προδοσίαν
τοῦ Ἀριστοκράτους οὖσαν. αὕτη δὲ ἡ ἀδικία καὶ τῷ γένει
τῷ ἀπὸ Κυψέλου παντὶ παρέσχεν αἰτίαν παυσθῆναι τῆς
ἀρχῆς.

VI. Τὰ μὲν δὴ ἐς τοὺς βασιλεῖς πολυπραγμονήσαντί

610 μοι κατὰ ταῦτα ἐγενεαλόγησαν οἱ Ἀρκάδες· κοινῇ δὲ Ἀρκάσιν ὑπῆρχεν ἐς μνήμην τὰ μὲν ἀρχαιότατα ὁ πρὸς Ἰλίῳ πόλεμος, δεύτερα δὲ ὁπόσα ἀμύνοντες Μεσσηνίοις Λακεδαιμονίων ἐναντία ἐμαχέσαντο· μέτεστι δὲ καὶ πρὸς Μήδους σφίσιν ἔργου τοῦ ἐν Πλαταιαῖς. Λακεδαιμονίοις 2
δὲ ἀνάγκῃ πλέον καὶ οὐ μετ' εὐνοίας ἐπί τε Ἀθηναίους συνεστρατεύσαντο καὶ ἐς τὴν Ἀσίαν μετὰ Ἀγησιλάου διέβησαν, καὶ δὴ καὶ ἐς Λεῦκτρα αὐτοῖς τὰ Βοιωτικὰ ἠκολούθησαν. τὸ δὲ ὕποπτον τὸ ἐς τοὺς Λακεδαιμονίους ἀλλαχοῦ τε ἐπεδείξαντο, καὶ μετὰ τὸ ἀτύχημα Λακεδαιμονίων τὸ ἐν Λεύκτροις παρὰ Θηβαίους αὐτίκα ἀπ' αὐτῶν μετέστησαν. Φιλίππῳ δὲ καὶ Μακεδόσιν ἐν Χαιρωνείᾳ, καὶ ὕστερον ἐν Θεσσαλίᾳ πρὸς Ἀντίπατρον οὐκ ἐμαχέσαντο μετὰ Ἑλλήνων, οὐ μὴν οὐδὲ τοῖς Ἕλλησιν ἐναντία ἐτάξαντο. Πρὸς Γαλάτας δὲ τοῦ ἐν Θερμοπύλαις 3
κινδύνου φασὶ Λακεδαιμονίων ἕνεκα οὐ μετασχεῖν, ἵνα μή σφισιν οἱ Λακεδαιμόνιοι κακουργοῖεν τὴν γῆν ἀπόντων τῶν ἐν ἡλικίᾳ. συνεδρίου δὲ τῶν Ἀχαιῶν μετέσχον οἱ Ἀρκάδες προθυμότατα Ἑλλήνων. Ὁπόσα δὲ αὐτοῖς οὐχὶ ἐν κοινῷ, κατὰ πόλεις δὲ ἰδίᾳ συμβεβηκότα εὕρισκον, ἀποθησόμεθα αὐτῶν ἕκαστον ἐς τὸ οἰκεῖον τοῦ λόγου.

2. Εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν 4
πρὸς μὲν Ὑσιῶν καὶ ὑπὲρ τὸ ὄρος τὸ Παρθένιον ἐς τὴν Τεγεατικήν, δύο δὲ ἄλλαι κατὰ Μαντίνειαν διά τε Πρίνου καλουμένης καὶ διὰ Κλίμακος. αὕτη δὲ εὐρυτέρα τέ ἐστι καὶ ἡ κάθοδος εἶχεν αὕτη βασμίδας ποτὲ ἐμπεποιημένας. Ὑπερβαλόντων δὲ τὴν Κλίμακα χωρίον ἐστὶν ὀνομαζόμενον Μελαγγεῖα, καὶ τὸ ὕδωρ αὐτόθεν τὸ πότιμον Μαντινεῦσι κάτεισιν ἐς τὴν πόλιν. Προελθόντι δὲ ἐκ 5
τῶν Μελαγγείων, ἀπέχοντι τῆς πόλεως στάδια ὡς ἑπτὰ ἔστι κρήνη καλουμένη Μελιαστῶν· οἱ Μελιασταὶ δὲ οὗτοι δρῶσι τὰ ὄργια τοῦ Διονύσου, καὶ Διονύσου τε μέγα-

ρον πρὸς τῇ κρήνῃ καὶ Ἀφροδίτης ἐστὶν ἱερὸν Μελαινίδος. ἐπίκλησιν δὲ ἡ θεὸς ταύτην κατ' ἄλλο μὲν ἔσχεν οὐδέν, ὅτι δὲ ἀνθρώπῳ μὴ τὰ πάντα αἱ μίξεις ὥσπερ τοῖς
6 κτήνεσι μεθ' ἡμέραν, τὰ πλείω δέ εἰσιν ἐν νυκτί. Ἡ δὲ 611
ὑπολειπομένη τῶν ὁδῶν στενωτέρα ἐστὶ τῆς προτέρας καὶ ἄγει διὰ τοῦ Ἀρτεμισίου. τούτου δὲ ἐπεμνήσθην καὶ ἔτι πρότερον τοῦ ὄρους, ὡς ἔχοι μὲν ναὸν καὶ ἄγαλμα Ἀρτέμιδος, ἔχοι δὲ καὶ τοῦ Ἰνάχου τὰς πηγάς. Ὁ δὲ Ἴναχος ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον.

VII. Ὑπερβαλόντα δὲ ἐς τὴν Μαντινικὴν διὰ τοῦ Ἀρτεμισίου πεδίον ἐκδέξεταί σε Ἀργὸν καλούμενον, καθάπερ γε καὶ ἔστι· τὸ γὰρ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ κατερχόμενον ἐς αὐτὸ ἐκ τῶν ὀρῶν ἀργὸν εἶναι τὸ πεδίον ποιεῖ, ἐκώλυέ τε οὐδὲν ἂν τὸ πεδίον τοῦτο εἶναι λίμνην, εἰ μὴ
2 τὸ ὕδωρ ἠφανίζετο ἐς χάσμα γῆς. ἀφανισθὲν δὲ ἐνταῦθα ἄνεισι κατὰ τὴν Δίνην· ἔστι δὲ ἡ Δίνη κατὰ τὸ Γενέθλιον καλούμενον τῆς Ἀργολίδος, ὕδωρ γλυκὺ ἐκ θαλάσσης ἀνερχόμενον. τὸ δὲ ἀρχαῖον καὶ καθίεσαν ἐς τὴν Δίνην τῷ Ποσειδῶνι ἵππους οἱ Ἀργεῖοι κεκοσμημένους χαλινοῖς. γλυκὺ δὲ ὕδωρ ἐν θαλάσσῃ δῆλόν ἐστιν ἐνταῦθά τε ἀνιὸν ἐν τῇ Ἀργολίδι, καὶ ἐν τῇ Θεσπρωτίδι
3 κατὰ τὸ Χειμέριον καλούμενον. θαύματος δὲ ἔτι πλέονός ἐστιν ἐν Μαιάνδρῳ ζέον ὕδωρ, τὸ μὲν ἐκ πέτρας, περιέχοντος τοῦ ῥεύματος τὴν πέτραν, τὸ δὲ καὶ ἐκ τῆς ἰλύος ἄνεισι τοῦ ποταμοῦ. Πρὸ Δικαιαρχίας δὲ τῆς Τυρσηνῶν ὕδωρ τε ἐν θαλάσσῃ ζέον καὶ νῆσος δι' αὐτό ἐστι χειροποίητος, ὡς μηδὲ τοῦτο τὸ ὕδωρ ἀργὸν [εἶναι] ἀλλά σφισι λουτρὰ θερμά.

4. Τοῦ δὲ Ἀργοῦ καλουμένου πεδίου Μαντινεῦσιν 4
ὄρος ἐστὶν ἐν ἀριστερᾷ, σκηνῆς τε Φιλίππου τοῦ Ἀμύν-
του καὶ κώμης ἐρείπια ἔχον Νεστάνης· πρὸς ταύτῃ γὰρ
στρατοπεδεύσασθαι τῇ Νεστάνῃ Φίλιππον λέγουσι, καὶ
τὴν πηγὴν αὐτόθι ὀνομάζουσιν ἔτι ἀπὸ ἐκείνου Φιλίπ-
πιον. ἀφίκετο δὲ ἐς Ἀρκαδίαν Φίλιππος οἰκειωσόμενός
τε Ἀρκάδας καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ σφᾶς τοῦ ἄλλου δια-
612 στήσων. Φίλιππον δὲ βασιλέων μὲν τῶν πρὸ αὐτοῦ καὶ 5
ὅσοι Μακεδόσι γεγόνασιν ὕστερον, τούτων μὲν πείθοιτο
ἄν τις μέγιστα αὐτὸν ἔργα ἐπιδείξασθαι, στρατηγὸν δὲ
ἀγαθὸν οὐκ ἄν τις φρονῶν ὀρθὰ καλέσειεν αὐτόν, ὅς γε
καὶ ὅρκους θεῶν κατεπάτησεν ἀεὶ καὶ σπονδὰς ἐπὶ παντὶ
ἐψεύσατο, πίστιν τε ἠτίμασε μάλιστα ἀνθρώπων. καί οἱ 6
τὸ ἐκ τοῦ θεοῦ μήνιμα ἀπήντησεν οὐκ ὀψέ, πρῶτα δὲ ὧν
ἴσμεν. Φίλιππος μὲν οὐ πρόσω βιώσας ἕξ τε καὶ τεσσα-
ράκοντα ἐτῶν τὸ μάντευμα ἐξετέλεσε τὸ ἐκ Δελφῶν, ὃ
δὴ χρωμένῳ οἱ περὶ τοῦ Πέρσου γενέσθαι λέγουσιν,

Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

Τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον,
ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον· 5. Ἐπὶ δὲ Φιλίππῳ τελευ- 7
τήσαντι Φιλίππου παῖδα νήπιον, γεγονότα δὲ ἐκ Κλεο-
πάτρας ἀδελφιδῆς Ἀττάλου, τοῦτον τὸν παῖδα ὁμοῦ τῇ
μητρὶ Ὀλυμπιὰς ἐπὶ σκεύους χαλκοῦ πυρὸς ἐπιβεβλημέ-
νου διέφθειρεν ἕλκουσα· χρόνῳ δὲ ὕστερον καὶ Ἀριδαῖον
ἀπέκτεινεν. ἔμελλε δὲ ἄρα ὁ δαίμων καὶ τὸ γένος τὸ Κασ-
σάνδρου κακῶς ἐξαμήσειν· Κασσάνδρῳ δὲ οἱ παῖδες ἐκ
Θεσσαλονίκης γεγόνασι τῆς Φιλίππου, Θεσσαλονίκῃ δὲ
ἦσαν καὶ Ἀριδαίῳ μητέρες Θεσσαλαί. τὰ δὲ ἐς Ἀλέξαν-
δρον καὶ τοῖς πᾶσιν ὁμοίως δῆλά ἐστιν [Ἀλεξάνδρου 8
θάνατος]. Εἰ δὲ τοῦ ἐς Γλαῦκον τὸν Σπαρτιάτην ἐποιή-
σατο ὁ Φίλιππος λόγον καὶ τὸ ἔπος ἐφ' ἑκάστου τῶν ἔρ-
γων ἀνεμίμνησκεν αὐτόν,

Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀρείων,

οὐκ ἂν οὕτω δίχα λόγου δοκεῖ μοι θεῶν τις Ἀλεξάνδρου
τε ὁμοῦ τὸν βίον καὶ ἀκμὴν τὴν Μακεδόνων σβέσαι. τόδε
μὲν ἡμῖν ἐγένετο ἐπεισόδιον τῷ λόγῳ.

VIII. Μετὰ δὲ τὰ ἐρείπια τῆς Νεστάνης ἱερὸν Δήμη- 613
τρός ἐστιν ἅγιον, καὶ αὐτῇ καὶ ἑορτὴν ἀνὰ πᾶν ἔτος ἄγου-
σιν οἱ Μαντινεῖς. καὶ κατὰ τὴν Νεστάνην ὑπόκειται μά-
λιστα μοῖρα μὲν καὶ αὐτὴ τοῦ πεδίου τοῦ Ἀργοῦ, Χορὸς
δὲ ὀνομάζεται Μαιρᾶς. τοῦ πεδίου δέ ἐστιν ἡ διέξοδος
τοῦ Ἀργοῦ σταδίων δέκα. 2. ὑπερβὰς δὲ οὐ πολὺ ἐς ἕτερον
καταβήσῃ πεδίον· ἐν τούτῳ δὲ παρὰ τὴν λεωφόρον ἐστὶν
2 Ἄρνη καλουμένη κρήνη. λέγεται δὲ καὶ τοιάδε ὑπὸ Ἀρκά-
δων, Ῥέα ἡνίκα Ποσειδῶνα ἔτεκε, τὸν μὲν ἐς ποίμνην
καταθέσθαι δίαιταν ἐνταῦθα ἕξοντα μετὰ τῶν ἀρνῶν,
ἐπὶ τούτῳ δὲ ὀνομασθῆναι καὶ τὴν πηγήν, ὅτι περὶ αὐτὴν
ἐποιμαίνοντο οἱ ἄρνες· φάναι δὲ αὐτὴν πρὸς τὸν Κρόνον
τεκεῖν ἵππον, καί οἱ πῶλον ἵππου καταπιεῖν ἀντὶ τοῦ
παιδὸς δοῦναι, καθὰ καὶ ὕστερον ἀντὶ τοῦ Διὸς λίθον
3 ἔδωκεν αὐτῷ κατειλημένον σπαργάνοις. Τούτοις Ἑλλή-
νων ἐγὼ τοῖς λόγοις ἀρχόμενος μὲν τῆς συγγραφῆς εὐη-
θίας ἔνεμον πλέον, ἐς δὲ τὰ Ἀρκάδων προεληλυθὼς
πρόνοιαν περὶ αὐτῶν τοιάνδε ἐλάμβανον· Ἑλλήνων τοὺς
νομιζομένους σοφοὺς δι' αἰνιγμάτων πάλαι καὶ οὐκ ἐκ
τοῦ εὐθέος λέγειν τοὺς λόγους, καὶ τὰ εἰρημένα οὖν ἐς
τὸν Κρόνον σοφίαν εἶναί τινα εἴκαζον Ἑλλήνων. τῶν
μὲν δὴ ἐς τὸ θεῖον ἡκόντων τοῖς εἰρημένοις χρησόμεθα.
4 3. Μαντινέων δὲ ἡ πόλις σταδίους μάλιστά που δώ-
δεκά ἐστιν ἀπωτέρω τῆς πηγῆς ταύτης. Μαντινεὺς μὲν
οὖν ὁ Λυκάονος ἑτέρωθι φαίνεται οἰκίσας τὴν πόλιν, ἣν
ὀνομάζουσι καὶ ἐς ἡμᾶς ἔτι οἱ Ἀρκάδες· ἐκεῖθεν δὲ Ἀντι-
νόη Κηφέως τοῦ Ἀλέου θυγάτηρ κατὰ μάντευμα ἀνα-
στήσασα τοὺς ἀνθρώπους ἤγαγεν ἐς τοῦτο τὸ χωρίον,

ὄφιν, ὁποῖον, οὐ μνημονεύουσιν, ἡγεμόνα ποιησαμένη
τῆς ὁδοῦ· καὶ διὰ τοῦτο ὁ παρὰ τὴν πόλιν ῥέων τὴν νῦν
ποταμὸς Ὄφις ὄνομα ἔσχηκεν. εἰ δὲ Ὁμήρου χρὴ τεκμαι- 5
ρόμενον τοῖς ἔπεσι συμβαλέσθαι γνώμην, τὸν ὄφιν τοῦ-
614 τον δράκοντα εἶναι πείθομαι. περὶ Φιλοκτήτου μὲν ἐν
νεῶν καταλόγῳ ποιήσας ὡς ἀπολίποιεν αὐτὸν οἱ Ἕλλη-
νες ἐν Λήμνῳ ταλαιπωροῦντα ὑπὸ τοῦ ἕλκους, ἐπίκλησιν
οὐκ ἔθετο ὄφιν τῷ ὕδρῳ· τὸν δράκοντα δὲ ὃν ἐς τοὺς
Τρῶας ἀφῆκεν ὁ ἀετός, ἐκάλεσεν ὄφιν. οὕτω τὸ εἰκὸς
ἔχει καὶ τῇ Ἀντινόῃ τὸν ἡγεμόνα γενέσθαι δράκοντα.

4. Μαντινεῖς δὲ μάχην μὲν τὴν ἐν Διπαιεῦσιν οὐκ 6
ἐμαχέσαντο πρὸς Λακεδαιμονίους μετὰ Ἀρκάδων τῶν
ἄλλων, ἐν δὲ τῷ Πελοποννησίων καὶ Ἀθηναίων πολέμῳ
συνέστησαν ἐπὶ Λακεδαιμονίους μετὰ Ἠλείων, καὶ παρα-
γενομένου συμμαχικοῦ σφίσιν ἐξ Ἀθηνῶν Λακεδαιμο-
νίων ἐναντία ἐμαχέσαντο· μετέσχον δὲ καὶ τοῦ ἐς Σικε-
λίαν στόλου κατὰ Ἀθηναίων φιλίαν. 5. Χρόνῳ δὲ ὕστερον 7
Λακεδαιμονίων στρατιὰ καὶ Ἀγησίπολις ὁ Παυσανίου
βασιλεὺς ἐσέβαλον ἐς τὴν Μαντινικήν. ὡς δὲ ἐκράτησεν
ὁ Ἀγησίπολις τῇ μάχῃ καὶ ἐς τὸ τεῖχος κατέκλεισε τοὺς
Μαντινέας, εἷλεν οὐ μετὰ πολὺ τὴν πόλιν, οὐ πολιορκίᾳ
κατὰ τὸ ἰσχυρόν, τὸν δὲ Ὄφιν ποταμὸν ἀποστρέψας σφί-
σιν ἐς τὸ τεῖχος ὠμῆς ᾠκοδομημένον τῆς πλίνθου. ἐς μὲν 8
δὴ μηχανημάτων ἐμβολὴν ἀσφάλειαν ἡ πλίνθος παρέχε-
ται μᾶλλον ἢ ὁπόσα λίθου πεποιημένα ἐστίν· οἱ μὲν γὰρ
κατάγνυνταί τε καὶ ἐκπηδῶσιν ἐκ τῶν ἁρμονιῶν, ἡ δὲ
πλίνθος ἐκ μηχανημάτων μὲν οὐχ ὁμοίως πονεῖ, διαλύ-
εται δὲ ὑπὸ τοῦ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ τοῦ ἡλίου κηρός.
Τοῦτο οὐκ Ἀγησίπολις τὸ στρατήγημα ἐς τὸ τεῖχος τῶν 9
Μαντινέων ἐστὶν ὁ συνεὶς, ἀλλὰ πρότερον ἔτι Κίμωνι
ἐξευρέθη τῷ Μιλτιάδου Βόγην πολιορκοῦντι ἄνδρα Μῆ-
615 δον καὶ ὅσοι Περσῶν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι εἶχον·

Ἀγησίπολις δὲ καθεστηκὸς καὶ ᾀδόμενον ὑπὸ Ἑλλήνων
ἐμιμήσατο. Ὡς δὲ εἷλε τὴν Μαντίνειαν, ὀλίγον μέν τι κα-
τέλιπεν οἰκεῖσθαι, τὸ πλεῖστον δὲ ἐς ἔδαφος καταβαλὼν
10 αὐτῆς κατὰ κώμας τοὺς ἀνθρώπους διῴκισε. 6. Μαντι-
νέας δὲ ἐκ τῶν κωμῶν κατάξειν ἐς τὴν πατρίδα ἔμελλον
Θηβαῖοι μετὰ τὸ ἔργον τὸ ἐν Λεύκτροις. κατελθόντες δὲ
οὐ τὰ πάντα ἐγένοντο δίκαιοι· περιληφθέντες δὲ ἐπικη-
ρυκευόμενοι Λακεδαιμονίοις καὶ εἰρήνην ἰδίᾳ πρὸς αὐ-
τοὺς ἄνευ τοῦ Ἀρκάδων κοινοῦ πράσσοντες, οὕτω διὰ
τὸ δέος τῶν Θηβαίων ἐς τὴν Λακεδαιμονίων συμμαχίαν
μετεβάλοντο ἐκ τοῦ φανεροῦ, καὶ τῆς Μαντινικῆς πρὸς
Ἐπαμεινώνδαν καὶ Θηβαίους μάχης Λακεδαιμονίων γι-
νομένης ὁμοῦ τοῖς Λακεδαιμονίοις ἐτάξαντο οἱ Μαντινεῖς.
11 τούτων δὲ ὕστερον διαφορὰ ἐγένετο Μαντινεῦσιν ἐς τοὺς
Λακεδαιμονίους, καὶ ἀπ' αὐτῶν μετέστησαν ἐς τὸ Ἀχαϊ-
κόν. καὶ Ἆγιν τὸν Εὐδαμίδου βασιλεύοντα ἐν Σπάρτῃ
νικῶσιν ἀμύνοντες τῇ σφετέρᾳ, νικῶσι δὲ προσλαβόντες
Ἀχαιῶν στρατιὰν καὶ Ἄρατον ἡγεμόνα ἐπ' αὐτῇ. Μετέ-
σχον δὲ καὶ πρὸς Κλεομένην τοῦ ἔργου τοῖς Ἀχαιοῖς, καὶ
συγκαθεῖλον Λακεδαιμονίων τὴν ἰσχύν. Ἀντιγόνου δὲ
ἐν Μακεδονίᾳ Φίλιππον τὸν Περσέως πατέρα ἔτι παῖδα
ἐπιτροπεύοντος καὶ Ἀχαιοῖς ἐς τὰ μάλιστα ὄντος ἐπιτη-
δείου, ἄλλα τε ἐς τιμὴν αὐτοῦ Μαντινεῦσιν ἐποιήθη,
12 καὶ ὄνομα τῇ πόλει μετέθεντο Ἀντιγόνειαν. Χρόνῳ δὲ
ὕστερον Αὐγούστου πρὸς τῇ ἄκρᾳ τοῦ Ἀπόλλωνος τοῦ
Ἀκτίου ναυμαχήσειν μέλλοντος Μαντινεῖς ἐμαχέσαντο
ὁμοῦ Ῥωμαίοις, τὸ δὲ ἄλλο Ἀρκαδικὸν συνετάχθησαν
Ἀντωνίῳ, κατ' ἄλλο μέν, ἐμοὶ δοκεῖν, οὐδέν, ὅτι δὲ ἐφρό-
νουν οἱ Λακεδαιμόνιοι τὰ Αὐγούστου. Δέκα δὲ ὕστερον
γενεαῖς ἐβασίλευσέ τε Ἀδριανός, καὶ ἀφελὼν Μαντινεῦσι
τὸ ὄνομα τὸ ἐκ Μακεδονίας ἐπακτὸν ἀπέδωκεν αὖθις
Μαντίνειαν καλεῖσθαί σφισι τὴν πόλιν.

616 IX. Ἔστι δὲ Μαντινεῦσι ναὸς διπλους μάλιστά που
κατὰ μέσον τοίχῳ διειργόμενος· τοῦ ναοῦ δὲ τῇ μὲν
ἄγαλμά ἐστιν Ἀσκληπιοῦ, τέχνη Ἀλκαμένους, τὸ δὲ ἕτε-
ρον Λητοῦς ἐστὶν ἱερὸν καὶ τῶν παίδων· Πραξιτέλης δὲ
τὰ ἀγάλματα εἰργάσατο τρίτῃ μετὰ Ἀλκαμένην ὕστερον
γενεᾷ. τούτων πεποιημένα ἐστὶν ἐπὶ τῷ βάθρῳ Μοῦσα
καὶ Μαρσύας αὐλῶν. Ἐνταῦθα ἀνὴρ ἐπείργασται στήλῃ
Πολύβιος ὁ Λυκόρτα. καὶ τοῦ μὲν ἐπιμνησθησόμεθα καὶ 2
ἐν τοῖς ἔπειτα, Μαντινεῦσι δέ ἐστι καὶ ἄλλα ἱερά, τὸ μὲν
Σωτῆρος Διός, τὸ δὲ Ἐπιδώτου καλουμένου· ἐπιδιδόναι
γὰρ δὴ ἀγαθὰ αὐτὸν ἀνθρώποις. ἔστι δὲ καὶ Διοσκούρων
καὶ ἑτέρωθι Δήμητρος καὶ Κόρης ἱερόν· πῦρ δὲ ἐνταῦθα
καίουσι, ποιούμενοι φροντίδα μὴ λάθῃ σφίσιν ἀποσβε-
σθέν. Καὶ Ἥρας πρὸς τῷ θεάτρῳ ναὸν ἐθεασάμην· Πρα- 3
ξιτέλης δὲ τὰ ἀγάλματα αὐτήν τε καθημένην ἐν θρόνῳ
καὶ παρεστώσας ἐποίησεν Ἀθηνᾶν καὶ Ἥβην παῖδα Ἥρας.
2. Πρὸς δὲ τῆς Ἥρας τῷ βωμῷ καὶ Ἀρκάδος τάφος τοῦ
Καλλιστοῦς ἐστί. τὰ δὲ ὀστᾶ τοῦ Ἀρκάδος ἐπηγάγοντο
ἐκ Μαινάλου χρησμοῦ σφίσιν ἐλθόντος ἐκ Δελφῶν·

Ἔστι δὲ Μαιναλίη δυσχείμερος, ἔνθα τε κεῖται 4
Ἀρκάς, ἀφ᾽ οὗ δὴ πάντες ἐπίκλησιν καλέονται.
ἔνθα σ᾽ ἐγὼ κέλομαι στείχειν, καὶ εὔφρονι θυμῷ
Ἀρκάδ᾽ ἀειραμένους κατάγειν εἰς ἄστυ ἐραννόν,
οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος,
ἔνθα τε δὴ τέμενός τε θυηλάς τ᾽ Ἀρκάδι τεύχειν.

τὸ δὲ χωρίον τοῦτο, ἔνθα ὁ τάφος ἐστὶ τοῦ Ἀρκάδος, κα-
λοῦσιν Ἡλίου βωμούς. Τοῦ θεάτρου δὲ οὐ πόρρω μνή- 5
ματα προήκοντά ἐστιν ἐς δόξαν, τὸ μὲν Ἑστία καλουμένη
κοινή, περιφερὲς σχῆμα ἔχουσα· Ἀντινόην δὲ αὐτόθι
ἐλέγετο κεῖσθαι τὴν Κηφέως· τῷ δὲ στήλη τε ἐφέστηκε,
καὶ ἀνὴρ ἱππεὺς ἐπειργασμένος ἐστὶν ἐπὶ τῇ στήλῃ, Γρύ-
λος ὁ Ξενοφῶντος. 3. Τοῦ θεάτρου δὲ ὄπισθεν ναοῦ τε 6

Ἀφροδίτης ἐπίκλησιν Συμμαχίας ἐρείπια καὶ ἄγαλμα 617
ἐλείπετο· τὸ δὲ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ τὴν ἀναθεῖσαν
τὸ ἄγαλμα ἐδήλου θυγατέρα εἶναι Πασέου Νικίππην. τὸ
δὲ ἱερὸν κατεσκευάσαντο τοῦτο οἱ Μαντινεῖς ὑπόμνημα
ἐς τοὺς ἔπειτα τῆς ὁμοῦ Ῥωμαίοις ἐπ' Ἀκτίῳ ναυμαχίας.
Σέβουσι δὲ καὶ Ἀθηνᾶν Ἀλέαν, καὶ ἱερόν τε καὶ ἄγαλμα
7 Ἀθηνᾶς ἐστιν Ἀλέας αὐτοῖς. 4. Ἐνομίσθη δὲ καὶ Ἀντίνους
σφίσιν εἶναι θεός· ναῶν δὲ ἐν Μαντινείᾳ νεώτατός ἐστιν
ὁ τοῦ Ἀντίνου ναός. οὗτος ἐσπουδάσθη περισσῶς δή τι
ὑπὸ βασιλέως Ἀδριανοῦ. ἐγὼ δὲ μετ' ἀνθρώπων μὲν ἔτι
αὐτὸν ὄντα οὐκ εἶδον, ἐν δὲ ἀγάλμασιν εἶδον καὶ ἐν γρα-
φαῖς. ἔχει μὲν δὴ γέρα καὶ ἑτέρωθι, καὶ ἐπὶ τῷ Νείλῳ πόλις
Αἰγυπτίων ἐστὶν ἐπώνυμος Ἀντίνου· τιμὰς δὲ ἐν Μαν-
τινείᾳ κατὰ τοιόνδε ἔσχηκε. γένος ἦν ὁ Ἀντίνους ἐκ (Βι-
θυνίου πόλεως) Βιθυνίας τῆς ὑπὲρ Σαγγαρίου ποταμοῦ·
οἱ δὲ Βιθυνιεῖς Ἀρκάδες τέ εἰσι καὶ Μαντινεῖς τὰ ἄνωθεν.
8 τούτων ἕνεκα ὁ βασιλεὺς κατεστήσατο αὐτῷ καὶ ἐν Μαν-
τινείᾳ τιμάς, καὶ τελετή τε κατὰ ἔτος ἕκαστον καὶ ἀγών
ἐστιν αὐτῷ διὰ ἔτους πέμπτου. οἶκος δέ ἐστιν ἐν τῷ γυμ-
νασίῳ Μαντινεῦσιν ἀγάλματα ἔχων Ἀντίνου καὶ ἐς τἆλλα
θέας ἄξιος, λίθων ἕνεκα οἷς κεκόσμηται, καὶ ἀπιδόντι ἐς
τὰς γραφάς· αἱ δὲ Ἀντίνου εἰσὶν αἱ πολλαί, Διονύσῳ
μάλιστα εἰκασμέναι. καὶ δὴ καὶ τῆς ἐν Κεραμεικῷ γρα-
φῆς, ἣ τὸ ἔργον ἔχει τὸ Ἀθηναίων ἐν Μαντινείᾳ, καὶ
9 ταύτης αὐτόθι ἐστὶ μίμημα. 5. Μαντινεῦσι δὲ ἐν τῇ
ἀγορᾷ γυναικός τε εἰκὼν χαλκῆ, καὶ Μαντινεῖς καλοῦσι
Διομένειαν Ἀρκάδος, καὶ ἡρῷόν ἐστι Ποδάρου· φασὶ δὲ
ἀποθανεῖν αὐτὸν ἐν τῇ πρὸς Ἐπαμεινώνδαν καὶ Θηβαί-
ους μάχῃ. γενεαῖς δὲ τρισὶν ἐμοῦ πρότερον μετέθεσαν
τοῦ τάφου τὸ ἐπίγραμμα ἐς ἄνδρα ἀπόγονον μὲν ἐκείνου
Ποδάρου καὶ ὁμώνυμον, γεγονότα δὲ καθ' ἡλικίαν ὡς
10 πολιτείας ἤδη Ῥωμαίων μετειληφέναι. Ποδάρην δ' ἐπ'

618 ἐμοῦ τὸν ἀρχαῖον ἐτίμων οἱ Μαντινεῖς λέγοντες ὡς ἄριστος μὲν καὶ αὐτῶν καὶ τῶν συμμάχων γένοιτο ἐν τῇ μάχῃ Γρύλος ὁ Ξενοφῶντος, ἐπὶ δὲ τῷ Γρύλῳ Κηφισόδωρος Μαραθώνιος, οὗτος δὲ τηνικαῦτα Ἀθηναίοις ἐτύγχανεν ἱππαρχῶν, τρίτα δὲ ἀνδραγαθίας Ποδάρῃ νέμουσιν.

X. Ἐς Ἀρκαδίαν δὲ τὴν ἄλλην εἰσὶν ἐκ Μαντινείας ὁδοί· ὁπόσα δὲ ἐφ' ἑκάστης αὐτῶν μάλιστα ἦν θέας ἄξια, ἐπέξειμι καὶ ταῦτα. ἰόντι ἐς Τεγέαν ἐστὶν ἐν ἀριστερᾷ τῆς λεωφόρου παρὰ τοῖς Μαντινέων τείχεσι χωρίον ἐς τῶν ἵππων τὸν δρόμον, καὶ οὐ πόρρω τούτου στάδιον, ἔνθα ἐπὶ τῷ Ἀντίνῳ τὸν ἀγῶνα τιθέασιν. 2. Ὑπὲρ δὲ τοῦ σταδίου τὸ ὄρος ἐστὶ τὸ Ἀλήσιον, διὰ τὴν ἄλην, ὥς φασι, καλούμενον τὴν Ῥέας, καὶ Δήμητρος ἄλσος ἐν τῷ ὄρει. παρὰ δὲ τοῦ ὄρους τὰ ἔσχατα τοῦ Ποσειδῶνός ἐστι τοῦ 2
Ἱππίου τὸ ἱερόν, οὐ πρόσω σταδίου Μαντινείας. τὰ δὲ ἐς τὸ ἱερὸν τοῦτο ἐγώ τε ἀκοὴν γράφω καὶ ὅσοι μνήμην ἄλλοι περὶ αὐτοῦ πεποίηνται. τὸ μὲν δὴ ἱερὸν τὸ ἐφ' ἡμῶν ᾠκοδομήσατο Ἀδριανὸς βασιλεύς, ἐπιστήσας τοῖς ἐργαζομένοις ἐπόπτας ἄνδρας, ὡς μήτε ἐνίδοι τις ἐς τὸ ἱερὸν τὸ ἀρχαῖον μήτε τῶν ἐρειπίων τι αὐτοῦ μετακινοῖτο· πέριξ δὲ ἐκέλευε τὸν ναὸν σφᾶς οἰκοδομεῖσθαι τὸν καινόν. τὰ δὲ ἐξ ἀρχῆς τῷ Ποσειδῶνι τὸ ἱερὸν τοῦτο Ἀγαμήδης λέγονται καὶ Τροφώνιος ποιῆσαι, δρυῶν ξύλα ἐργασάμενοι καὶ ἁρμόσαντες πρὸς ἄλληλα. ἐσόδου δὲ ἐς 3
αὐτὸ εἴργοντες ἀνθρώπους ἔρυμα μὲν πρὸ τῆς ἐσόδου προεβάλοντο οὐδέν, μίτον δὲ διατείνουσιν ἐρεοῦν, τάχα μέν που τοῖς τότε ἄγουσι τὰ θεῖα ἐν τιμῇ δεῖμα καὶ τοῦτο ἔσεσθαι νομίζοντες, τάχα δ' ἂν τι μετείη καὶ ἰσχύος τῷ μίτῳ. Φαίνεται δὲ καὶ Αἴπυτος ὁ Ἱππόθου μήτε πηδήσας
619 ὑπὲρ τὸν μίτον μήτε ὑποδύς, διακόψας δὲ αὐτὸν ἐσελθὼν ἐς τὸ ἱερόν· καὶ ποιήσας οὐχ ὅσια ἐτυφλώθη τε ἐμπεσόν-

τος ἐς τοὺς ὀφθαλμοὺς αὐτῷ τοῦ κύματος, καὶ αὐτίκα
4 ἐπιλαμβάνει τὸ χρεὼν αὐτόν. 3. Θαλάσσης δὲ ἀναφαίνεσθαι κῦμα ἐν τῷ ἱερῷ τούτῳ λόγος ἐστὶν ἀρχαῖος· ἐοικότα δὲ καὶ Ἀθηναῖοι λέγουσιν ἐς τὸ κῦμα τὸ ἐν ἀκροπόλει, καὶ Καρῶν οἱ Μύλασα ἔχοντες ἐς τοῦ θεοῦ τὸ ἱερὸν ὃν φωνῇ τῇ ἐπιχωρίᾳ καλοῦσιν Ὀσογῶα. Ἀθηναίοις μὲν δὴ σταδίους μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ πρὸς Φαλήρῳ θάλασσα· ὡσαύτως δὲ καὶ Μυλασεῦσιν ἐπίνειον σταδίους ὀγδοήκοντα ἀπέχον ἐστὶν ἀπὸ τῆς πόλεως· Μαντινεῦσι δὲ ἐκ μακροτάτων τε ἡ θάλασσα ἄνεισι καὶ ἐκφανέστατα δὴ κατὰ τοῦ θεοῦ γνώμην.

5 4. Πέραν δὲ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος τρόπαιόν ἐστι λίθου πεποιημένον ἀπὸ Λακεδαιμονίων καὶ Ἄγιδος. λέγεται δὲ καὶ ὁ τρόπος τῆς μάχης. τὸ μὲν δεξιὸν εἶχον οἱ Μαντινεῖς αὐτοί, στρατιάν τε ἀπὸ πάσης ἡλικίας καὶ στρατηγὸν παρεχόμενοι Ποδάρην, ἀπόγονον τρίτον Ποδάρου τοῦ Θηβαίοις ἐναντία ἀγωνισαμένου. παρῆν δέ σφισι καὶ μάντις Ἠλεῖος Θρασύβουλος Αἰνέου τῶν Ἰαμιδῶν· οὗτος ὁ ἀνὴρ νίκην τε τοῖς Μαντινεῦσι προηγό-
6 ρευσε, καὶ αὐτός σφισι τοῦ ἔργου μετέσχεν. ἐπὶ δὲ τῷ εὐωνύμῳ πᾶν τὸ ἄλλο Ἀρκαδικὸν ἐτάσσοντο· ἄρχοντες δὲ κατὰ πόλεις τε ἦσαν καὶ Μεγαλοπολιτῶν Λυδιάδης καὶ Λεωκύδης. Ἀράτῳ δὲ ἐπετέτραπτο καὶ Σικυωνίοις τε καὶ Ἀχαιοῖς τὸ μέσον. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις ἐπεξέτειναν τὴν φάλαγγα, ὡς τῶν ἐναντίων τῷ στρατεύματι ἀντιπαρήκοιεν· τὸ μέσον δὲ Ἆγις καὶ οἱ περὶ τὸν βασιλέα
7 εἶχον. Ἄρατος δὲ ἀπὸ συγκειμένου πρὸς τοὺς Ἀρκάδας ὑπέφευγεν αὐτός τε καὶ ὁ σὺν αὐτῷ στρατὸς οἷα δὴ τῶν Λακεδαιμονίων σφίσιν ἐγκειμένων· ὑποφεύγοντες δὲ ἅμα τὸ σύνταγμα σφῶν ἠρέμα ἐποίουν μηνοειδές. Λακεδαιμόνιοι δὲ καὶ Ἆγις νίκην τε ἤλπιζον, καὶ τοῖς περὶ τὸν Ἄρατον ἐνέκειντο ἀθρόοι μᾶλλον· ἐπηκολούθουν δέ

σφισι καὶ οἱ ἀπὸ τῶν κεράτων, Ἄρατον καὶ τὴν σὺν αὐτῷ στρατιὰν τρέψασθαι μέγα ἀγώνισμα ἡγούμενοι. Ἔλαθόν 8
τε δὴ κατὰ νώτου γενόμενοί σφισιν οἱ Ἀρκάδες, καὶ οἱ
620 Λακεδαιμόνιοι κυκλωθέντες τῆς τε ἄλλης στρατιᾶς τὸ πολὺ ἀποβάλλουσι, καὶ βασιλεὺς ἔπεσεν Ἆγις Εὐδαμίδου. Φανῆναι δὲ καὶ τὸν Ποσειδῶνα ἀμύνοντά σφισιν ἔφασαν οἱ Μαντινεῖς, καὶ τοῦδε ἕνεκα τρόπαιον ἐποιήσαντο ἀνάθημα τῷ Ποσειδῶνι. Πολέμῳ δὲ καὶ ἀνθρώ- 9
πων φόνοις παρεῖναι θεοὺς ἐποίησαν μὲν ὅσοις τὰ ἡρώων ἐμέλησεν ἐν Ἰλίῳ παθήματα, ᾄδεται δὲ ὑπὸ Ἀθηναίων ὡς θεοί σφισιν ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι τοῦ ἔργου μετάσχοιεν· ἐκδηλότατα δὲ ὁ Γαλατῶν στρατὸς ἀπώλετο ἐν Δελφοῖς ὑπὸ τοῦ θεοῦ καὶ ἐναργῶς ὑπὸ δαιμόνων. οὕτω καὶ Μαντινεῦσιν ἕπεται οὐκ ἄνευ τοῦ Ποσειδῶνος τὸ κράτος γενέσθαι σφίσι. Λεωκύδους δὲ τοῦ Μεγαλο- 10
πολιτῶν ὁμοῦ Λυδιάδῃ στρατηγήσαντος πρόγονον ἔνατον Ἀρκεσίλαον οἰκοῦντα ἐν Λυκοσούρᾳ λέγουσιν οἱ Ἀρκάδες ὡς ἴδοι τὴν ἱερὰν τῆς καλουμένης Δεσποίνης ἔλαφον πεπονηκυῖαν ὑπὸ γήρως· τῇ δὲ ἐλάφῳ ταύτῃ ψάλιόν τε εἶναι περὶ τὸν τράχηλον, καὶ γράμματα ἐπὶ τῷ ψαλίῳ,

Νεβρὸς ἐὼν ἑάλων, ὅτ' ἐς Ἴλιον ἦν Ἀγαπήνωρ.

Οὗτος μὲν δὴ ἐπιδείκνυσιν ὁ λόγος ἔλαφον εἶναι πολλῷ καὶ ἐλέφαντος μακροβιώτερον θηρίον.

XI. Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ποσειδῶνος χωρίον ὑποδέξεταί σε δρυῶν πλῆρες, καλούμενον Πέλαγος· καὶ ἐκ Μαντινείας ἡ ἐς Τεγέαν ὁδὸς φέρει διὰ τῶν δρυῶν. Μαντινεῦσι δὲ ὅροι πρὸς Τεγεάτας εἰσὶν ὁ περιφερὴς ἐν τῇ λεωφόρῳ βωμός. 2. Εἰ δὲ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἐς ἀριστερὰν ἐκτραπῆναι θελήσειας, σταδίους τε ἥξεις μάλιστά που πέντε καὶ ἐπὶ τῶν Πελίου θυγατέρων ἀφίξῃ τοὺς τάφους. ταύτας φασὶν οἱ Μαντινεῖς μετοικῆσαι ἐπὶ σφᾶς τὰ ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς ὀνείδη φευγούσας. Ὡς γὰρ 2

*δὴ ἀφίκετο ἡ Μήδεια ἐς Ἰωλκόν, αὐτίκα ἐπεβούλευε τῷ
Πελίᾳ, τῷ ἔργῳ μὲν συμπράσσουσα τῷ Ἰάσονι, τῷ λόγῳ δὲ
ἀπεχθανομένη. ἐπαγγέλλεται τοῦ Πελίου ταῖς θυγατρά-
σιν ὡς τὸν πατέρα αὐταῖς, ἢν ἐθέλωσιν, ἀποφανοῖ νέον
ἀντὶ γέροντος παλαιοῦ. κατασφάξασα δὲ ὅτῳ δὴ τρόπῳ* 621
*κριὸν τὰ κρέα ὁμοῦ φαρμάκοις ἐν λέβητι ἥψησεν, οἷς ἐκ
τοῦ λέβητος τὸν κριὸν τὸν ἑψόμενον ἄρνα ἐξήγαγε ζῶντα.*
3 *Παραλαμβάνει τε δὴ τὸν Πελίαν κατακόψασα ἑψῆσαι, καὶ
αὐτὸν ἐκομίσαντο αἱ θυγατέρες οὐδὲ ἐς ταφὴν ἔτι ἐπι-
τήδειον. τοῦτο ἠνάγκασε τὰς γυναῖκας ἐς Ἀρκαδίαν με-
τοικῆσαι, καὶ ἀποθανούσαις τὰ μνήματα ἐχώσθη σφίσιν
αὐτοῦ· ὀνόματα δὲ αὐταῖς ποιητὴς μὲν ἔθετο οὐδείς,
ὅσα γε ἐπελεξάμεθα ἡμεῖς, Μίκων δὲ ὁ ζωγράφος Ἀστε-
ρόπειάν τε εἶναι καὶ Ἀντινόην ἐπὶ ταῖς εἰκόσιν αὐτῶν
ἐπέγραψεν.*
4 3. *Χωρίον δὲ ὀνομαζόμενον Φοίζων περὶ εἴκοσί που
σταδίους τῶν τάφων ἐστὶν ἀπωτέρω τούτων· ** δὲ Φοίζων
μνῆμά ἐστι λίθου περιεχόμενον κρηπῖδι, ἀνέχον δὲ οὐ
πολὺ ὑπὲρ τῆς γῆς. κατὰ τοῦτο ἥ τε ὁδὸς μάλιστα στενὴ
γίνεται, καὶ τὸ μνῆμα Ἀρηϊθόου λέγουσιν εἶναι Κορυ-*
5 *νήτου διὰ τὸ ὅπλον ἐπονομασθέντος. Κατὰ δὲ τὴν ἐς
Παλλάντιον ἐκ Μαντινείας ἄγουσαν προελθόντι ὡς τριά-
κοντά που σταδίους, παρήκει κατὰ τοῦτο ἐς τὴν λεωφό-
ρον ὁ τοῦ Πελάγους καλουμένου δρυμός, καὶ τὰ ἱππικὰ
τὸ Ἀθηναίων τε καὶ Μαντινέων ἐνταῦθα ἐμαχέσαντο
ἐναντία τῆς Βοιωτίας ἵππου.* 4. *Ἐπαμεινώνδαν δὲ ἀπο-
θανεῖν Μαντινεῖς μὲν ὑπὸ Μαχαιρίωνος Μαντινέως φα-
σὶν ἀνδρός· ὡσαύτως δὲ καὶ Λακεδαιμόνιοι Σπαρτιάτην
λέγουσιν εἶναι τὸν ἀποκτείναντα Ἐπαμεινώνδαν, τίθεν-*
6 *ται δὲ Μαχαιρίωνα ὄνομα καὶ οὗτοι τῷ ἀνδρί. Ὁ δὲ
Ἀθηναίων ἔχει λόγος, ὁμολογοῦσι δὲ αὐτῷ καὶ Θηβαῖοι,
τρωθῆναι τὸν Ἐπαμεινώνδαν ὑπὸ Γρύλου· παραπλήσια* 622

δέ σφισίν ἐστι καὶ τὰ ἐν τῇ γραφῇ τῇ τὸ ἔργον ἐχούσῃ τὸ
ἐν Μαντινείᾳ. φαίνονται δὲ οἱ Μαντινεῖς Γρύλον μὲν
δημοσίᾳ τε θάψαντες, καὶ ἔνθα ἔπεσεν ἀναθέντες εἰκόνα
ἐπὶ στήλης ὡς ἀνδρὸς ἀρίστου τῶν συμμάχων· Μαχαι-
ρίωνα δὲ λόγῳ μὲν καὶ αὐτοὶ καὶ οἱ Λακεδαιμόνιοι λέγου-
σιν, ἔργῳ δὲ οὔτε ἐν Σπάρτῃ Μαχαιρίων ἐστὶν οὐδείς,
οὐ μὴν οὐδὲ παρὰ Μαντινεῦσιν, ὅτῳ γεγόνασιν ὡς
ἀνδρὶ ἀγαθῷ τιμαί. Ὡς δὲ ἐτέτρωτο ὁ Ἐπαμεινώνδας, 7
ἐκκομίζουσιν ἔτι ζῶντα ἐκ τῆς παρατάξεως αὐτόν. ὁ δὲ
τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι ἐταλαιπώρει
καὶ ἐς τοὺς μαχομένους ἀφέωρα, ὁπόθεν δὲ ἀπέβλεπεν
ἐς αὐτοὺς ὠνόμαζον Σκοπὴν οἱ ἔπειτα, λαβόντος δὲ ἴσον
τοῦ ἀγῶνος πέρας, οὕτω τὴν χεῖρα ἀπέσχεν ἀπὸ τοῦ
τραύματος, καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν ἔθαψαν ἔνθα
σφίσιν ἐγένετο ἡ συμβολή. 5. Τῷ τάφῳ δὲ κίων τε ἐφέ- 8
στηκε καὶ ἀσπὶς ἐπ᾽ αὐτῷ δράκοντα ἔχουσα ἐπειργασμέ-
νον. ὁ μὲν δὴ δράκων ἐθέλει σημαίνειν γένους τῶν
Σπαρτῶν καλουμένων εἶναι τὸν Ἐπαμεινώνδαν. στῆλαι
δέ εἰσιν ἐπὶ τῷ μνήματι, ἡ μὲν ἀρχαία καὶ ἐπίγραμμα
ἔχουσα Βοιώτιον, τὴν δὲ αὐτήν τε ἀνέθηκεν Ἀδριανὸς
βασιλεὺς καὶ ἐποίησε τὸ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῇ. τὸν δὲ 9
Ἐπαμεινώνδαν τῶν παρ᾽ Ἕλλησι στρατηγίας ἕνεκα εὐδο-
κιμησάντων μάλιστα ἐπαινέσαι τις ἄν, ἢ ὕστερόν γε οὐ-
δενὸς ποιήσαιτο. Λακεδαιμονίων μὲν γὰρ καὶ Ἀθηναίων
τοῖς ἡγεμόσι πόλεών τε ἀξίωμα ὑπῆρχεν ἐκ παλαιοῦ καὶ
οἱ στρατιῶται φρονήματος τὸ ἴσον ἔχοντες· Θηβαίους
δὲ Ἐπαμεινώνδας ἀθύμους τὰς γνώμας καὶ ἄλλων ἀκού-
ειν εἰωθότας ἀπέφηνεν ἐν οὐ πολλῷ πρωτεύοντας.

6. Ἐγεγόνει δὲ τῷ Ἐπαμεινώνδᾳ μαντεία πρότερον 10
ἔτι ἐκ Δελφῶν πέλαγος αὐτὸν φυλάσσεσθαι. καὶ ὁ μὲν
τριήρους τε μὴ ἐπιβῆναι μηδὲ ἐπὶ νεὼς φορτίδος πλεῦσαι
623 δεῖμα εἶχε· τῷ δὲ ἄρα Πέλαγος δρυμὸν καὶ οὐ θάλασσαν

προέλεγεν ὁ δαίμων. χωρία δὲ τὰ ὁμώνυμα καὶ Ἀννίβαν ὕστερον τὸν Καρχηδόνιον καὶ πρότερον ἔτι Ἀθηναίους
11 ἠπάτησεν. Ἀννίβᾳ γὰρ χρησμὸς ἀφίκετο παρὰ Ἄμμωνος ὡς ἀποθανὼν γῇ καλυφθήσεται τῇ Λιβύσσῃ. ὁ μὲν δὴ ἤλπιζεν ἀρχήν τε τὴν Ῥωμαίων καθαιρήσειν καὶ οἴκαδε ἐς τὴν Λιβύην ἐπανελθὼν τελευτήσειν γήρᾳ τὸν βίον. Φλαμινίου δὲ τοῦ Ῥωμαίου ποιουμένου σπουδὴν ἑλεῖν ζῶντα αὐτόν, ἀφικόμενος παρὰ Προυσίαν ἱκέτης καὶ ἀπωσθεὶς ὑπ' αὐτοῦ ἀνεπήδα τε ἐπὶ τὸν ἵππον, καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον. προελθόντι δέ οἱ στάδια οὐ πολλὰ πυρετός τε ἀπὸ τοῦ τραύματος καὶ ἡ τελευτὴ τριταίῳ συνέβη· τὸ δὲ χωρίον ἔνθα
12 ἀπέθανε καλοῦσιν οἱ Νικομηδεῖς Λίβυσσαν. Ἀθηναίοις δὲ μάντευμα ἐκ Δωδώνης Σικελίαν ἦλθεν οἰκίζειν· ἡ δὲ οὐ πόρρω τῆς πόλεως ἡ Σικελία λόφος ἐστὶν οὐ μέγας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον ἔς τε ὑπερορίους στρατείας προήχθησαν καὶ ἐς τὸν Συρακοσίων πόλεμον. ἔχοι δ' ἂν τις καὶ πλέονα τοῖς εἰρημένοις ἐοικότα ἄλλα ἐξευρεῖν.

XII. Τοῦ τάφου δὲ τοῦ Ἐπαμεινώνδα μάλιστά που σταδίου μῆκος Διὸς ἀφέστηκεν ἱερὸν ἐπίκλησιν Χάρμωνος. Ἀρκάδων δὲ ἐν τοῖς δρυμοῖς εἰσὶν αἱ δρῦς διάφοροι, καὶ τὰς μὲν πλατυφύλλους αὐτῶν, τὰς δὲ φηγοὺς καλοῦσιν· αἱ τρίται δὲ ἀραιὸν τὸν φλοιὸν καὶ οὕτω δή τι παρέχονται κοῦφον, ὥστε ἀπ' αὐτοῦ καὶ ἐν θαλάσσῃ ποιοῦνται σημεῖα ἀγκύραις καὶ δικτύοις· ταύτης τῆς δρυὸς τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ ὁ τὰ ἐλεγεῖα ποι- 624
ήσας φελλὸν ὀνομάζουσιν.

2 Ἐς Μεθύδριον δὲ πόλιν μὲν οὐκέτι, κώμην δὲ ἐς τὸ Μεγαλοπολιτικὸν συντελοῦσαν, ἐς τοῦτό ἐστι τὸ Μεθύδριον ἐκ Μαντινείας ὁδός. 2. προελθόντι δὲ σταδίους τριάκοντα πεδίον τε ὀνομαζόμενον Ἀλκιμέδων καὶ ὑπὲρ

τοῦ πεδίου τὸ ὄρος ἐστὶν ἡ Ὀστρακίνα, ἐν δὲ αὐτῷ σπήλαιον, ἔνθα ᾤκησεν Ἀλκιμέδων, ἀνὴρ τῶν καλουμένων ἡρώων. τούτου τοῦ Ἀλκιμέδοντος θυγατρὶ συγγενέσθαι 3
Φιαλοῖ, ὡς Φιγαλεῖς λέγουσιν, Ἡρακλέα. ὡς δὲ ᾔσθετο αὐτὴν ὁ Ἀλκιμέδων τεκοῦσαν, ἐκτίθησιν ἀπολουμένην ἐς τὸ ὄρος, σὺν δὲ αὐτῇ καὶ τὸν παῖδα ὃν ἔτεκε· καλοῦσι δὲ Αἰχμαγόραν αὐτὸν οἱ Ἀρκάδες. ἀνακλαίοντος δὲ ὡς ἐξέκειτο τοῦ παιδός, κίσσα ἡ ὄρνις ἐπήκουέ τε ὀδυρομένου καὶ ἀπεμιμεῖτο τὰ κλαύματα· καί πως ὁ Ἡρακλῆς 4
ἐρχόμενος τὴν ὁδὸν ταύτην ἐπήκουσε τῆς κίσσης, καί, ἐνόμισε γὰρ παιδὸς εἶναι καὶ οὐκ ὄρνιθος τὸν κλαυθμόν, ἐτράπετο εὐθὺ τῆς φωνῆς· γνωρίσας δὲ αὐτήν τε ἔλυσεν ἀπὸ τῶν δεσμῶν καὶ τὸν παῖδα ἀνεσώσατο. ἐξ ἐκείνου δὲ ἡ πλησίον πηγὴ Κίσσα ἀπὸ τῆς ὄρνιθος ὀνομάζεται.
3. Τεσσαράκοντα δὲ ἀπὸ τῆς πηγῆς στάδια ἀφέστηκε Πετροσάκα καλούμενον χωρίον· Μεγαλοπολιτῶν δὲ καὶ Μαντινέων ὅρος ἐστὶν ἡ Πετροσάκα.

Ἐπὶ δὲ ὁδοῖς ταῖς κατειλεγμέναις δύο ἐς Ὀρχομενόν 5
εἰσιν ἄλλαι, καὶ τῇ μέν ἐστι καλούμενον Λάδα στάδιον, ἐς ὃ ἐποιεῖτο Λάδας μελέτην δρόμου, καὶ παρ' αὐτὸ ἱερὸν Ἀρτέμιδος, καὶ ἐν δεξιᾷ τῆς ὁδοῦ γῆς χῶμα ὑψηλόν· Πηνελόπης δὲ εἶναι τάφον φασίν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὴν ποιήσει τῇ Θεσπρωτίδι ὀνομαζομένῃ. Ἐν ταύτῃ 6
μέν γέ ἐστι τῇ ποιήσει ἐπανήκοντι ἐκ Τροίας Ὀδυσσεῖ τεκεῖν τὴν Πηνελόπην Πτολιπόρθην παῖδα· Μαντινέων δὲ ὁ ἐς αὐτὴν λόγος Πηνελόπην φησὶν ὑπὸ Ὀδυσσέως καταγνωσθεῖσαν ὡς ἐπισπαστοὺς ἐσαγάγοιτο ἐς τὸν οἶκον, καὶ ἀποπεμφθεῖσαν ὑπ' αὐτοῦ, τὸ μὲν παραυτίκα ἐς Λακεδαίμονα ἀπελθεῖν, χρόνῳ δὲ ὕστερον ἐκ τῆς Σπάρτης ἐς Μαντίνειαν μετοικῆσαι, καί οἱ τοῦ βίου τὴν τελευτὴν ἐνταῦθα συμβῆναι. 4. Τοῦ τάφου δὲ ἔχεται τού- 7
625 του πεδίου οὐ μέγα, καὶ ὄρος ἐστὶν ἐν τῷ πεδίῳ, τὰ

ἐρείπια ἔτι Μαντινείας ἔχον τῆς ἀρχαίας· καλεῖται δὲ τὸ χωρίον τοῦτο ἐφ' ἡμῶν Πτόλις. κατὰ δὲ τὸ πρὸς ἄρκτον αὐτῆς προελθόντι ὁδὸν οὐ μακρὰν Ἀλαλκομενείας ἐστὶ πηγή. τῆς Πτόλεως δὲ μετὰ σταδίους τριάκοντα κώμης τε ἐρείπια καλουμένης Μαιρᾶς, εἰ δὴ ἐνταῦθα καὶ μὴ ἐν τῇ Τεγεατῶν ἐτάφη· Τεγεάταις γὰρ τοῦ λόγου τὸ εἰκὸς καὶ οὐ Μαντινεῦσιν ἕπεται, Μαιρὰν τὴν Ἄτλαντος παρὰ σφίσι ταφῆναι. τάχα δ' ἂν καὶ ἀπόγονος τῆς Ἄτλαντος Μαιρᾶς ἑτέρα Μαιρὰ ἀφίκοιτο ἐς τὴν Μαντινικήν.

8 5. Λείπεται δὲ ἔτι τῶν ὁδῶν ἡ ἐς Ὀρχομενόν, καθ' ἥντινα Ἀγχισία τε ὄρος καὶ Ἀγχίσου μνῆμά ἐστιν ὑπὸ τοῦ ὄρους τοῖς ποσίν. ὡς γὰρ δὴ ἐκομίζετο ἐς Σικελίαν ὁ Αἰνείας, ἔσχε ταῖς ναυσὶν ἐς τὴν Λακωνικήν, καὶ πόλεών τε Ἀφροδισιάδος καὶ Ἤτιδος ἐγένετο οἰκιστής, καὶ τὸν πατέρα Ἀγχίσην κατὰ πρόφασιν δή τινα παραγενόμενον ἐς τοῦτο τὸ χωρίον καὶ αὐτόθι τοῦ βίου τῇ τελευτῇ χρησάμενον ἔθαψεν ἐνταῦθα· καὶ τὸ ὄρος τοῦτο ἀπὸ τοῦ
9 Ἀγχίσου καλοῦσιν Ἀγχισίαν. τούτου δὲ συντελοῦσιν ἐς πίστιν Αἰολέων οἱ Ἴλιον ἐφ' ἡμῶν ἔχοντες, οὐδαμοῦ τῆς σφετέρας ἀποφαίνοντες μνῆμα Ἀγχίσου. πρὸς δὲ τοῦ Ἀγχίσου τῷ τάφῳ ἐρείπιά ἐστιν Ἀφροδίτης ἱεροῦ, καὶ Μαντινέων ὅροι πρὸς Ὀρχομενίους καὶ ἐν ταῖς Ἀγχισίαις εἰσίν.

XIII. Ἐν δὲ τῇ χώρᾳ τῇ Ὀρχομενίων, ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἀπὸ Ἀγχισιῶν, ἐν ὑπτίῳ τοῦ ὄρους τὸ ἱερόν ἐστι τῆς Ὑμνίας Ἀρτέμιδος· μέτεστι δὲ αὐτοῦ καὶ Μαντινεῦσι *** καὶ ἱέρειαν καὶ ἄνδρα ἱερέα. τούτοις οὐ μό- 626
νον τὰ ἐς τὰς μίξεις ἀλλὰ καὶ ἐς τὰ ἄλλα ἁγιστεύειν καθέστηκε τὸν χρόνον τοῦ βίου πάντα, καὶ οὔτε λουτρὰ οὔτε δίαιτα λοιπὴ κατὰ τὰ αὐτὰ σφίσι καθὰ καὶ τοῖς πολλοῖς ἐστίν, οὐδὲ ἐς οἰκίαν παρίασιν ἀνδρὸς ἰδιώτου. τοιαῦτα οἶδα ἕτερα ἐνιαυτὸν καὶ οὐ πρόσω Ἐφεσίων ἐπιτηδευόν-

τας τοὺς τῇ Ἀρτέμιδι ἱστιάτορας τῇ Ἐφεσίᾳ γινομένους,
καλουμένους δὲ ὑπὸ τῶν πολιτῶν Ἐσσῆνας. τῇ δὲ Ἀρτέ-
μιδι τῇ Ὑμνίᾳ καὶ ἑορτὴν ἄγουσιν ἐπέτειον.

2. Ὀρχομενίοις δὲ ἡ προτέρα πόλις ἐπὶ ὄρους ἦν 2
ἄκρᾳ τῇ κορυφῇ, καὶ ἀγορᾶς τε καὶ τειχῶν ἐρείπια λεί-
πεται· τὴν δὲ ἐφ' ἡμῶν πόλιν ὑπὸ τὸν περίβολον οἰκοῦσι
τοῦ ἀρχαίου τείχους. θέας δὲ αὐτόθι ἄξια πηγή τε, ἀφ'
ἧς ὑδρεύονται, καὶ Ποσειδῶνός ἐστι καὶ Ἀφροδίτης ἱερά·
λίθου δὲ τὰ ἀγάλματα. πρὸς δὲ τῇ πόλει ξόανόν ἐστιν
Ἀρτέμιδος· ἵδρυται δὲ ἐν κέδρῳ μεγάλῃ, καὶ τὴν θεὸν
ὀνομάζουσιν ἀπὸ τῆς κέδρου Κεδρεᾶτιν. Σωροὶ δὲ ὑπὸ 3
τὴν πόλιν λίθων εἰσὶ διεστηκότες ἀπὸ ἀλλήλων, ἐπενή-
θησαν δὲ ἐν πολέμῳ πεσοῦσιν ἀνδράσιν. οἵς τισὶ δὲ Πε-
λοποννησίων ἐπολέμησαν τῶν ἄλλων ἢ Ἀρκάδων αὐτῶν,
οὔτε ἐπιγράμματα ἐπὶ τοῖς τάφοις ἐσήμαινεν οὔτε οἱ
Ὀρχομένιοι μνημονεύουσιν.

3. Ἔστι δὲ ἀπαντικρὺ τῆς πόλεως ὄρος Τραχύ. τὸ δὲ 4
ὕδωρ τὸ ἐκ τοῦ θεοῦ διὰ χαράδρας ῥέον κοίλης μεταξὺ
τῆς τε πόλεως καὶ τοῦ Τραχέος ὄρους κάτεισιν ἐς ἄλλο
Ὀρχομένιον πεδίον. τὸ δὲ πεδίον τοῦτο μεγέθει μὲν
μέγα, τὰ πλείω δέ ἐστιν αὐτοῦ λίμνη. Ἰόντι δὲ ἐξ Ὀρχο-
μενοῦ καὶ σταδίους προελθόντι ὅσον τρεῖς ἡ μὲν εὐθεῖα
ἐπὶ πόλιν Καφυὰν ἄγει, παρά τε αὐτὴν τὴν χαράδραν,
627 καὶ μετὰ ταύτην ἐν ἀριστερᾷ παρὰ τὸ ὕδωρ τὸ λιμνάζον·
ἡ δὲ ἑτέρα τῶν ὁδῶν διαβάντι τὸ ὕδωρ τὸ διὰ τῆς χαρά-
δρας ῥέον ὑπὸ τὸ Τραχύ ἐστιν ὄρος. 4. Κατὰ δὲ τὴν ὁδὸν 5
ταύτην πρῶτον μὲν μνῆμά ἐστιν Ἀριστοκράτους, ὃς βίᾳ
ποτὲ ᾔσχυνε τὴν ἱερουμένην τῇ Ὑμνίᾳ θεῷ παρθένον.
Μετὰ δὲ τοῦ Ἀριστοκράτους τὸν τάφον πηγαί τέ εἰσι
καλούμεναι Τενεῖαι, καὶ ἀπέχει τῶν πηγῶν στάδια ὡς
ἑπτὰ Ἄμιλος χωρίον· πόλιν δὲ τὴν Ἄμιλόν ποτε εἶναι
λέγουσι. 5. Κατὰ τοῦτο αὖθις τὸ χωρίον δίχα ἡ ὁδὸς τέμ-

νεται, καὶ ἡ μὲν ἐπὶ Στύμφηλον, ἡ δὲ ἐς Φενεὸν αὐτῶν
6 ἄγει. κατὰ δὲ τὴν ἐς Φενεὸν ἐκδέξεταί σε ὄρος· ἐν δὲ τῷ
ὄρει τούτῳ συνάπτουσιν Ὀρχομενίων καὶ Φενεατῶν τε
καὶ Καφυατῶν ὅροι τῆς γῆς. ἀνατείνει δὲ ὑπὲρ τοὺς
ὅρους κρημνὸς ὑψηλός· πέτραν Καφυατικὴν ὀνομάζουσι
τὸν κρημνόν. Μετὰ δὲ τοὺς ὅρους τῶν κατειλεγμένων
πόλεων φάραγξ τε ὑπόκειται, καὶ φέρει δι᾽ αὐτῆς ἡ ἐς
Φενεὸν ὁδός. κατὰ μέσην δέ που μάλιστα τὴν φάραγγα
ὕδωρ ἄνεισιν ἐκ πηγῆς, καὶ ἐπὶ τῷ πέρατι τῆς φάραγγος
Καρυαὶ χωρίον.

XIV. Φενεατῶν δὲ τὸ πεδίον κεῖται μὲν ὑπὸ ταῖς
Καρυαῖς, πλεονάσαντος δέ ποτε αὐτῷ τοῦ ὕδατος κατα-
κλυσθῆναί φασι τὴν ἀρχαίαν Φενεόν, ὥστε καὶ ἐφ᾽ ἡμῶν
σημεῖα ἐλείπετο ἐπὶ τῶν ὀρῶν ἐς ἃ ἐπαναβῆναι τὸ ὕδωρ
λέγουσι. Καρυῶν δὲ στάδια πέντε ἀφέστηκεν ἥ τε Ὄρυ-
ξις καλουμένη καὶ ἕτερον ὄρος Σκίαθις· ὑφ᾽ ἑκατέρῳ δέ
ἐστι τῷ ὄρει βάραθρον τὸ ὕδωρ καταδεχόμενον τὸ ἐκ τοῦ
2 πεδίου. 2. Τὰ δὲ βάραθρα οἱ Φενεᾶται ταῦτά φασιν εἶναι
χειροποίητα, ποιῆσαι δὲ αὐτὰ Ἡρακλέα τηνικαῦτα ἐν
Φενεῷ παρὰ Λαονόμῃ τῇ Ἀμφιτρύωνος μητρὶ οἰκοῦντα·
γενέσθαι γὰρ Ἀμφιτρύωνα ἐκ Λαονόμης Ἀλκαίῳ τῆς
Γουνέως, γυναικὸς Φενεάτιδος, καὶ οὐκ ἐκ τῆς Πέλοπος
Λυσιδίκης. Εἰ δὲ Ἡρακλῆς ἀληθεῖ λόγῳ παρὰ τοὺς Φε- 628
νεάτας μετῴκησε, πείθοιτο ἄν τις διωχθέντα ἐκ Τίρυν-
θος ὑπὸ Εὐρυσθέως αὐτὸν οὐκ αὐτίκα ἐς Θήβας, πρό-
3 τερον δὲ ἐς Φενεὸν ἀφικέσθαι. 3. Διὰ μέσου δὲ ὤρυξεν
Ἡρακλῆς τοῦ Φενεατῶν πεδίου ῥεῦμα εἶναι τῷ ποταμῷ
τῷ Ὀλβίῳ, ὅν τινα Ἀροάνιον Ἀρκάδων καλοῦσιν ἕτεροι,
καὶ οὐκ Ὄλβιον. μῆκος μὲν τοῦ ὀρύγματος στάδιοι πεν-
τήκοντά εἰσι· βάθος δέ, ὅσον μὴ πεπτωκός ἐστιν αὐτοῦ,
καὶ ἐς τριάκοντα καθήκει πόδας. Οὐ μὴν ταύτῃ γε ἔτι
κάτεισιν ὁ ποταμός, ἀλλὰ ἐς τὸ ῥεῦμα ἀπεχώρησεν αὖθις

τὸ ἀρχαῖον, καταλιπὼν τὸ ἔλυτρον τοῦ Ἡρακλέους τὸ
ἔργον.
4. Τῶν βαράθρων δὲ τῶν ἐν τοῖς εἰρημένοις πεποι- 4
ημένων ὄρεσιν ἀπωτέρω πεντήκοντά που σταδίοις ἐστὶν
ἡ πόλις· οἰκιστὴν δὲ οἱ Φενεᾶται λέγουσιν ἄνδρα αὐτό-
χθονα εἶναι Φενεόν. Ἔστι δέ σφισιν ἀκρόπολις ἀπότομος
πανταχόθεν, τὰ μὲν πολλὰ ἔχουσα οὕτως, ὀλίγα δὲ αὐτῆς
καὶ ὠχυρώσαντο ὑπὲρ ἀσφαλείας. ἐνταῦθα ἐν τῇ ἀκρο-
πόλει ναός ἐστιν Ἀθηνᾶς ἐπίκλησιν Τριτωνίας· ἐρείπια
δὲ ἐλείπετο αὐτοῦ μόνα. καὶ Ποσειδῶν χαλκοῦς ἕστηκεν 5
ἐπωνυμίαν Ἵππιος· ἀναθεῖναι δὲ τὸ ἄγαλμα τοῦ Ποσει-
δῶνος Ὀδυσσέα ἔφασαν· ἀπολέσθαι γὰρ ἵππους τῷ
Ὀδυσσεῖ, καὶ αὐτὸν γῆν τὴν Ἑλλάδα κατὰ ζήτησιν ἐπι-
όντα τῶν ἵππων ἱδρύσασθαι μὲν ἱερὸν ἐνταῦθα Ἀρτέμι-
δος, καὶ Εὑρίππαν ὀνομάσαι τὴν θεόν, ἔνθα τῆς Φενεα-
τικῆς χώρας εὗρε τὰς ἵππους, ἀναθεῖναι δὲ καὶ τοῦ
Ποσειδῶνος τὸ ἄγαλμα τοῦ Ἱππίου. Τῷ δὲ Ὀδυσσεῖ λέ- 6
γουσιν εὑρόντι τὰς ἵππους γενέσθαι οἱ κατὰ γνώμην ἐν
χώρᾳ τῇ Φενεατῶν ἔχειν ἵππους, καθάπερ γε καὶ τὰς
βοῦς ἐν τῇ ἠπείρῳ τῆς Ἰθάκης ἀπαντικρὺ τρέφειν αὐτόν.
καί μοι καὶ γράμματα οἱ Φενεᾶται παρείχοντο ἐπὶ τοῦ
ἀγάλματος γεγραμμένα τῷ βάθρῳ, τοῦ Ὀδυσσέως δή τι
πρόσταγμα τοῖς ποιμαίνουσι τὰς ἵππους. 5. Τὰ μὲν δὴ 7
ἄλλα ἑπομένοις ἡμῖν τῷ Φενεατῶν λόγῳ εἰκὸς προσέσται·
τὸ δὲ ἄγαλμα Ὀδυσσέα ἀναθεῖναι τὸ χαλκοῦν οὐκ ἔχω
πείθεσθαί σφισιν· οὐ γάρ πω τότε τοῦ χαλκοῦ τὰ ἀγάλ-
ματα διὰ παντὸς ἠπίσταντο ἐργάσασθαι καθάπερ ἐσθῆτα
ἐξυφαίνοντες. τρόπον δὲ ὅστις ἦν αὐτοῖς ἐς τὰ χαλκᾶ
629 ἐργασίας, ἔδειξεν ἤδη μοι τοῦ ἐς Σπαρτιάτας λόγου τὰ
ἐπὶ τοῦ ἀγάλματος τοῦ Ὑπάτου Διός. Διέχεαν δὲ χαλκὸν 8
πρῶτοι καὶ ἀγάλματα ἐχωνεύσαντο Ῥοῖκός τε Φιλαίου
καὶ Θεόδωρος Τηλεκλέους Σάμιοι. Θεοδώρου δὲ ἔργον

ἣν καὶ ἡ ἐπὶ τοῦ λίθου τῆς σμαράγδου σφραγίς, ἣν Πο-
λυκράτης ὁ Σάμου τυραννήσας ἐφόρει τε τὰ μάλιστα καὶ
ἐπ' αὐτῇ περισσῶς δή τι ἠγάλλετο.
9 6. Φενεατῶν δὲ ἐκ τῆς ἀκροπόλεως καταβαίνοντι
ἔστι μὲν στάδιον, ἔστι δὲ ἐπὶ λόφου μνῆμα Ἰφικλέους
ἀδελφοῦ τε Ἡρακλέους καὶ Ἰολάου πατρός. Ἰόλαον μὲν
δὴ τὰ πολλὰ Ἡρακλεῖ συγκάμνειν λέγουσιν Ἕλληνες·
Ἰφικλῆς δὲ ὁ Ἰολάου πατήρ, ἡνίκα ἐμαχέσατο Ἡρακλῆς
πρὸς Ἠλείους τε καὶ Αὐγέαν τὴν προτέραν μάχην, τότε
ὑπὸ τῶν παίδων ἐτρώθη τῶν Ἄκτορος, καλουμένων δὲ
ἀπὸ Μολίνης τῆς μητρός· καὶ ἤδη κάμνοντα κομίζουσιν
οἱ προσήκοντες ἐς Φενεόν. ἐνταῦθα ἀνὴρ Φενεάτης αὐ-
τὸν Βουφάγος καὶ ἡ τοῦ Βουφάγου γυνὴ Πρώμνη περι-
εῖπόν τε εὖ καὶ ἀποθανόντα ἐκ τοῦ τραύματος ἔθαψαν.
10 Ἰφικλεῖ μὲν δὴ καὶ ἐς τόδε ἔτι ἐναγίζουσιν ὡς ἥρωϊ,
7. θεῶν δὲ τιμῶσιν Ἑρμῆν Φενεᾶται μάλιστα, καὶ ἀγῶνα
ἄγουσιν Ἕρμαια, καὶ ναός ἐστιν Ἑρμοῦ σφίσι καὶ ἄγαλμα
λίθου· τοῦτο ἐποίησεν ἀνὴρ Ἀθηναῖος, Εὔχειρ Εὐβου-
λίδου. ὄπισθεν δέ ἐστι τοῦ ναοῦ τάφος Μυρτίλου. τοῦ-
τον Ἑρμοῦ παῖδα εἶναι Μυρτίλον λέγουσιν Ἕλληνες,
ἡνιοχεῖν δὲ αὐτὸν Οἰνομάῳ· καὶ ὁπότε ἀφίκοιτό τις μνώ-
μενος τοῦ Οἰνομάου τὴν θυγατέρα, ὁ μὲν ἠπείγετο ὁ
Μυρτίλος σὺν τέχνῃ τοῦ Οἰνομάου τὰς ἵππους, ὁ δὲ ἐν
τῷ δρόμῳ τὸν μνηστῆρα, ὁπότε ἐγγὺς γένοιτο, κατη-
11 κόντιζεν. Ἱπποδαμείας δὲ ἤρα μὲν καὶ αὐτὸς ὁ Μυρτίλος,
ἐς δὲ τὸν ἀγῶνα ἀτόλμως ἔχων ὑπεῖκε καὶ ἡνιόχει τῷ
Οἰνομάῳ. τέλος δὲ καὶ ἀναφανῆναι τοῦ Οἰνομάου προ-
δότην φασὶν αὐτὸν ὑπαχθέντα ὅρκοις, ὡς οἱ νύκτα ὁ
Πέλοψ μίαν Ἱπποδαμείᾳ συγγενέσθαι παρήσει. Ἀναμι-
μνήσκοντα οὖν τῶν ὅρκων ὁ Πέλοψ ἐξέβαλεν ἐκ τῆς νεώς·
Φενεᾶται δὲ τοῦ Μυρτίλου τὸν νεκρὸν ἐκβληθέντα ὑπὸ
τοῦ κλύδωνος λέγουσιν ἀνελόμενοι θάψαι, καὶ νύκτωρ

630 κατὰ ἔτος ἐναγίζουσιν αὐτῷ. Ἔστι δὲ ὁ Πέλοψ δῆλος οὐ 12
πολλήν τινα παραπλεύσας θάλασσαν, ἀλλὰ ὅσον ἀπὸ τοῦ Ἀλφειοῦ τῶν ἐκβολῶν ἐς τὸ ἐπίνειον τὸ Ἠλείων. οὐκ ἂν οὖν τό γε πέλαγος τὸ Μυρτῷον ἀπὸ Μυρτίλου τοῦ Ἑρμοῦ φαίνοιτο κεκλημένον, ἀρχόμενόν τε ἀπὸ Εὐβοίας καὶ παρ' Ἑλένην ἔρημον νῆσον καθῆκον ἐς τὸ Αἰγαῖον· ἀλλά μοι δοκοῦσιν Εὐβοέων οἱ τὰ ἀρχαῖα μνημονεύοντες εἰκότα εἰρηκέναι λέγοντες ἀπὸ γυναικὸς Μυρτοῦς τῷ πελάγει γεγονέναι τὸ ὄνομα τῷ Μυρτῴῳ.

XV. Φενεάταις δὲ καὶ Δήμητρός ἐστιν ἱερὸν ἐπίκλησιν Ἐλευσινίας, καὶ ἄγουσι τῇ θεῷ τελετήν, τὰ Ἐλευσῖνι δρώμενα καὶ παρὰ σφίσι τὰ αὐτὰ φάσκοντες καθεστηκέναι· ἀφικέσθαι γὰρ αὐτοῖς Ναὸν κατὰ μάντευμα ἐκ Δελφῶν, τρίτον δὲ ἀπόγονον Εὐμόλπου τοῦτον εἶναι τὸν Ναόν. Παρὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν πεποίηται Πέτρωμα καλούμενον, λίθοι δύο ἡρμοσμένοι πρὸς ἀλλήλους μεγάλοι. ἄγοντες δὲ παρὰ ἔτος ἥντινα τελετὴν μεί- 2
ζονα ὀνομάζουσι, τοὺς λίθους τούτους τηνικαῦτα ἀνοίγουσι, καὶ λαβόντες γράμματα ἐξ αὐτῶν ἔχοντα τὰ ἐς τὴν τελετὴν καὶ ἀναγνόντες ἐς ἐπήκοον τῶν μυστῶν κατέθεντο ἐν νυκτὶ αὖθις τῇ αὐτῇ. Φενεατῶν δὲ οἶδα τοὺς πολλοὺς καὶ ὀμνύντας ὑπὲρ μεγίστων τῷ Πετρώματι. καὶ ἐπίθημα ἐπ' αὐτῷ περιφερές ἐστιν, ἔχον ἐντὸς Δή- 3
μητρος πρόσωπον Κιδαρίας· τοῦτο ὁ ἱερεὺς περιθέμενος τὸ πρόσωπον ἐν τῇ μείζονι καλουμένῃ τελετῇ ῥάβδοις κατὰ λόγον δή τινα τοὺς ὑποχθονίους παίει. Φενεατῶν δέ ἐστι λόγος, καὶ πρὶν ἢ Ναόν, ἀφικέσθαι καὶ ἐνταῦθα Δήμητρα πλανωμένην· ὅσοι δὲ Φενεατῶν οἴκῳ τε καὶ ξενίοις ἐδέξαντο αὐτήν, τούτοις τὰ ὄσπρια ἡ θεὸς τὰ ἄλλα, κύαμον δὲ οὐκ ἔδωκέ σφισι. Κύαμον μὲν οὖν ἐφ' 4
ὅτῳ μὴ καθαρὸν εἶναι νομίζουσιν ὄσπριον, ἔστιν ἱερὸς
631 ἐπ' αὐτῷ λόγος· οἱ δὲ τῷ Φενεατῶν λόγῳ δεξάμενοι τὴν

θεόν, Τρισαύλης καὶ Δαμιθάλης, ἐποιήσαντο μὲν Δήμητρος ναὸν Θεσμίας ὑπὸ τῷ ὄρει τῇ Κυλλήνῃ, κατεστήσαντο δὲ αὐτῇ καὶ τελετήν, ἥντινα καὶ νῦν ἄγουσιν. ὁ δὲ ναὸς οὗτος τῆς Θεσμίας σταδίους πέντε μάλιστά που καὶ δέκα ἀπωτέρω τῆς πόλεως.

5 2. Ἐς δὲ Πελλήνην ἐκ Φενεοῦ καὶ ἐς Αἴγειραν ἰόντι Ἀχαιῶν πόλιν, πέντε που προεληλυθότι καὶ δέκα σταδίους Ἀπόλλωνός ἐστι Πυθίου ναός· ἐρείπια δὲ ἐλείπετο αὐτοῦ μόνα καὶ βωμὸς μέγας λίθου λευκοῦ. ἐνταῦθα ἔτι καὶ νῦν Ἀπόλλωνι Φενεᾶται καὶ Ἀρτέμιδι θύουσιν, Ἡρακλέα ἑλόντα Ἦλιν τὸ ἱερὸν λέγοντες ποιῆσαι. 3. Ἔστι δὲ αὐτόθι καὶ ἡρώων μνήματα, ὅσοι σὺν Ἡρακλεῖ στρατείας ἐπὶ Ἠλείους μετασχόντες οὐκ ἀπεσώθησαν οἴκαδε ἐκ τῆς
6 μάχης. τέθαπται δὲ Τελαμὼν μὲν ἐγγύτατα τοῦ ποταμοῦ τοῦ Ἀροανίου, ἀπωτέρω μικρὸν ᾗ ἔστι τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, Χαλκώδων δὲ οὐ πόρρω κρήνης καλουμένης Οἰνόης. τὸν μὲν δὴ Ἐλεφήνορος τοῦ Εὐβοεῦσιν ἐς Ἴλιον ἡγησαμένου καὶ τὸν Αἴαντός τε καὶ Τεύκρου, τούτων μὲν τοὺς πατέρας οὐκ ἀποδέξαιτο ἄν τις ἐν τούτῳ πεσεῖν τῷ ἀγῶνι. πῶς μὲν γὰρ ἂν συνεπελάβετο Ἡρακλεῖ τοῦ ἔργου Χαλκώδων, ὃν πρότερον ἔτι ἀποκτεῖναι Ἀμφιτρύων καὶ μαρτυρεῖται καὶ πιστεύειν ἄξιά ἐστιν ἐν Θή-
7 βαις; πῶς δὲ Τεῦκρος ᾤκισεν ἂν Σαλαμῖνα ἐν Κύπρῳ πόλιν μηδενός, ὡς ἀνέστρεψεν ἐκ Τροίας, ἐκβαλόντος ἐκ τῆς οἰκείας; τίς δ' ἂν ἐξήλασεν ἄλλος πλὴν ὁ Τελαμὼν αὐτόν; δῆλα οὖν ἐστι Χαλκώδοντα οὐ τὸν ἐξ Εὐβοίας καὶ Τελαμῶνα οὐ τὸν Αἰγινήτην ἐπὶ Ἠλείους Ἡρακλεῖ μετεσχηκέναι τῆς στρατείας· ὁμώνυμοι δὲ ἐπιφανέσιν ἄνδρες ἀφανέστεροι καὶ ἐφ' ἡμῶν ἔτι καὶ τὸν ἅπαντα ἐγίνοντο ὁμοίως χρόνον.

8 4. Φενεάταις δὲ πρὸς τὸ Ἀχαϊκὸν τὸ ὅμορον οὐ καθ' ἓν ὅροι τῆς γῆς εἰσίν, ἀλλὰ πρὸς μὲν Πελλήνην ὁ καλού- 632

μενος Πωρίνας, πρὸς δὲ τὴν Αἰγειρᾶτιν τὸ ἐπ' Ἄρτεμιν. Ἐν δὲ αὐτῶν Φενεατῶν τῇ χώρᾳ μετὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Πυθίου προήξεις τε οὐκ ἐπὶ πολὺ καὶ ἐντὸς ἔσῃ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ ὄρος ἀγούσης τὴν Κρᾶθιν. ἐν τούτῳ τῷ ὄρει τοῦ ποταμοῦ τῆς Κράθιδός εἰσιν αἱ πηγαί· ῥεῖ δὲ ἐς θάλασσαν παρὰ Αἰγάς, ἔρημον τὰ ἐπ' ἐμοῦ χωρίον, τὰ δὲ παλαιότερα Ἀχαιῶν πόλιν. Ἀπὸ τούτου δὲ καλεῖται τοῦ Κράθιδος καὶ ἐν Ἰταλίᾳ ποταμὸς ἐν γῇ τῇ Βρεττίων. ἐν δὲ τῇ Κράθιδι τῷ ὄρει Πυρωνίας ἱερόν ἐστιν Ἀρτέμιδος· καὶ τὰ ἔτι ἀρχαιότερα παρὰ τῆς θεοῦ ταύτης ἐπήγοντο Ἀργεῖοι πῦρ ἐς τὰ Λερναῖα.

XVI. Ἐκ δὲ Φενεοῦ πρὸς ἥλιον ἰόντι ἀνίσχοντα ὄρους
ἐστὶν ἄκρα Γερόντειον, καὶ κατὰ ταύτην ὁδός· Φενεάταις
δὲ ὅροι πρὸς Στυμφαλίους τῆς γῆς τοῦτό ἐστι τὸ Γερόν-
τειον. τοῦ Γεροντείου δὲ ἐν ἀριστερᾷ διὰ τῆς Φενεατικῆς
ὁδεύοντι ὄρη Φενεατῶν ἐστὶ Τρίκρηνα καλούμενα, καὶ
εἰσὶν αὐτόθι κρῆναι τρεῖς· ἐν ταύταις λοῦσαι τεχθέντα
Ἑρμῆν αἱ περὶ τὸ ὄρος λέγονται νύμφαι, καὶ ἐπὶ τούτῳ
τὰς πηγὰς ἱερὰς Ἑρμοῦ νομίζουσιν. 2. Τρικρήνων δὲ οὐ 2
πόρρω ἄλλο ἐστὶν ὄρος Σηπία, καὶ Αἰπύτῳ τῷ Ἐλάτου
λέγουσιν ἐνταῦθα γενέσθαι τὴν τελευτὴν ἐκ τοῦ ὄφεως,
καί οἱ καὶ τὸν τάφον ἐποίησαν αὐτόθι· οὐ γὰρ οἷά τε ἦν
σφίσιν ἐς τὸ πρόσω φέρειν τὸν νεκρόν. Τούτους οἱ Ἀρ-
κάδες τοὺς ὄφεις γίνεσθαι καὶ ἐφ' ἡμῶν ἔτι ἐν τῷ ὄρει
φασίν, οὐ μέντοι πολλούς γε, ἀλλὰ καὶ μάλιστα σπα-
νίους· ἅτε γὰρ τοῦ ἔτους τὸ πολὺ νειφομένου τοῦ ὄρους,
οἵ τε ἀποληφθέντες τῶν φωλεῶν ἐκτὸς ὑπὸ τῆς χιόνος
διαφθείρονται, καὶ ἢν πρότερον καταφυγόντες τύχωσιν
ἐς τὰ φωλεά, ὅμως ἡ χιὼν μέρος τι αὐτῶν ἀπόλλυσιν,
ἅτε καὶ ἐς αὐτὰ τὰ φωλεὰ καθικνουμένου τοῦ κρυμοῦ.
Τὸν δὲ τοῦ Αἰπύτου τάφον σπουδῇ μάλιστα ἐθεασάμην, 3
ὅτι ἐν τοῖς ἐς τοὺς Ἀρκάδας ἔπεσιν ἔσχεν Ὅμηρος λόγον

τοῦ Αἰπύτου μνήματος. ἔστι μὲν οὖν γῆς χῶμα οὐ μέγα, λίθου κρηπῖδι ἐν κύκλῳ περιεχόμενον· Ὁμήρῳ δέ, οὐ 633
γὰρ εἶδεν ἀξιολογώτερον μνῆμα, εἰκότως παρέξειν ἔμελλε θαῦμα, ἐπεὶ καὶ Ἡφαίστου τὸν χορὸν ἐπὶ τῇ Ἀχιλλέως ἀσπίδι εἰργασμένον εἰκάζει χορῷ Δαιδάλου ποιηθέντι,
4 σοφώτερα οὐ θεασάμενος. Τάφους δὲ ἀξίους θαύματος ἐπιστάμενος πολλοὺς δυοῖν ἐξ αὐτῶν ἐπιμνησθήσομαι, τοῦ τε ἐν Ἁλικαρνασῷ καὶ ἐν τῇ Ἑβραίων. ὁ μὲν δὴ ἐν Ἁλικαρνασῷ Μαυσώλῳ βασιλεύσαντι Ἁλικαρνασέων πεποίηται, μέγεθος δὲ οὕτω δή τί ἐστι μέγας καὶ ἐς κατασκευὴν περίβλεπτος τὴν πᾶσαν, ὥστε καὶ Ῥωμαῖοι μεγάλως δή τι αὐτὸν θαυμάζοντες τὰ παρὰ σφίσιν ἐπιφανῆ
5 μνήματα Μαυσώλεια ὀνομάζουσιν. Ἑβραίοις δὲ Ἑλένης γυναικὸς ἐπιχωρίας τάφος ἐστὶν ἐν πόλει Σολύμοις, ἣν ἐς ἔδαφος κατέβαλεν ὁ Ῥωμαίων βασιλεύς. μεμηχάνηται δὲ ἐν τῷ τάφῳ τὴν θύραν, ὁμοίως παντὶ οὖσαν τῷ τάφῳ λιθίνην, μὴ πρότερον διανοίγεσθαι, πρὶν ἂν ἡμέραν τε ἀεὶ καὶ ὥραν τὸ ἔτος ἐπαγάγῃ τὴν αὐτήν· τότε δὲ ὑπὸ μόνου τοῦ μηχανήματος ἀνοιχθεῖσα καὶ οὐ πολὺ ἐπισχοῦσα συνεκλείσθη δι' ὀλίγης. τοῦτον μὲν δὴ οὕτω· τὸν δὲ ἄλλον χρόνον ἀνοῖξαι πειρώμενος ἀνοίξαις μὲν οὐκ ἄν, κατάξεις δὲ αὐτὴν πρότερον βιαζόμενος.

XVII. Μετὰ δὲ τοῦ Αἰπύτου τὸν τάφον ὄρος τε ὑψηλότατον ὀρῶν τῶν ἐν Ἀρκαδίᾳ Κυλλήνη καὶ Ἑρμοῦ Κυλληνίου κατερριμμένος ναός ἐστιν ἐπὶ κορυφῆς τοῦ ὄρους. δῆλα δέ ἐστιν ἀπὸ Κυλλῆνος τοῦ Ἐλάτου τῷ τε ὄρει τὸ
2 ὄνομα καὶ ἡ ἐπίκλησις γεγενημένη τῷ θεῷ. τοῖς δὲ ἀνθρώποις τὸ ἀρχαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν ἐδυνήθημεν, τοσάδε ἦν ἀφ' ὧν τὰ ξόανα ἐποιοῦντο, ἔβενος, κυπάρισσος, αἱ κέδροι, τὰ δρύϊνα, ἡ μῖλαξ, ὁ λωτός· τῷ δὲ Ἑρμῇ τῷ Κυλληνίῳ τούτων μὲν ἀπὸ οὐδενός, θύου δὲ πεποιημένου τὸ ἄγαλμά ἐστιν. ὀκτὼ δὲ εἶναι ποδῶν

634 μάλιστα αὐτὸ εἰκάζομεν. 3. Παρέχεται δὲ καὶ θαῦμα τοι- 3
όνδε ἡ Κυλλήνη· κόσσυφοι γὰρ οἱ ὄρνιθες ὁλόλευκοί
εἰσιν ἐν αὐτῇ. οἱ δὲ ὑπὸ Βοιωτῶν καλούμενοι γένος ἄλλο
πού τί εἰσιν ὀρνίθων, οὐκ ᾠδικόν. ἀετοὺς μὲν οὖν ὀνο-
μαζομένους κυκνίας μάλιστα ἐοικότας κύκνῳ λευκότητα
οἶδα ἐν Σιπύλῳ θεασάμενος περὶ λίμνην καλουμένην
Ταντάλου· ὗς δὲ ἀγρίους λευκοὺς καὶ ἄρκτους τῶν Θρα-
κίων λευκὰς ἤδη που καὶ ἄνδρες ἐκτήσαντο ἰδιῶται.
λαγῴ δὲ καὶ ἔλαφοι, τὸ μὲν Λιβυκὸν θρέμμα οἱ λαγῴ 4
εἰσιν οἱ λευκοί· ἐλάφους δὲ ἐν Ῥώμῃ λευκὰς εἶδόν τε καὶ
ἰδὼν θαῦμα ἐποιησάμην, ὁπόθεν δὲ ἢ τῶν ἠπείρων οὖσαι
ἢ νησιώτιδες ἐκομίσθησαν, οὐκ ἐπῆλθεν ἐρέσθαι μοι.
τάδε μὲν ἡμῖν λελέχθω τῶν ἐν Κυλλήνῃ κοσσύφων ἕνεκα,
ὡς μὴ τοῖς ῥηθεῖσιν ἐς τὴν χρόαν αὐτῶν ἀπιστοίη μηδείς.

4. Ἔχεται δὲ ἄλλο ὄρος Κυλλήνης Χελυδόρεα, ἔνθα 5
εὑρὼν χελώνην Ἑρμῆς ἐκδεῖραι τὸ θηρίον καὶ ἀπ' αὐτῆς
λέγεται ποιήσασθαι λύραν. ἐνταῦθα Φενεάταις καὶ Πελ-
ληνεῦσιν ὅροι τῆς γῆς εἰσὶ, καὶ τοῦ ὄρους τῶν Χελυδο-
ρέων οἱ Ἀχαιοὶ τὸ πλέον νέμονται.

5. Ἐκ Φενεοῦ δὲ ἰόντι ἐπὶ ἑσπέρας καὶ ἡλίου δυσμῶν 6
ἡ μὲν ἀριστερὰ τῶν ὁδῶν ἐς πόλιν ἄγει Κλείτορα, ἐν
δεξιᾷ δὲ ἐπὶ Νώνακριν καὶ τὸ ὕδωρ τῆς Στυγός. τὸ μὲν
δὴ ἀρχαῖον ἡ Νώνακρις πόλισμα ἦν Ἀρκάδων, καὶ ἀπὸ
τῆς Λυκάονος γυναικὸς τὸ ὄνομα εἰλήφει· τὰ δὲ ἐφ' ἡμῶν
ἐρείπια ἦν, οὐδὲ τούτων τὰ πολλὰ ἔτι δῆλα. τῶν δὲ ἐρει-
πίων οὐ πόρρω κρημνός ἐστιν ὑψηλός· οὐχ ἕτερον δ'
ἐς τοσοῦτον ἀνήκοντα ὕψους οἶδα. καὶ ὕδωρ κατὰ τοῦ
κρημνοῦ στάζει· καλοῦσι δὲ Ἕλληνες αὐτὸ ὕδωρ Στυγός.

XVIII. Εἶναι δὲ τὴν Στύγα Ἡσίοδος μὲν ἐν Θεογονίᾳ πεποίηκεν, Ἡσιόδου γὰρ δὴ ἔπη τὴν Θεογονίαν εἰσὶν οἳ νομίζουσι, πεποιημένα οὖν ἐστὶν ἐνταῦθα Ὠκεανοῦ θυγατέρα τὴν Στύγα, γυναῖκα δὲ αὐτὴν εἶναι Πάλλαντος.

ἐοικότα δὲ πεποιηκέναι τούτοις καὶ Λίνου φασίν· ἐμοὶ δὲ 635
ἐπιλεγομένῳ παντάπασιν ἐφαίνετο ταῦτά γε εἶναι κίβ-
2 *δηλα. Ἐπιμενίδης δὲ ὁ Κρὴς εἶναι μὲν καὶ οὗτος θυγα-*
τέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν
οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις
δὴ ὁ Πείρας ἐστί. μάλιστα δὲ τῆς Στυγὸς τὸ ὄνομα ἐς τὴν
ποίησιν ἐπεισηγάγετο Ὅμηρος. ἐν μέν γε Ἥρας ἐποίησεν
ὅρκῳ,

Ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ.

Ταῦτα μὲν δὴ ἐποίησεν ὡς ἂν ἰδὼν ἐς τὸ ὕδωρ τῆς Στυ-
γὸς στάζον· βούλεται δὲ καὶ ἐν καταλόγῳ τῶν μετὰ Γου-
νέως Τιταρησίῳ ποταμῷ ῥεῖν τὸ ὕδωρ ἀπὸ τῆς Στυγός.
3 *ἐποίησε δὲ καὶ ἐν Ἅιδου ὕδωρ εἶναι, καὶ Ἀθηνᾶ τὸν Δία*
οὐ μεμνῆσθαί φησιν ὅτι δι' αὐτῆς Ἡρακλέα ἔσωζεν ἐκ
τῶν Εὐρυσθέως ἄθλων·

Εἰ γὰρ ἐγὼ τόδε ᾔδη ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν
ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.

4 2. *Τὸ δὲ ὕδωρ τὸ ἀπὸ τοῦ κρημνοῦ τοῦ παρὰ τὴν Νώνα-*
κριν στάζον ἐσπίπτει μὲν πρῶτον ἐς πέτραν ὑψηλήν,
διεξελθὸν δὲ διὰ τῆς πέτρας ἐς τὸν Κρᾶθιν ποταμὸν
κάτεισι· θάνατον δὲ τὸ ὕδωρ φέρει τοῦτο καὶ ἀνθρώπῳ
καὶ ἄλλῳ ζῴῳ παντί. λέγεται δὲ ὅτι γένοιτό ποτε ὄλεθρος
ἀπ' αὐτοῦ καὶ αἰξίν, οἳ τοῦ ὕδατος ἔπιον πρῶτον. χρόνῳ
δὲ ὕστερον ἐγνώσθη καὶ εἰ δή τι ἄλλο πρόσεστι τῷ ὕδατι
5 *τῶν ἐς θαῦμα ἡκόντων. Ὕαλος μέν γε καὶ κρύσταλλος*
καὶ μόρρια καὶ ὅσα ἐστὶν ἀνθρώποις ἄλλα λίθου ποιού- 636
μενα, καὶ τῶν σκευῶν τὰ κεραμεᾶ, τὰ μὲν ὑπὸ τῆς Στυ-
γὸς τοῦ ὕδατος ῥήγνυται· κεράτινα δὲ καὶ ὀστέϊνα σίδη-
ρός τε καὶ χαλκός, ἔτι δὲ μόλιβδός τε καὶ κασσίτερος καὶ

ἄργυρος καὶ τὸ ἤλεκτρον ὑπὸ τούτου σήπεται τοῦ ὕδατος.
τὸ δὲ αὐτὸ μετάλλοις τοῖς πᾶσι καὶ ὁ χρυσὸς πέπονθε·
καίτοι γε καθαρεύειν [γε] τὸν χρυσὸν ἀπὸ τοῦ ἰοῦ ἥ τε
ποιήτρια μάρτυς ἐστὶν ἡ Λεσβία καὶ αὐτὸς ὁ χρυσὸς ἐπι-
δείκνυσιν. Ἔδωκε δὲ ἄρα ὁ θεὸς τοῖς μάλιστα ἀπερριμ- 6
μένοις κρατεῖν τῶν ὑπερηρκότων τῇ δόξῃ. τοῦτο μὲν γὰρ
τὰ μάργαρα ἀπόλλυσθαι πέφυκεν ὑπὸ τοῦ ὄξους· τοῦτο
δὲ τὸν ἀδάμαντα λίθων ὄντα ἰσχυρότατον τοῦ τράγου
κατατήκει τὸ αἷμα. καὶ δὴ καὶ τὸ ὕδωρ οὐ δύναται τῆς
Στυγὸς ὁπλὴν ἵππου βιάσασθαι μόνην, ἀλλὰ ἐμβληθὲν
κατέχεταί τε ὑπ᾽ αὐτῆς καὶ οὐ διεργάζεται τὴν ὁπλήν.
Εἰ δὲ καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου συνέβη τὴν τελευ-
τὴν διὰ τοῦ φαρμάκου γενέσθαι τούτου, σαφῶς μὲν οὐκ
οἶδα, λεγόμενον δὲ οἶδα.

3. Ὑπὲρ δὲ τὴν Νώνακριν ὄρη τε καλούμενα Ἀροά- 7
νια καὶ σπήλαιόν ἐστιν ἐν αὐτοῖς. ἐς τοῦτο ἀναφυγεῖν τὸ
σπήλαιον τὰς θυγατέρας τὰς Προίτου μανείσας λέγουσιν,
ἃς ὁ Μελάμπους θυσίαις τε ἀπορρήτοις καὶ καθαρμοῖς
κατήγαγεν ἐς χωρίον καλούμενον Λουσούς. τοῦ μὲν δὴ
ὄρους τῶν Ἀροανίων Φενεᾶται τὰ πολλὰ ἐνέμοντο· οἱ δὲ
ἐν ὅροις ἤδη Κλειτορίων εἰσὶν οἱ Λουσοί. πόλιν μὲν δή 8
ποτε εἶναι λέγουσι τοὺς Λουσούς, καὶ Ἀγησίλας ἀνὴρ
Λουσεὺς ἀνηγορεύθη κέλητι ἵππῳ νικῶν, ὅτε πρώτην
ἐπὶ ταῖς δέκα ἐτίθεσαν πυθιάδα Ἀμφικτυόνες· τὰ δὲ ἐφ᾽
ἡμῶν οὐδὲ ἐρείπια ἔτι λειπόμενα ἦν Λουσῶν. τὰς δὲ
637 θυγατέρας τοῦ Προίτου κατήγαγεν ὁ Μελάμπους ἐς τοὺς
Λουσοὺς καὶ ἠκέσατο τῆς μανίας ἐν Ἀρτέμιδος ἱερῷ· καὶ
ἀπ᾽ ἐκείνου τὴν Ἄρτεμιν ταύτην Ἡμερασίαν καλοῦσιν
οἱ Κλειτόριοι.

XIX. Εἰσὶ δέ τινες γένους μὲν καὶ οὗτοι τῶν Ἀρκά-
δων, ὄνομα δέ σφισι Κυναιθαεῖς, οἳ καὶ ἐν Ὀλυμπίᾳ τὸ
ἄγαλμα ἀνέθεσαν τοῦ Διός, κεραυνὸν ἐν ἑκατέρᾳ ἔχοντα

τῇ χειρί· οὗτοι οἱ Κυναιθαεῖς τεσσαράκοντα ἀπωτέρω
τοῦ ** σταδίοις μᾶλλον οἰκοῦσι, καί σφισιν ἐν ἀγορᾷ πε-
ποίηνται μὲν θεῶν βωμοί, πεποίηται δὲ Ἀδριανοῦ βασι-
2 λέως εἰκών. τὰ δὲ μάλιστα ἥκοντα ἐς μνήμην Διονύσου
ἐστὶν ἐνταῦθα ἱερόν, καὶ ἑορτὴν ὥρᾳ ἄγουσι χειμῶνος,
ἐν ᾗ λίπα ἀληλιμμένοι ἄνδρες ἐξ ἀγέλης βοῶν ταῦρον,
ὃν ἂν σφισιν ἐπὶ νοῦν αὐτὸς ὁ θεὸς ποιήσῃ, ἀράμενοι
κομίζουσι πρὸς τὸ ἱερόν. Θυσία μὲν τοιαύτη σφίσι κα-
θέστηκε· 2. πηγὴ δέ ἐστιν αὐτόθι ὕδατος ψυχροῦ, δύο
μάλιστα ἀπὸ τοῦ ἄστεως ἀπωτέρω σταδίοις, καὶ ὑπὲρ αὐ-
3 τῆς πλάτανος πεφυκυῖα. ὃς δ' ἂν ὑπὸ κυνὸς κατασχέτου
λύσσῃ ἤτοι ἕλκος ἢ καὶ ἄλλως κίνδυνον εὕρηται, τὸ ὕδωρ
οἱ πίνοντι ἴαμα· καὶ Ἄλυσσον τοῦδε ἕνεκα ὀνομάζουσι
τὴν πηγήν. καὶ οὕτω φαίνοιτο ἂν Ἀρκάσι τὸ μὲν πρὸς
Φενεῷ ὕδωρ, ὃ Στύγα ὀνομάζουσιν, ἐπ' ἀνθρώπου
συμφορᾷ ἀνευρημένον, ἡ δὲ πηγὴ ἡ ἐν Κυναιθαεῦσιν
4 ἀγαθὸν οὖσα ἀντίρροπον τῷ ἐκεῖ πήματι. 3. Λείπεται δὲ
ἐκ Φενεοῦ τῶν ὁδῶν, αἵ εἰσι πρὸς ἡλίου δυσμῶν, τὰ ἐν
ἀριστερᾷ. αὕτη δὲ ἡ ὁδὸς ἄγει μὲν ἐς Κλείτορα, καθήκει
δὲ παρὰ τοῦ Ἡρακλέους τὸ ἔργον, ὃ τῷ ποταμῷ ῥεῦμα
ἐποίησεν εἶναι τῷ Ἀροανίῳ. παρὰ τοῦτο ἡ ὁδὸς κάτεισιν
ἐπὶ χωρίον Λυκουρίαν, καὶ ἔστι Φενεάταις ἡ Λυκουρία
πρὸς Κλειτορίους ὅροι τῆς γῆς.

XX. Προελθόντων δὲ σταδίους ὡς πεντήκοντα ἐκ 638
Λυκουρίας ἐπὶ τοῦ Λάδωνος ἀφίξῃ τὰς πηγάς. ἤκουσα
δὲ ὡς τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῇ Φενεατικῇ, κατερχόμε-
μον ἐς τὰ βάραθρα τὰ ἐν τοῖς ὄρεσιν, ἄνεισιν ἐνταῦθα
καὶ ποιεῖ τῷ Λάδωνι τὰς πηγάς. τοῦτο μὲν δὴ οὐκ ἔχω
σαφῶς εἰπεῖν, εἴτε οὕτως εἴτε ἄλλως ἐστὶν ἔχον· ὁ δὲ
Λάδων ποταμῶν τῶν ἐν Ἑλλάδι ὕδωρ παρέχεται κάλλι-
στον, ἔχει δὲ καὶ ἄλλως ἐς ἀνθρώπους φήμην [Δάφνης
2 τε εἵνεκα] καὶ τὰ ᾀδόμενα ἐς τὴν Δάφνην. Τοῦ λόγου δὲ

τοῦ ἐς Δάφνην τὰ μὲν ** Συρίας τοῖς οἰκοῦσιν ἐπὶ Ὀρόντῃ
ποταμῷ παρίημι, λέγεται δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Ἀρκά-
δων καὶ Ἠλείων. Οἰνομάῳ τῷ δυναστεύσαντι ἐν Πίσῃ
Λεύκιππος ἦν υἱός. οὗτος ἐρασθεὶς Δάφνης ὁ Λεύκιππος
ἐκ μὲν τοῦ εὐθέος μνώμενος γυναῖκα ἕξειν ἀπεγίνωσκεν
αὐτὴν ἅτε ἅπαν τὸ ἄρσεν γένος φεύγουσαν· παρέστη δέ
οἱ τοιόνδε ἐς αὐτὴν σόφισμα. ἔτρεφεν ὁ Λεύκιππος κό- 3
μην τῷ Ἀλφειῷ· ταύτην οἷα δὴ παρθένος πλεξάμενος
τὴν κόμην, καὶ ἐσθῆτα ἐνδὺς γυναικείαν, ἀφίκετο ὡς
τὴν Δάφνην, ἐλθὼν δὲ Οἰνομάου τε ἔλεγεν εἶναι θυγά-
τηρ, καὶ ὡς συνθηρᾶν ἐθέλοι τῇ Δάφνῃ. Ἅτε δὲ εἶναι
παρθένος νομιζόμενος, καὶ τὰς ἄλλας ὑπερβεβλημένος
παρθένους γένους τε ἀξιώματι καὶ σοφίᾳ τῇ ἐς τὰ κυνη-
γέσια, πρὸς δὲ καὶ τῇ θεραπείᾳ περισσῇ χρώμενος, ἐς
φιλίαν ἰσχυρὰν ἐπάγεται τὴν Δάφνην. Οἱ δὲ τὸν Ἀπόλ- 4
λωνος ἔρωτα ἐς αὐτὴν ᾄδοντες καὶ τάδε ἐπιλέγουσιν,
Ἀπόλλωνα Λευκίππῳ νεμεσῆσαι τῆς ἐς τὸν ἔρωτα εὐδαι-
μονίας. αὐτίκα δὲ ἐπεθύμησεν ἐν τῷ Λάδωνι ἡ Δάφνη
καὶ αἱ λοιπαὶ παρθένοι νήχεσθαι, καὶ τὸν Λεύκιππον
ἀποδύουσιν ἄκοντα· ἰδοῦσαι δὲ οὐ παρθένον τοῖς τε
ἀκοντίοις αὐτὸν καὶ ἐγχειριδίοις τύπτουσαι διέφθειραν.
ταῦτα μὲν δὴ οὕτω λέγουσι.

639 XXI. Τοῦ Λάδωνος δὲ τῶν πηγῶν ἀπέχει στάδια
ἑξήκοντα ἡ Κλειτορίων πόλις· ἡ δὲ ὁδὸς ἡ ἀπὸ τῶν πηγῶν
τοῦ Λάδωνός ἐστιν αὐλὼν στενὸς παρὰ τὸν Ἀροάνιον πο-
ταμόν. πρὸς δὲ τῇ πόλει διαβήσῃ ποταμὸν καλούμενον
Κλείτορα. ἐκδίδωσιν οὖν ὁ Κλείτωρ ἐς τὸν Ἀροάνιον, οὐ
πλέον τῆς πόλεως σταδίους ἀπέχοντα ἑπτά. Εἰσὶ δὲ ἰχθῦς 2
ἐν τῷ Ἀροανίῳ καὶ ἄλλοι καὶ οἱ ποικιλίαι καλούμενοι·
τούτους λέγουσι τοὺς ποικιλίας φθέγγεσθαι κίχλῃ τῇ
ὄρνιθι ἐοικός. ἐγὼ δὲ ἀγρευθέντας μὲν εἶδον, φθεγγο-
μένων δὲ ἤκουσα οὐδὲν καταμείνας πρὸς τῷ ποταμῷ καὶ

ἐς ἡλίου δυσμάς, ὅτε δὴ φθέγγεσθαι μάλιστα ἐλέγοντο οἱ ἰχθῦς.

3 2. Τῇ δὲ Κλειτορίων πόλει τὸ μὲν ὄνομα ἀπὸ τοῦ παιδὸς ἐτέθη τοῦ Ἀζᾶνος, οἰκεῖται δ' ἐν ὁμαλῷ, κύκλῳ δὲ ὄρη περιέχοντά ἐστιν οὐ μεγάλα. Κλειτορίοις δὲ ἱερὰ τὰ ἐπιφανέστατα Δήμητρος, τὸ δὲ Ἀσκληπιοῦ, τρίτον δέ ἐστιν Εἰλειθυίας *** εἶναι, καὶ ἀριθμὸν ἐποίησεν οὐδένα ἐπ' αὐτοῖς· Λύκιος δὲ Ὠλὴν ἀρχαιότερος τὴν ἡλικίαν, Δηλίοις ὕμνους καὶ ἄλλους ποιήσας καὶ ἐς Εἰλείθυιάν [τε], εὔλινόν τε αὐτὴν ἀνακαλεῖ, δῆλον ὡς τῇ Πεπρωμένῃ τὴν
4 αὐτήν, καὶ Κρόνου πρεσβυτέραν φησὶν εἶναι. Κλειτορίοις δὲ καὶ Διοσκούρων καλουμένων δὲ Θεῶν Μεγάλων ἐστὶν ἱερόν, ὅσον τέσσαρα ἀπέχον στάδια ἀπὸ τῆς πόλεως, καὶ ἀγάλματά ἐστιν αὐτοῖς χαλκᾶ. 3. Πεποίηται δὲ καὶ ἐπὶ ὄρους κορυφῆς σταδίοις τριάκοντα ἀπωτέρω τῆς πόλεως ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς Κορίας.

XXII. Ἐπανάγει δὲ ὁ λόγος με ἐπὶ Στύμφηλον καὶ 640
ἐπὶ τοὺς Φενεατῶν καὶ Στυμφηλίων ὅρους τὸ ὀνομαζόμενον Γερόντειον. Στυμφήλιοι δὲ τεταγμένοι μὲν οὐ μετὰ Ἀρκάδων ἔτι εἰσίν, ἀλλ' ἐς τὸ Ἀργολικὸν συντελοῦσι, μεταστάντες ἐς αὐτὸ ἐθελονταί· γένους δὲ εἶναι σφᾶς τοῦ Ἀρκάδων τὰ ἔπη μαρτυρεῖ τὰ Ὁμήρου, καὶ ὁ Στύμφηλος ὁ οἰκιστὴς ἀπόγονος ἦν τρίτος Ἀρκάδος τοῦ Καλλιστοῦς. Λέγεται δὲ ἐξ ἀρχῆς ἑτέρωθι οἰκισθῆναι τῆς
2 χώρας καὶ οὐκ ἐς τὴν ἐφ' ἡμῶν πόλιν. 2. Ἐν δὲ τῇ Στυμφήλῳ τῇ ἀρχαίᾳ Τήμενόν φασιν οἰκῆσαι τὸν Πελασγοῦ, καὶ Ἥραν ὑπὸ τοῦ Τημένου τραφῆναι τούτου, καὶ αὐτὸν ἱερὰ τῇ θεῷ τρία ἱδρύσασθαι καὶ ἐπικλήσεις τρεῖς ἐπ' αὐτῇ θέσθαι, παρθένῳ μὲν ἔτι οὔσῃ Παιδί· γημαμένην δὲ τῷ Διὶ ἐκάλεσεν αὐτὴν Τελείαν· διενεχθεῖσαν δὲ ἐφ' ὅτῳ δὴ ἐς τὸν Δία καὶ ἐπανήκουσαν ἐς τὴν Στύμφηλον ὠνόμασεν ὁ Τήμενος Χήραν. τάδε μὲν ὑπὸ Στυμφηλίων

λεγόμενα οἶδα ἐς τὴν θεόν· 3. Ἡ δὲ ἐφ' ἡμῶν πόλις τῶν 3
μὲν εἰρημένων οὐδέν, ἄλλα δὲ εἶχε τοσάδε. ἔστιν ἐν τῇ
Στυμφηλίων πηγή, καὶ ἀπὸ ταύτης ὕδωρ βασιλεὺς Ἀδρι-
ανὸς Κορινθίοις ἤγαγεν ἐς τὴν πόλιν. ἐν δὲ τῇ Στυμ-
φήλῳ χειμῶνος μὲν ὥρᾳ λίμνην τε οὐ μεγάλην ἡ πηγὴ
καὶ ἀπ' αὐτῆς ποταμὸν ποιεῖ τὸν Στύμφηλον· ἐν θέρει
δὲ προλιμνάζει μὲν οὐδὲν ἔτι, ποταμὸς δὲ αὐτίκα ἐστὶν
ἀπὸ τῆς πηγῆς. οὗτος ἐς χάσμα γῆς κάτεισιν ὁ ποταμός,
ἀναφαινόμενος δὲ αὖθις ἐν τῇ Ἀργολίδι μεταβάλλει τὸ
ὄνομα, καὶ αὐτὸν ἀντὶ Στυμφήλου καλοῦσιν Ἐρασῖνον.
4. Ἐπὶ δὲ τῷ ὕδατι τῷ ἐν Στυμφήλῳ κατέχει λόγος ὄρνι- 4
θάς ποτε ἀνδροφάγους ἐπ' αὐτῷ τραφῆναι· ταύτας κα-
τατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος
δὲ αὐτὸν ὁ Καμιρεὺς ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν,
ἀλλὰ ὡς ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς. γῆς δὲ τῆς
Ἀράβων ἡ ἔρημος παρέχεται καὶ ἄλλα θηρία καὶ ὄρνιθας
καλουμένας Στυμφηλίδας, λεόντων καὶ παρδάλεων οὐ-
641 δέν τι ἡμερωτέρας ἀνθρώποις. Αὗται τοῖς ἐπὶ ἄγραν αὐ- 5
τῶν ἀφικνουμένοις ἐπιπέτανται, καὶ τιτρώσκουσί τε τοῖς
ῥάμφεσι καὶ ἀποκτείνουσιν. ὅσα μὲν δὴ χαλκοῦ καὶ σιδή-
ρου φοροῦσιν ἄνθρωποι, διατρυπῶσιν αἱ ὄρνιθες· ἢν
δὲ ἐσθῆτα φλοΐνην παχεῖαν πλέξωνται, τὰ ῥάμφη τῶν
Στυμφηλίδων ὑπὸ τῆς ἐσθῆτος ἔχεται τῆς φλοΐνης, καθὰ
καὶ πτέρυγες ὀρνίθων τῶν μικρῶν προσέχονται τῷ ἰξῷ.
Αὗται μέγεθος μὲν κατὰ γέρανόν εἰσιν αἱ ὄρνιθες, ἐοίκασι
δὲ ἴβεσι, ῥάμφη δὲ ἀλκιμώτερα φέρουσι καὶ οὐ σκολιά,
ὥσπερ αἱ ἴβεις. Εἰ μὲν δὴ καὶ αἱ κατ' ἐμὲ ὄρνιθες αἱ Ἀρά- 6
βιοι τῶν ἐν Ἀρκαδίᾳ ποτὲ ὀρνίθων τὸ ὄνομα, εἶδος δὲ οὐ
τὸ αὐτὸ ἐκείναις ἔχουσιν, οὐκ οἶδα· εἰ δὲ τὸν πάντα αἰῶνα
κατὰ τὰ αὐτὰ ἱέραξι καὶ ἀετοῖς καὶ Στυμφηλίδες εἰσὶν
ὄρνιθες, Ἀράβιόν τε εἶναί μοι θρέμμα αἱ ὄρνιθες αὗται
φαίνονται, καὶ δύναιτο ἂν πετομένη ποτὲ ἀπόμοιρα ἐξ

αὐτῶν ἐς Ἀρκαδίαν ἀφικέσθαι ἐπὶ Στύμφηλον. Ὑπὸ μὲν
δὴ τῶν Ἀράβων ἄλλο τί που ἐξ ἀρχῆς καλοῖντο ἂν καὶ οὐ
Στυμφηλίδες· τοῦ Ἡρακλέους δὲ ἡ δόξα καὶ τὸ Ἑλληνι-
κὸν πρὸ τοῦ βαρβαρικοῦ τετιμημένον ἐξενίκησεν ὡς καὶ
τὰς ἐν τῇ ἐρήμῳ τῇ Ἀράβων Στυμφηλίδας καὶ ἐπὶ ἡμῶν
7 ὀνομάζεσθαι. 5. Ἐν Στυμφήλῳ δὲ καὶ ἱερὸν Ἀρτέμιδός
ἐστιν ἀρχαῖον Στυμφηλίας· τὸ δὲ ἄγαλμα ξόανόν ἐστι τὰ
πολλὰ ἐπίχρυσον. πρὸς δὲ τοῦ ναοῦ τῷ ὀρόφῳ πεποιη-
μέναι καὶ αἱ Στυμφηλίδες εἰσὶν ὄρνιθες· σαφῶς μὲν οὖν
χαλεπὸν ἦν διαγνῶναι πότερον ξύλου ποίημα ην ἢ
γύψου, τεκμαιρομένοις δὲ ἡμῖν ἐφαίνετο εἶναι ξύλου μᾶλ-
λον ἢ γύψου. εἰσὶ δὲ αὐτόθι καὶ παρθένοι λίθου λευκοῦ,
σκέλη δέ σφισίν ἐστιν ὀρνίθων, ἑστᾶσι δὲ ὄπισθε τοῦ
8 ναοῦ. 6. Λέγεται δὲ καὶ ἐφ' ἡμῶν γενέσθαι θαῦμα τοι-
όνδε. ἐν Στυμφήλῳ τῆς Ἀρτέμιδος τῆς Στυμφηλίας τὴν
ἑορτὴν τά τε ἄλλα ἦγον οὐ σπουδῇ, καὶ τὰ ἐς αὐτὴν κα-
θεστηκότα ὑπερέβαινον τὰ πολλά. ἐσπεσοῦσα οὖν ὕλη
κατὰ τοῦ βαράθρου τὸ στόμα, ᾗ κάτεισιν ὁ ποταμὸς [ὅς
ἐστιν ὁ Στύμφαλος] ἀνεῖργε μὴ καταδύεσθαι τὸ ὕδωρ,
λίμνην τε ὅσον ἐπὶ τετρακοσίους σταδίους τὸ πεδίον σφίσι
9 γενέσθαι λέγουσι. Φασὶ δὲ ἕπεσθαι θηρευτὴν ἄνδρα
ἐλάφῳ φευγούσῃ, καὶ τὴν μὲν ἐς τὸ τέλμα ἵεσθαι, τὸν δὲ 642
ἄνδρα τὸν θηρευτὴν ἐπακολουθοῦντα ὑπὸ τοῦ θυμοῦ
κατόπιν τῆς ἐλάφου νήχεσθαι· καὶ οὕτω τὸ βάραθρον
τήν τε ἔλαφον καὶ ἐπ' αὐτῇ τὸν ἄνδρα ὑπεδέξατο. τού-
τοις δὲ τοῦ ποταμοῦ τὸ ὕδωρ ἐπακολουθῆσαί φασιν,
ὥστε ἐς ἡμέραν Στυμφηλίοις ἐξήραντο ἅπαν τοῦ πεδίου
τὸ λιμνάζον· καὶ ἀπὸ τούτου τῇ Ἀρτέμιδι τὴν ἑορτὴν
φιλοτιμίᾳ πλέονι ἄγουσι.

XXIII. Μετὰ δὲ Στύμφηλόν ἐστιν Ἀλέα, συνεδρίου
μὲν τοῦ Ἀργολικοῦ μετέχουσα καὶ αὕτη, Ἄλεον δὲ τὸν
Ἀφείδαντος γενέσθαι σφίσιν ἀποφαίνουσιν οἰκιστήν.

Θεῶν δὲ ἱερὰ αὐτόθι Ἀρτέμιδός ἐστιν Ἐφεσίας καὶ Ἀθη-
νᾶς Ἀλέας, καὶ Διονύσου ναὸς καὶ ἄγαλμα. τούτῳ παρὰ
ἔτος Σκιέρειαν ἑορτὴν ἄγουσι, καὶ ἐν Διονύσου τῇ ἑορτῇ
κατὰ μάντευμα ἐκ Δελφῶν μαστιγοῦνται γυναῖκες, καθὰ
καὶ οἱ Σπαρτιατῶν ἔφηβοι παρὰ τῇ Ὀρθίᾳ.

2. Ἐδήλωσα δὲ ἐν τῷ λόγῳ τῷ ἐς Ὀρχομενίους ὡς 2
πρῶτα μὲν παρὰ τὴν χαράδραν ἐστὶν ἡ εὐθεῖα, τὸ ἀπὸ
τούτου δὲ ἐν ἀριστερᾷ τοῦ ὕδατος τοῦ λιμνάζοντος. ἐν δὲ
τῷ πεδίῳ τῷ Καφυῶν πεποίηται γῆς χῶμα, δι' οὗ ἀπείρ-
γεται τὸ ὕδωρ τὸ ἐκ τῆς Ὀρχομενίας μὴ εἶναι Καφυεῦσιν
βλάβος τῇ ἐνεργῷ. Κατὰ δὲ τὸ ἐντὸς τοῦ χώματος παρέ-
ξεισιν ὕδωρ ἄλλο, πλήθει μὲν ὅσον τε εἶναι ποταμόν,
κατερχόμενον δὲ ἐς χάσμα γῆς ἄνεισιν αὖθις παρὰ Νά-
σους καλουμένας· τὸ δὲ χωρίον ἔνθα ἄνεισιν ὀνομάζεται
Ῥεῦνος· ἀνατεῖλαν δὲ ἐνταῦθα τὸ ὕδωρ τὸ ἀπὸ τούτου
παρέχεται ποταμὸν ἀέναον Τράγον. 3. τὸ δὲ ὄνομα ἔστι 3
μὲν δῆλον ἀπὸ Κηφέως τοῦ Ἀλέου τῇ πόλει γεγονός,
ὀνομάζεσθαι δὲ αὐτὴν φωνῇ τῇ Ἀρκάδων Καφυὰς ἐκνε-
νίκηκε. φασὶ δὲ οἱ Καφυεῖς τὰ ἄνωθεν ἐκ τῆς Ἀττικῆς
εἶναι χώρας, ἐκβληθέντες δὲ ὑπὸ Αἰγέως ἐξ Ἀθηνῶν ἐς
Ἀρκαδίαν φυγεῖν καὶ ἱκέται γενόμενοι Κηφέως οἰκῆσαι
643 ἐνταῦθα. Τὸ μὲν δὴ πόλισμα ἐπὶ τοῦ πεδίου τῷ πέρατι
ὀρῶν οὐκ ἄγαν ὑψηλῶν παρὰ τοῖς ποσίν ἐστι· Καφυά-
ταις δὲ ἱερὰ θεῶν Ποσειδῶνός ἐστι καὶ ἐπίκλησιν Κνακα-
λησίας Ἀρτέμιδος. ἔστι δὲ αὐτοῖς καὶ ὄρος Κνάκαλος, 4
ἔνθα ἐπέτειον τελετὴν ἄγουσι τῇ Ἀρτέμιδι. ὀλίγον δὲ
ὑπὲρ τὴν πόλιν πηγή τέ ἐστι, καὶ ἐπὶ τῇ πηγῇ πλάτανος
μεγάλη καὶ εὐειδὴς πέφυκε· καλοῦσι δὲ αὐτὴν Μενε-
λαΐδα, Μενέλαον στρατὸν ἀθροίζοντα ἐς Τροίαν ἀφικέ-
σθαι τε ἐνταῦθα καὶ ἐπὶ τῇ πηγῇ τὴν πλάτανον φυτεῦσαι
λέγοντες· ἐφ' ἡμῶν δὲ καὶ τὴν πηγὴν κατὰ ταὐτὰ τῇ πλα-
τάνῳ καλοῦσι Μενελαΐδα. 4. Εἰ δὲ Ἑλλήνων τοῖς λόγοις 5

ἑπόμενον καταριθμήσασθαι δεῖ με ὁπόσα δένδρα σῶα ἔτι
καὶ τεθηλότα λείπεται, πρεσβύτατον μὲν ἡ λύγος ἐστὶν
αὐτῶν ἡ ἐν τῷ Σαμίων πεφυκυῖα ἱερῷ Ἥρας, μετὰ δὲ
αὐτὴν ἡ ἐν Δωδώνῃ δρῦς, καὶ ἐλαία τε ἣ ἐν Ἀκροπόλει
καὶ ἡ παρὰ Δηλίοις· τρίτα δὲ ἕνεκα ἀρχαιότητος νέμοιεν
ἂν τῇ δάφνῃ τῇ παρὰ σφίσιν οἱ Σύροι· τῶν δὲ ἄλλων ἡ
πλάτανός ἐστιν αὕτη παλαιότατον.
6 5. Καφυῶν δὲ ἀφέστηκεν ὅσον στάδιον Κονδυλέα
χωρίον, καὶ Ἀρτέμιδος ἄλσος καὶ ναός ἐστιν ἐνταῦθα
καλουμένης Κονδυλεάτιδος τὸ ἀρχαῖον· μετονομασθῆναι
δὲ ἐπὶ αἰτίᾳ τὴν θεόν φασι τοιαύτῃ. παιδία περὶ τὸ ἱερὸν
παίζοντα, ἀριθμὸν δὲ αὐτῶν οὐ μνημονεύουσιν, ἐπέτυχε
καλῳδίῳ, δήσαντα δὲ τὸ καλῴδιον τοῦ ἀγάλματος περὶ
7 τὸν τράχηλον ἐπέλεγεν ὡς ἀπάγχοιτο ἡ Ἄρτεμις. φωρά-
σαντες δὲ οἱ Καφυεῖς τὰ ποιηθέντα ὑπὸ τῶν παιδίων
καταλεύουσιν αὐτά· καί σφισι ταῦτα ἐργασαμένοις ἐσέ-
πεσεν ἐς τὰς γυναῖκας νόσος, τὰ ἐν τῇ γαστρὶ πρὸ τοκε-
τοῦ τεθνεῶτα ἐκβάλλεσθαι, ἐς ὃ ἡ Πυθία θάψαι τε τὰ
παιδία ἀνεῖπε καὶ ἐναγίζειν αὐτοῖς κατὰ ἔτος· ἀποθανεῖν
γὰρ αὐτὰ οὐ σὺν δίκῃ. Καφυεῖς δὲ ποιοῦσι τά τε ἄλλα 644
ἔτι καὶ νῦν κατ' ἐκεῖνο τὸ μάντευμα, καὶ τὴν ἐν ταῖς Κον-
δυλέαις θεόν, προσεῖναι γὰρ καὶ τόδε ἔτι τῷ χρησμῷ
φασί, καλοῦσιν Ἀπαγχομένην ἐξ ἐκείνου. 6. Ἀνελθὼν
δὲ ἐκ Καφυῶν ὅσον σταδίους ἑπτὰ ἐπὶ Νάσους καλουμέ-
νας καταβήσῃ· πεντήκοντα δὲ προελθόντι αὐτόθεν στα-
δίους ἐστὶν ὁ Λάδων. διαβήσῃ τε δὴ τὸν ποταμόν, καὶ
ἐπὶ δρυμὸν ἀφίξῃ Σόρωνα διά τε Ἀργεαθῶν καὶ Λυκούν-
των καλουμένων καὶ Σκοτάνης. ἄγει μὲν δὴ ὁ Σόρων
9 τὴν ἐπὶ Ψωφῖδος· θηρία δὲ οὗτός τε καὶ ὅσοι δρυμοὶ τοῖς
Ἀρκάσιν εἰσὶν ἄλλοι παρέχονται τοσάδε, ἀγρίους ὗς καὶ
ἄρκτους καὶ χελώνας μεγίστας μεγέθει· λύρας ἂν ποιή-
σαιο ἐξ αὐτῶν χελώνης Ἰνδικῆς λύρᾳ παρισουμένας. τοῦ

Σόρωνος δὲ πρὸς τοῖς πέρασιν ἔστι μὲν Πάου κώμης ἐρεί-
πια, εἰσὶ δὲ οὐ πολὺ ἀπωτέρω καλούμεναι Σεῖραι· ὅροι
δὲ Κλειτορίοις τῆς χώρας πρὸς Ψωφιδίους εἰσὶν αἱ Σεῖραι.

XXIV. Ψωφῖδος δὲ οἱ μέν φασιν οἰκιστὴν γενέσθαι
Ψώφιδα τὸν Ἄρρωνος τοῦ Ἐρυμάνθου τοῦ Ἀρίστα τοῦ
Παρθάονος τοῦ Περιφήτου τοῦ Νυκτίμου· τοῖς δέ ἐστιν
εἰρημένα θυγατέρα Ψωφῖδα εἶναι Ξάνθου τοῦ Ἐρυμάν-
θου τοῦ Ἀρκάδος. τάδε μὲν οὖν οὕτω κατὰ τὴν Ἀρκά-
δων ἐς τοὺς βασιλέας ἔχει μνήμην· ὁ δὲ ἀληθέστατος τῶν 2
λόγων ἐστὶν Ἔρυκος τοῦ ἐν Σικανίᾳ δυναστεύσαντος
παῖδα εἶναι τὴν Ψωφῖδα, ἣ *** ἐς τὸν οἶκον οὐκ ἠξίου,
καταλείπει δὲ ἔχουσαν ἐν τῇ γαστρὶ παρὰ Λυκόρτᾳ, ξένῳ
μὲν ὄντι αὐτοῦ, κατοικοῦντι δὲ ἐν πόλει Φηγίᾳ, πρὸ δὲ
τοῦ Φηγέως τῆς βασιλείας Ἐρυμάνθῳ καλουμένῃ· ἐπι-
τραφέντες δὲ αὐτόθι Ἐχέφρων καὶ Πρόμαχος Ἡρακλέους
τε ὄντες καὶ τῆς γυναικὸς τῆς Σικανῆς μετέθεντο τῇ Φη-
γίᾳ τὸ ὄνομα Ψωφῖδα ἀπὸ τῆς μητρός. 2. Ἔστι δὲ καὶ Ζα- 3
645 κυνθίων τῇ ἀκροπόλει Ψωφὶς ὄνομα, ὅτι ναυσὶν ἐς τὴν
νῆσον ἐπεραιώθη πρῶτος καὶ ἐγένετο οἰκιστὴς ἀνὴρ Ψω-
φίδιος, Ζάκυνθος ὁ Δαρδάνου. Σειραίων μὲν δὴ στα-
δίοις ἐστὶν ἀπωτέρω τριάκοντα ἡ Ψωφίς· παρὰ δὲ αὐτὴν
ὅ τε Ἀροάνιος ποταμὸς καὶ ὀλίγον ἀπωτέρω τῆς πόλεως
Ἐρύμανθος ῥέουσιν. ἔχει δὲ τὰς πηγὰς ὁ Ἐρύμανθος ἐν 4
ὄρει Λαμπείᾳ· τὸ δὲ ὄρος τοῦτο ἱερὸν εἶναι Πανὸς λέγε-
ται· εἴη δ' ἂν τοῦ ὄρους τοῦ Ἐρυμάνθου μοῖρα ἡ Λάμ-
πεια. ἐποίησε δὲ Ὅμηρος ὡς ἐν Ταϋγέτῳ τε καὶ Ἐρυμάνθῳ
*** θηρευτὴς οὖν *** τῆς Λαμπείας ὁ Ἐρύμανθος, καὶ
Ἀρκαδίαν διεξελθὼν ἐν δεξιᾷ μὲν τὸ ὄρος ἔχων τὴν Φο-
λόην, ἐν ἀριστερᾷ δὲ πάλιν Θέλπουσαν χώραν, κάτεισιν
ἐς τὸν Ἀλφειόν. Λέγεται δὲ ὡς Ἡρακλῆς κατὰ πρόσταγμα 5
Εὐρυσθέως παρὰ τῷ Ἐρυμάνθῳ θηράσειεν ὗν μεγέθει
καὶ ἀλκῇ τοὺς ἄλλους ὑπερηρκότα. Κυμαῖοι δὲ οἱ ἐν Ὀπι-

κοῖς συὸς ὀδόντας ἀνακειμένους παρὰ σφίσιν ἐν Ἀπόλλωνος ἱερῷ λόγῳ μὲν λέγουσιν ὡς οἱ ὀδόντες ὑὸς εἶεν τοῦ Ἐρυμανθίου, τῷ λόγῳ δὲ αὐτῶν οὐδ' ἐπ' ὀλίγον μέ-
6 τεστι τοῦ εἰκότος. 3. Ψωφιδίοις δὲ ἐν τῇ πόλει τοῦτο μὲν Ἀφροδίτης ἱερὸν Ἐρυκίνης ἐστὶν ἐπίκλησιν, [ἧς] ἐρείπια ἐφ' ἡμῶν ἐλείπετο αὐτοῦ μόνα· ἐλέγοντο δὲ οἱ Ψωφῖδος αὐτὸ ἱδρύσασθαι παῖδες. καὶ τῷ λόγῳ τὸ εἰκὸς πρόσεστι· ἔστι γὰρ καὶ ἐν Σικελίᾳ τῆς Ἐρυκίνης ἱερὸν ἐν τῇ χώρᾳ 646
τῇ Ἔρυκος, ἁγιώτατόν τε ἐκ παλαιοτάτου καὶ οὐκ ἀπο-
7 δέον πλούτῳ τοῦ ἱεροῦ τοῦ ἐν Πάφῳ. Προμάχου δὲ καὶ Ἐχέφρονος τῶν Ψωφῖδος οὐκ ἐπιφανῆ κατ' ἐμὲ ἔτι ἦν τὰ ἡρῷα. 4. Τέθαπται δὲ καὶ Ἀλκμαίων ἐν Ψωφῖδι ὁ Ἀμφιαράου, καί οἱ τὸ μνῆμά ἐστιν οἴκημα οὔτε μεγέθει μέγα οὔτε ἄλλως κεκοσμημένον· περὶ δὲ αὐτὸ κυπάρισσοι πεφύκασιν ἐς τοσοῦτον ὕψους ἀνήκουσαι, ὥστε καὶ τὸ ὄρος τὸ πρὸς τῇ Ψωφῖδι κατεσκιάζετο ὑπ' αὐτῶν. ταύτας οὐκ ἐθέλουσιν ἐκκόπτειν ἱερὰς τοῦ Ἀλκμαίωνος νομί-
8 ζοντες· καλοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων παρθένοι. Ὁ δὲ Ἀλκμαίων ἡνίκα τὴν μητέρα ἀποκτείνας ἔφυγεν ἐξ Ἄργους, τότε ἐς τὴν Ψωφῖδα ἐλθών, Φηγίαν ἔτι ἀπὸ τοῦ Φηγέως ὀνομαζομένην, συνῴκησεν Ἀλφεσιβοίᾳ τῇ Φηγέως θυγατρί, καὶ αὐτῇ δῶρα ὡς τὸ εἰκὸς καὶ ἄλλα καὶ τὸν ὅρμον δίδωσιν. ὡς δὲ οἰκοῦντι αὐτῷ παρὰ τοῖς Ἀρκάσιν οὐδὲν ἐγίνετο ἡ νόσος ῥᾴων, κατέφυγεν ἐπὶ τὸ μαντεῖον τὸ ἐν Δελφοῖς, καὶ αὐτὸν ἡ Πυθία διδάσκει τὸν Ἐριφύλης ἀλάστορα ἐς ταύτην οἱ μόνην χώραν οὐ συνακολουθήσειν, ἥτις ἐστὶ νεωτάτη καὶ ἡ θάλασσα τοῦ μη-
9 τρῴου μιάσματος ἀνέφηνεν ὕστερον αὐτήν. Καὶ ὁ μὲν ἐξευρὼν τοῦ Ἀχελῴου τὴν πρόσχωσιν ἐνταῦθα ᾤκησε, καὶ γυναῖκα ἔσχε Καλλιρόην τοῦ Ἀχελῴου θυγατέρα λόγῳ τῷ Ἀκαρνάνων, καί οἱ παῖδες Ἀκαρνάν τε καὶ Ἀμφότερος ἐγένοντο· ἀπὸ δὲ τοῦ Ἀκαρνᾶνος τοῖς ἐν τῇ

ἠπείρῳ ταύτῃ τὸ ὄνομα τὸ νῦν γενέσθαι λέγουσι τὰ πρὸ
τούτου Κούρησι καλουμένοις. Ἐς ἐπιθυμίας δὲ ἀνοήτους
πολλοὶ μὲν ἄνδρες, γυναῖκες δὲ ἔτι πλέον ἐξοκέλλουσιν.
ἐπεθύμησεν ἡ Καλλιρόη τῆς Ἐριφύλης οἱ γενέσθαι τὸν 10
ὅρμον, καὶ δι' αὐτὸ ἐς τὴν Φηγίαν τὸν Ἀλκμαίωνα ἔστει-
λεν ἄκοντα, καὶ αὐτὸν ὑπὸ Φηγέως τῶν παίδων Τημένου
647 καὶ Ἀξίονος δολοφονηθέντα ἐπέλαβεν ἡ τελευτή. Τοῦ
Φηγέως δὲ οἱ παῖδες τῷ Ἀπόλλωνι ἀναθεῖναι τῷ ἐν Δελ-
φοῖς λέγονται τὸν ὅρμον. καὶ ἐπὶ τούτων βασιλευόντων
ἐν Φηγίᾳ τότε ἔτι καλουμένῃ τῇ πόλει στρατεῦσαί φασιν
Ἕλληνας ἐς Τροίαν· σφᾶς δὲ οἱ Ψωφίδιοι τοῦ στόλου
φασὶν οὐ μετασχεῖν, ὅτι αὐτῶν τοῖς βασιλεῦσιν οἱ Ἀρ-
γείων ἀπηχθάνοντο ἡγεμόνες, κατὰ γένος τε τῷ Ἀλκμαί-
ωνι οἱ πολλοὶ προσήκοντες καὶ τῆς ἐπιστρατείας αὐτῷ
κοινωνήσαντες τῆς ἐς Θήβας. 5. Τὰς δὲ Ἐχινάδας νήσους 11
ὑπὸ τοῦ Ἀχελῴου μὴ σφᾶς ἤπειρον ἄχρι ἡμῶν ἀπειργά-
σθαι γέγονε δι' αἰτίας τὸ Αἰτωλῶν ἔθνος· γεγόνασι δὲ
αὐτοί τε ἀνάστατοι καὶ ἡ γῆ σφίσι πᾶσα ἠρήμωται· ταῖς
Ἐχινάσιν οὖν, ἅτε ἀσπόρου μενούσης τῆς Αἰτωλίας, οὐχ
ὁμοίως ὁ Ἀχελῷος ἐπάγει τὴν ἰλύν. μαρτύριον δέ μοι
τοῦ λόγου· ὁ γὰρ Μαίανδρος διὰ τῆς Φρυγῶν καὶ Καρῶν
ἀρουμένης ὅσα ἔτη ῥέων τὴν μεταξὺ Πριήνης καὶ Μιλή-
του θάλασσαν ἐν οὐ πολλῷ χρόνῳ πεποίηκεν ἤπειρον.
6. Ψωφιδίοις δὲ καὶ παρὰ τῷ Ἐρυμάνθῳ ναός ἐστιν Ἐρυ- 12
μάνθου καὶ ἄγαλμα. Ποιεῖται δὲ πλὴν τοῦ Αἰγυπτίου
Νείλου ποταμοῖς τοῖς ἄλλοις λίθου λευκοῦ τὰ ἀγάλματα·
τῷ Νείλῳ δέ, ἅτε διὰ τῆς Αἰθιόπων κατιόντι ἐς θάλασ-
σαν, μέλανος λίθου τὰ ἀγάλματα ἐργάζεσθαι νομίζουσιν.

7. Ὃν δὲ ἤκουσα ἐν Ψωφῖδι ἐπὶ Ἀγλαῷ λόγον ἀνδρὶ 13
Ψωφιδίῳ κατὰ Κροῖσον τὸν Λυδὸν ὄντι ἡλικίαν, ὡς ὁ
Ἀγλαὸς τὸν χρόνον τοῦ βίου πάντα γένοιτο εὐδαίμων,
οὔ με ἔπειθεν ὁ λόγος. Ἀλλὰ ἀνθρώπων μὲν τῶν ἐφ'

ἑαυτοῦ κακὰ ἄν τις ἐλάσσονα ἀναδέξαιτο, καθὰ καὶ ναῦς
14 ἧσσον ἂν χειμασθείη νεὼς ἄλλης· ἄνδρα δὲ συμφορῶν
ἀεὶ στάντα ἐκτὸς ἢ τὰ πάντα οὐρίῳ ναῦν χρησαμένην
πνεύματι οὐκ ἔστιν ὅπως δυνησόμεθα ἐξευρεῖν, ἐπεὶ καὶ
Ὅμηρος κατακείμενον παρὰ τῷ Διὶ ἀγαθῶν πίθον, τὸν 648
δὲ ἕτερον κακῶν ἐποίησεν, ὑπὸ τοῦ ἐν Δελφοῖς θεοῦ
δεδιδαγμένος, ὅς αὐτόν ποτε Ὅμηρον κακοδαίμονά τε
προσεῖπε καὶ ὄλβιον ὡς φύντα ἐπὶ ἀμφοτέροις ὁμοίως.

XXV. Ἐς δὲ Θέλπουσαν ἰόντι ἐκ Ψωφῖδος πρῶτα μὲν χωρίον Τρόπαιά ἐστιν ὀνομαζόμενον ἐν ἀριστερᾷ τοῦ Λάδωνος, Τροπαίων δὲ ἔχεται δρυμὸς Ἀφροδίσιον· τρίτα δέ ἐστιν ἀρχαῖα ἐν στήλῃ γράμματα, ὅροι Ψωφιδίοις πρὸς τὴν Θελπουσίαν χώραν. Ἐν δὲ τῇ γῇ τῇ Θελπουσίᾳ ποταμός ἐστιν Ἄρσην καλούμενος· τοῦτον οὖν διαβήσῃ, καὶ ὅσον πέντε ἀπ᾽ αὐτοῦ σταδίους ἀφίξῃ καὶ εἴκοσι ἐπὶ ἐρείπια Καοῦντος κώμης καὶ ἱερὸν Ἀσκληπιοῦ
2 Καουσίου, πεποιημένον ἐν τῇ ὁδῷ. 2. Τοῦ δὲ ἱεροῦ τούτου σταδίους τεσσαράκοντα μάλιστα ἀφέστηκεν ἡ πόλις· τεθῆναι δὲ αὐτῇ ὄνομα ἀπὸ νύμφης λέγουσι Θελπούσης, ταύτην δὲ θυγατέρα εἶναι Λάδωνος. τῷ δὲ Λάδωνι ἄρχεται μὲν τὸ ὕδωρ ἐν πηγαῖς τῆς Κλειτορίας, καθὰ ὁ λόγος ἐδήλωσεν ἤδη μοι· ῥεῖ δὲ πρῶτον μὲν παρὰ Λευκάσιον χωρίον καὶ Μεσόβοα καὶ διὰ τῶν Νάσων ἐπί τε Ὄρυγά τε καὶ Ἁλοῦντα ὀνομαζόμενον, ἐξ Ἁλοῦντος δὲ ἐπὶ Θαλιάδας τε καὶ ἐπὶ Δήμητρος ἱερὸν κάτεισιν Ἐλευσινίας.
3 Τὸ δὲ ἱερὸν τοῦτο ἔστι μὲν Θελπουσίων ἐν ὅροις· ἀγάλματα δὲ ἐν αὐτῷ, ποδῶν ἑπτὰ οὐκ ἀποδέον ἕκαστον, Δήμητρός ἐστι καὶ ἡ παῖς καὶ ὁ Διόνυσος, τὰ πάντα ὁμοίως λίθου. Μετὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν [καὶ] Θέλπουσαν τὴν πόλιν ὁ Λάδων παρέξεισιν ἐν ἀριστερᾷ, κειμένην μὲν ἐπὶ λόφου μεγάλου, τὰ πλείω δὲ ἐφ᾽ ἡμῶν ἔρημον, ὥστε καὶ τὴν ἀγορὰν ἐπὶ τῷ πέρατι οὖσάν φασιν

ἐν τῷ μεσαιτάτῳ ποιηθῆναι τὸ ἐξ ἀρχῆς. 3. Ἔστι δὲ ἐν
649 Θελπούσῃ ναὸς Ἀσκληπιοῦ καὶ θεῶν ἱερὸν τῶν δώδεκα·
τούτου τὰ πολλὰ ἐς ἔδαφος ἔκειτο ἤδη. Μετὰ δὲ Θέλπου- 4
σαν ἐπὶ τὸ ἱερὸν τῆς Δήμητρος ὁ Λάδων κάτεισι τὸ ἐν Ὀγκείῳ· καλοῦσι δὲ Ἐρινὺν οἱ Θελπούσιοι τὴν θεόν, ὁμολογεῖ δέ σφισι καὶ Ἀντίμαχος ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει,

Δήμητρος τόθι φασὶν Ἐρινύος εἶναι ἔδεθλον.

Ὁ μὲν δὴ Ὄγκιος Ἀπόλλωνός ἐστι κατὰ τὴν φήμην, καὶ ἐν τῇ Θελπουσίᾳ περὶ τὸ χωρίον ἐδυνάστευε τὸ Ογκειον.
4. Τῇ θεῷ δὲ Ἐρινὺς γέγονεν ἐπίκλησις· πλανωμένῃ γὰρ 5
τῇ Δήμητρι, ἡνίκα τὴν παῖδα ἐζήτει, λέγουσιν ἕπεσθαί οἱ τὸν Ποσειδῶνα ἐπιθυμοῦντα αὐτῇ μιχθῆναι, καὶ τὴν μὲν ἐς ἵππον μεταβαλοῦσαν ὁμοῦ ταῖς ἵπποις νέμεσθαι ταῖς Ὀγκίου, Ποσειδῶν δὲ συνίησιν ἀπατώμενος, καὶ συγγίνεται τῇ Δήμητρι ἄρσενι ἵππῳ καὶ αὐτὸς εἰκασθείς·
τὸ μὲν δὴ παραυτίκα τὴν Δήμητρα ἐπὶ τῷ συμβάντι ἔχειν 6
ὀργίλως, χρόνῳ δὲ ὕστερον τοῦ τε θυμοῦ παύσασθαι καὶ τῷ Λάδωνι ἐθελῆσαί φασιν αὐτὴν λούσασθαι. Ἐπὶ τούτῳ καὶ ἐπικλήσεις τῇ θεῷ γεγόνασι, τοῦ μηνίματος μὲν ἕνεκα Ἐρινύς, ὅτι τὸ θυμῷ χρῆσθαι καλοῦσιν ἐρινύειν οἱ Ἀρκάδες, Λουσία δὲ ἐπὶ τῷ λούσασθαι τῷ Λάδωνι. τὰ δὲ ἀγάλματά ἐστι τὰ ἐν τῷ ναῷ ξύλου, πρόσωπα δέ σφισι καὶ χεῖρες ἄκραι καὶ πόδες εἰσὶ Παρίου λίθου·
τὸ μὲν δὴ τῆς Ἐρινύος τήν τε κίστην καλουμένην ἔχει καὶ 7
ἐν τῇ δεξιᾷ δᾷδα, μέγεθος δὲ εἰκάζομεν ἐννέα εἶναι ποδῶν αὐτήν· ἡ Λουσία δὲ ποδῶν ἓξ ἐφαίνετο εἶναι. Ὅσοι
650 δὲ Θέμιδος καὶ οὐ Δήμητρος τῆς Λουσίας τὸ ἄγαλμα εἶναι νομίζουσι, μάταια ἴστωσαν ὑπειληφότες. 5. Τὴν δὲ Δήμητρα τεκεῖν φασὶν ἐκ τοῦ Ποσειδῶνος θυγατέρα, ἧς τὸ ὄνομα ἐς ἀτελέστους λέγειν οὐ νομίζουσι, καὶ ἵππον τὸν Ἀρείονα· ἐπὶ τούτῳ δὲ παρὰ σφίσιν Ἀρκάδων πρώτοις

8 Ἵππιον Ποσειδῶνα ὀνομασθῆναι. ἐπάγονται δὲ ἐξ Ἰλιάδος ἔπη καὶ ἐκ Θηβαΐδος μαρτύριά σφισιν εἶναι τῷ λόγῳ, ἐν μὲν Ἰλιάδι ἐς αὐτὸν Ἀρείονα πεποιῆσθαι,

Οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνειν,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν·

ἐν δὲ τῇ Θηβαΐδι ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν

εἵματα λυγρὰ φέρων σὺν Ἀρείονι κυανοχαίτῃ.

Αἰνίσσεσθαι οὖν ἐθέλουσι τὰ ἔπη Ποσειδῶνα Ἀρείονι
9 εἶναι πατέρα. Ἀντίμαχος δὲ παῖδα εἶναι γῆς φησίν·

Ἄδρηστος Ταλαοῦ υἱὸς Κρηθηϊάδαο
πρώτιστος Δαναῶν εὐαινέτω ἤλασεν ἵππω,
Καιρόν τε κραιπνὸν καὶ Ἀρείονα Θελπουσαῖον,
τόν ῥά τ' Ἀπόλλωνος σχεδὸν ἄλσεος Ὀγκαίοιο
αὐτὴ γαῖ' ἀνέδωκε, σέβας θνητοῖσιν ἰδέσθαι.

10 Δύναιτο δ' ἂν καὶ ἀναφύντι ἐκ γῆς τῷ ἵππῳ ἐκ θεοῦ τε εἶναι τὸ γένος καὶ αἱ τρίχες οἱ τὴν χρόαν ἐοικέναι κυανῷ. λέγεται δὲ καὶ τοιάδε, Ἡρακλέα πολεμοῦντα Ἠλείοις αἰτῆσαι παρ' Ὄγκου τὸν ἵππον καὶ ἑλεῖν τὴν Ἦλιν ἐπὶ τῷ Ἀρείονι ὀχούμενον ἐς τὰς μάχας, δοθῆναι δὲ ὑπὸ Ἡρακλέους ὕστερον Ἀδράστῳ τὸν ἵππον. ἐπὶ τούτῳ δὲ ἐς τὸν 651
Ἀρείονα ἐποίησεν Ἀντίμαχος

ὅς ῥά ποτ' Ἀδρήστῳ τριτάτῳ δέδμηθ' ὑπ' ἄνακτι.

11 6. Ὁ δὲ Λάδων τῆς Ἐρινύος τὸ ἱερὸν ἀπολιπὼν ἐν ἀριστερᾷ, παρέξεισιν ἐν ἀριστερᾷ μὲν τοῦ Ἀπόλλωνος τοῦ Ὀγκαιάτου τὸν ναόν, τὰ δὲ ἐν δεξιᾷ παρὰ Ἀσκληπιοῦ Παιδὸς ἱερόν, ἔνθα Τρυγόνος μνῆμά ἐστι [τροφοῦ]. τροφὸν δὲ Ἀσκληπιοῦ τὴν Τρυγόνα εἶναι λέγουσιν· ἐν γὰρ τῇ Θελπούσῃ τῷ Ἀσκληπιῷ παιδὶ ἐκκειμένῳ φασὶν ἐπιτυχόντα Αὐτόλαον Ἀρκάδος υἱὸν νόθον ἀναθέσθαι τὸ παιδίον, καὶ ἐπὶ τούτῳ παῖδα Ἀσκληπιὸν *** εἰκότα εἶναι μᾶλλον ἡγούμην, ὃ καὶ ἐδήλωσα ἐν τοῖς Ἐπιδαυρίων.
12 7. Ἔστι δὲ Τουθόα ποταμός· ἐμβάλλει δὲ ἐς τὸν Λάδωνα

καὶ ἡ Τουθόα κατὰ τὸν Θελπουσίων ὅρον πρὸς Ἡραιεῖς,
καλούμενον δὲ ὑπὸ Ἀρκάδων Πεδίον. καθότι δὲ αὐτὸς
ὁ Λάδων ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν, Κοράκων ὠνόμασται
νᾶσος. Οἱ δὲ ἥγηνται τὴν Ἐνίσπην καὶ Στρατίην τε καὶ
Ῥίπην τὰς ὑπὸ Ὁμήρου κατειλεγμένας γενέσθαι νήσους
ποτὲ ἐν τῷ Λάδωνι ὑπὸ ἀνθρώπων οἰκουμένας· ἃ οἱ
πεπιστευκότες μάταια ἴστωσαν· οὐ γὰρ ἄν ποτε οὐδὲ νηῒ 13
παρισουμένας πορθμίδι παράσχοιτο ὁ Λάδων νήσους.
κάλλους μὲν γὰρ ἕνεκα οὐδενὸς ποταμῶν δεύτερος οὔτε
τῶν βαρβαρικῶν ἐστὶν οὔτε Ἕλληνος, μέγεθος δὲ οὐ το-
σοῦτος ὡς ἐν αὐτῷ καὶ νήσους ἀναφαίνεσθαι, καθάπερ
ἐν Ἴστρῳ τε καὶ Ἠριδανῷ.

652 XXVI. Ἡραιεῦσι δὲ οἰκιστὴς μὲν γέγονεν Ἡραιεὺς ὁ
Λυκάονος, κεῖται δὲ ἡ πόλις ἐν δεξιᾷ τοῦ Ἀλφειοῦ, τὰ
μὲν πολλὰ ἐν ἠρέμα προσάντει, τὰ δὲ καὶ ἐπ' αὐτὸν κα-
θήκει τὸν Ἀλφειόν. Δρόμοι τε παρὰ τῷ ποταμῷ πεποί-
ηνται μυρσίναις καὶ ἄλλοις ἡμέροις διακεκριμένοι δέν-
δροις· καὶ τὰ λουτρὰ αὐτόθι. 2. Εἰσὶ δὲ καὶ Διονύσῳ
ναοί· τὸν μὲν καλοῦσιν αὐτῶν Πολίτην, τὸν δὲ Αὐξίτην.
καὶ οἴκημά ἐστί σφισιν ἔνθα τῷ Διονύσῳ τὰ ὄργια ἄγου- 2
σιν. ἔστι καὶ ναὸς ἐν τῇ Ἡραίᾳ Πανὸς ἅτε τοῖς Ἀρκάσιν
ἐπιχωρίου. τῆς δὲ Ἥρας τοῦ ναοῦ καὶ ἄλλα ἐρείπια καὶ
οἱ κίονες ἔτι ἐλείποντο. Ἀθλητὰς δέ, ὁπόσοι γεγόνασιν
Ἀρκάσιν, ὑπερῆρκε τῇ δόξῃ Δαμάρετος Ἡραιεύς, ὃς τὸν
ὁπλίτην δρόμον ἐνίκησεν ἐν Ὀλυμπίᾳ πρῶτος. Ἐς δὲ τὴν 3
Ἠλείαν κατιὼν ἐξ Ἡραίας, στάδια μέν που πεντεκαίδεκα
ἀποσχὼν Ἡραίας διαβήσῃ τὸν Λάδωνα, ἀπὸ τούτου δὲ
ἐς Ἐρύμανθον ὅσον εἴκοσι ἀφίξῃ σταδίους. 3. Τῇ δὲ
Ἡραίᾳ ὅροι πρὸς τὴν Ἠλείαν λόγῳ μὲν τῷ Ἀρκάδων
ἐστὶν ὁ Ἐρύμανθος, Ἠλεῖοι δὲ τὸν Κοροίβου τάφον φασὶ
τὴν χώραν σφίσιν ὁρίζειν. ἡνίκα δὲ τὸν ἀγῶνα τὸν Ὀλυμ- 4
πικὸν ἐκλιπόντα ἐπὶ χρόνον πολὺν ἀνενεώσατο Ἴφιτος

καὶ αὖθις ἐξ ἀρχῆς Ὀλύμπια ἤγαγον, τότε δρόμου σφίσιν
ἆθλα ἐτέθη μόνον καὶ ὁ Κόροιβος ἐνίκησε· καὶ ἔστιν ἐπί-
γραμμα ἐπὶ τῷ μνήματι ὡς Ὀλυμπίασιν ὁ Κόροιβος ἐνί-
κησεν ἀνθρώπων πρῶτος, καὶ ὅτι τῆς Ἠλείας ἐπὶ τῷ
πέρατι ὁ τάφος αὐτῷ πεποίηται.
5 4. Ἔστι δὲ Ἀλίφηρα πόλισμα οὐ μέγα· ἐξελείφθη γὰρ
ὑπὸ οἰκητόρων πολλῶν ὑπὸ τὸν συνοικισμὸν τῶν Ἀρκά-
δων ἐς Μεγάλην πόλιν. ἐς τοῦτο οὖν τὸ πόλισμα ἐρχόμε-
νος ἐξ Ἡραίας τόν τε Ἀλφειὸν διαβήσῃ, καὶ σταδίων μά-
λιστά που δέκα διελθὼν πεδίον ἐπὶ ὄρος ἀφίξῃ, καὶ αὖθις
στάδια ὅσον τριάκοντα ἐς τὸ πόλισμα ἀναβήσῃ διὰ τοῦ
6 ὄρους. Ἀλιφηρεῦσι δὲ τὸ μὲν ὄνομα τῇ πόλει γέγονεν
ἀπὸ Ἀλιφήρου Λυκάονος παιδός, ἱερὰ δὲ Ἀσκληπιοῦ τέ
ἐστι καὶ Ἀθηνᾶς, ἣν θεῶν σέβονται μάλιστα, γενέσθαι
καὶ τραφῆναι παρὰ σφίσιν αὐτὴν λέγοντες· καὶ Διός τε
ἱδρύσαντο Λεχεάτου βωμὸν ἅτε ἐνταῦθα τὴν Ἀθηνᾶν 653
τεκόντος, καὶ κρήνην καλοῦσι Τριτωνίδα, τὸν ἐπὶ τῷ
7 ποταμῷ τῷ Τρίτωνι οἰκειούμενοι λόγον. τῆς δὲ Ἀθηνᾶς
τὸ ἄγαλμα πεποίηται χαλκοῦ, Ὑπατοδώρου ἔργον, θέας
ἄξιον μεγέθους τε ἕνεκα καὶ ἐς τὴν τέχνην. ἄγουσι δὲ
καὶ πανήγυριν ὅτῳ δὴ θεῶν· δοκῶ δὲ σφᾶς ἄγειν τῇ
Ἀθηνᾷ. ἐν ταύτῃ τῇ πανηγύρει Μυιάγρῳ προθύουσιν,
ἐπευχόμενοί τε κατὰ τῶν ἱερείων τῷ ἥρωϊ καὶ ἐπικαλού-
μενοι τὸν Μυίαγρον· καί σφισι ταῦτα δράσασιν οὐδὲν
8 ἔτι ἀνιαρόν εἰσιν αἱ μυῖαι. 5. Κατὰ δὲ τὴν ἐξ Ἡραίας
ἄγουσαν ἐς Μεγάλην πόλιν εἰσὶ Μελαινεαί· ταύτας ᾤκισε
μὲν Μελαινεὺς ὁ Λυκάονος, ἔρημος δὲ ἦν ἐφ' ἡμῶν,
ὕδατι δὲ καταρρεῖται. Μελαινεῶν δὲ τεσσαράκοντά ἐστιν
ἀνωτέρω σταδίοις Βουφάγιον, καὶ ὁ ποταμὸς ἐνταῦθα
ἔχει πηγὰς ὁ Βουφάγος κατιὼν ἐς τὸν Ἀλφειόν. τοῦ Βου-
φάγου δὲ περὶ τὰς πηγὰς ὅροι πρὸς Μεγαλοπολίτας Ἡραι-
εῦσίν εἰσιν.

XXVII. Ἡ δὲ Μεγάλη πόλις νεωτάτη πόλεών ἐστιν
οὐ τῶν Ἀρκαδικῶν μόνον ἀλλὰ καὶ τῶν ἐν Ἕλλησι, πλὴν
ὅσων κατὰ συμφορὰν ἀρχῆς τῆς Ῥωμαίων μεταβεβήκασιν
οἰκήτορες· συνῆλθον δὲ ὑπὲρ ἰσχύος ἐς αὐτὴν οἱ Ἀρκά-
δες, ἅτε καὶ Ἀργείους ἐπιστάμενοι τὰ μὲν ἔτι παλαιότερα
μόνον οὐ κατὰ μίαν ἡμέραν ἑκάστην κινδυνεύοντας ὑπὸ
Λακεδαιμονίων παραστῆναι τῷ πολέμῳ, ἐπειδὴ δὲ ἀν-
θρώπων πλήθει τὸ Ἄργος ἐπηύξησαν καταλύσαντες Τί-
ρυνθα καὶ Ὑσιάς τε καὶ Ὀρνεὰς καὶ Μυκήνας καὶ Μίδειαν
καὶ εἰ δή τι ἄλλο πόλισμα οὐκ ἀξιόλογον ἐν τῇ Ἀργολίδι
ἦν, τά τε ἀπὸ Λακεδαιμονίων ἀδεέστερα τοῖς Ἀργείοις
ὑπάρξαντα καὶ ἅμα ἐς τοὺς περιοίκους ἰσχὺν γενομένην
654 αὐτοῖς. γνώμῃ μὲν τοιαύτῃ συνῳκίζοντο οἱ Ἀρκάδες, 2
2. τῆς πόλεως δὲ οἰκιστὴς Ἐπαμεινώνδας ὁ Θηβαῖος σὺν
τῷ δικαίῳ καλοῖτο ἄν· τούς τε γὰρ Ἀρκάδας οὗτος ἦν ὁ
ἐπεγείρας ἐς τὸν συνοικισμόν, Θηβαίων τε χιλίους λογά-
δας καὶ Παμμένην ἀπέστειλεν ἡγεμόνα ἀμύνειν τοῖς
Ἀρκάσιν, εἰ κωλύειν πειρῶνται οἱ Λακεδαιμόνιοι τὸν
οἰκισμόν. Ἡιρέθησαν δὲ καὶ ὑπὸ τῶν Ἀρκάδων οἰκισταὶ
Λυκομήδης καὶ Ὁπολέας καὶ Τίμων τε καὶ Πρόξενος,
οὗτοι μὲν ἐκ Τεγέας, Λυκομήδης δὲ καὶ Ὁπολέας Μαν-
τινεῖς, Κλειτορίων δὲ Κλεόλαος καὶ Ἀκρίφιος, Εὐκαμ-
πίδας δὲ καὶ Ἱερώνυμος ἐκ Μαινάλου, Παρρασίων δὲ
Ποσσικράτης τε καὶ Θεόξενος. 3. Πόλεις δὲ τοσαίδε ἦσαν 3
ὁπόσας ὑπό τε προθυμίας καὶ διὰ τὸ ἔχθος τὸ Λακεδαι-
μονίων πατρίδας σφίσιν οὔσας ἐκλιπεῖν ἐπείθοντο οἱ
Ἀρκάδες, Ἀλέα, Παλλάντιον, Εὐταία, Σουμάτειον, Ἰα-
σαία, Περαιθεῖς, Ἑλισσών, Ὀρεσθάσιον, Δίπαια, Λύ-
καια· ταύτας μὲν ἐκ Μαινάλου· ἐκ δὲ Εὐτρησίων Τρι-
κόλωνοι καὶ Ζοίτιον καὶ Χαρισία καὶ Πτολέδερμα καὶ
Κναῦσον καὶ Παρώρεια· παρὰ δὲ Αἰγυτῶν ** [καὶ] Σκιρ- 4
τώνιον καὶ Μαλαία καὶ Κρῶμοι καὶ Βλένινα καὶ Λεῦκ-

τρον· Παρρασίων δὲ Λυκοσωρεῖς, Θωκνεῖς, Τραπε-
ζούντιοι, Προσεῖς, Ἀκακήσιον, Ἀκόντιον, Μακαρία,
Δασέα· ἐκ δὲ Κυνουραίων τῶν ἐν Ἀρκαδίᾳ Γόρτυς καὶ
Θεισόα ἡ πρὸς Λυκαίῳ καὶ Λυκαιᾶται καὶ Ἀλίφηρα· ἐκ 655
δὲ τῶν συντελούντων ἐς Ὀρχομενὸν Θεισόα, Μεθύδριον,
Τεῦθις· προσεγένετο δὲ καὶ Τρίπολις ὀνομαζομένη, Καλ-
5 λία καὶ Δίποινα καὶ Νώνακρις. τὸ μὲν δὴ ἄλλο Ἀρκαδι-
κὸν οὔτε τι παρέλυε τοῦ κοινοῦ δόγματος καὶ συνελέ-
γοντο ἐς τὴν Μεγάλην πόλιν σπουδῇ· Λυκαιᾶται δὲ καὶ
Τρικολωνεῖς καὶ Λυκοσουρεῖς τε καὶ Τραπεζούντιοι με-
τεβάλοντο Ἀρκάδων μόνοι, καί, οὐ γὰρ συνεχώρουν ἔτι
τὰ ἄστη τὰ ἀρχαῖα ἐκλιπεῖν, οἱ μὲν αὐτῶν καὶ ἄκοντες
6 ἀνάγκῃ κατήγοντο ἐς τὴν Μεγάλην πόλιν, 4. Τραπεζούν-
τιοι δὲ ἐκ Πελοποννήσου τὸ παράπαν ἐξεχώρησαν, ὅσοι
γε αὐτῶν ἐλείφθησαν καὶ μὴ σφᾶς ὑπὸ τοῦ θυμοῦ παρ-
αυτίκα διεχρήσαντο οἱ Ἀρκάδες· τοὺς δὲ αὐτῶν ἀνασω-
θέντας ἀναπλεύσαντας ναυσὶν ἐς τὸν Πόντον συνοίκους
ἐδέξαντο μητροπολίτας τ' ὄντας καὶ ὁμωνύμους οἱ Τρα-
πεζοῦντα ἔχοντες τὴν ἐν τῷ Εὐξείνῳ. Λυκοσουρεῦσι δὲ
καὶ ἀπειθήσασιν ἐνέμετο ὅμως παρὰ τῶν Ἀρκάδων αἰδὼς
Δήμητρός τε ἕνεκα καὶ Δεσποίνης ἐλθόντας ἐς τὸ ἱερόν.
7 5. Τῶν δὲ ἄλλων τῶν κατειλεγμένων πόλεων αἱ μὲν ἐς
ἅπαν εἰσὶν ἐφ' ἡμῶν ἔρημοι, τὰς δὲ ἔχουσιν οἱ Μεγαλο-
πολῖται κώμας, Γόρτυνα, Διποίνας, Θεισόαν τὴν πρὸς
Ὀρχομενῷ, Μεθύδριον, Τεῦθιν, Καλλιάς, Ἑλισσόντα.
μόνη δὲ ἐξ αὐτῶν Παλλάντιον ἔμελλεν ἄρα ἠπιωτέρου
πειρᾶσθαι καὶ τότε τοῦ δαίμονος. τοῖς δὲ Ἀλιφηρεῦσι
παραμεμένηκεν ἐξ ἀρχῆς πόλιν σφᾶς καὶ ἐς τόδε νομί-
ζεσθαι.
8 6. Συνῳκίσθη δὲ ἡ Μεγάλη πόλις ἐνιαυτῷ τε τῷ
αὐτῷ καὶ μησί [τε] ὀλίγοις ὕστερον ἢ τὸ πταῖσμα ἐγένετο 656
Λακεδαιμονίων τὸ ἐν Λεύκτροις, Φρασικλείδου μὲν Ἀθη-

νησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς ἑκατοστῆς ὀλυμπιά-
δος καὶ δευτέρας, ἣν Δάμων Θούριος ἐνίκα στάδιον.
7. Μεγαλοπολίταις δὲ ἐς τὴν Θηβαίων συμμαχίαν ἐγγρα- 9
φεῖσιν ἀπὸ Λακεδαιμονίων δεῖμα ἦν οὐδέν. ὡς δὲ ἐς τὸν
πόλεμον τὸν ἱερὸν ὀνομασθέντα οἱ Θηβαῖοι κατέστησαν
καὶ αὐτοῖς ἐπέκειντο οἱ Φωκεῖς, τήν τε ὅμορον τῇ Βοιω-
τῶν ἔχοντες καὶ ὄντες οὐκ ἀδύνατοι χρήμασιν ἅτε τὸ ἱε-
ρὸν τὸ ἐν Δελφοῖς κατειληφότες, τηνικαῦτα οἱ Λακεδαι- 10
μόνιοι προθυμίας μὲν [οὖν] ἕνεκα Ἀρκάδας τε ἂν τοὺς
ἄλλους καὶ τοὺς Μεγαλοπολίτας ἐποίησαν ἀναστάτους,
ἀμυνομένων δὲ τῶν τότε οὐκ ἀθύμως, καὶ ἅμα τῶν περι-
οίκων ἀπροφασίστως σφίσιν ἐπικουρούντων, λόγου μὲν
συνέπεσεν οὐδὲν ἄξιον γενέσθαι παρὰ οὐδετέρων· Φί-
λιππον δὲ τὸν Ἀμύντου καὶ Μακεδόνων τὴν ἀρχὴν οὐχ
ἥκιστα αὐξηθῆναι τὸ ἔχθος τὸ Ἀρκάδων ἐς Λακεδαιμο-
νίους ἐποίησε, καὶ Ἕλλησιν ἐν Χαιρωνείᾳ καὶ αὖθις περὶ
Θεσσαλίαν τοῦ ἀγῶνος οὐ μετέσχον οἱ Ἀρκάδες. 8. Χρό- 11
νον δὲ οὐ μετὰ πολὺν Ἀριστόδημος Μεγαλοπολίταις
ἀνέφυ τύραννος, Φιγαλεὺς μὲν γένος καὶ υἱὸς Ἀρτύλα,
ποιησαμένου δὲ αὐτὸν Τριταίου τῶν οὐκ ἀδυνάτων ἐν
Μεγάλῃ πόλει. τούτῳ τῷ Ἀριστοδήμῳ καὶ τυραννοῦντι
ἐξεγένετο ὅμως ἐπικληθῆναι Χρηστῷ. ἐπὶ τούτου τυραν-
νοῦντος ἐσβάλλουσιν ἐς τὴν Μεγαλοπολῖτιν στρατιᾷ Λα-
κεδαιμόνιοι καὶ τοῦ βασιλέως Κλεομένους ὁ πρεσβύτατος
τῶν παίδων Ἀκρότατος· ἐγενεαλόγησα δὲ ἤδη τά τε ἐς
τοῦτον καὶ ἐς τὸ πᾶν γένος τῶν ἐν Σπάρτῃ βασιλέων.
Γενομένης δὲ ἰσχυρᾶς μάχης καὶ ἀποθανόντων πολλῶν
παρ' ἀμφοτέρων κρατοῦσιν οἱ Μεγαλοπολῖται τῇ συμ-
βολῇ· καὶ ἄλλοι τε διεφθάρησαν Σπαρτιατῶν καὶ Ἀκρό-
τατος, οὐδέ οἱ τὴν πατρῴαν παραλαβεῖν ἐξεγένετο ἀρχήν.
9. Μετὰ δὲ Ἀριστόδημον τελευτήσαντα δύο μάλιστα 12
ὕστερον γενεαῖς ἐτυράννησε Λυδιάδης οἴκου μὲν οὐκ

ἀφανοῦς, φύσιν δὲ φιλότιμος ὢν καὶ οὐχ ἥκιστα, ὡς 657
ἐπέδειξεν ὕστερον, καὶ φιλόπολις. ἔσχε μὲν γὰρ ἔτι νέος
ὢν τὴν ἀρχήν· ἐπεὶ δὲ ἤρχετο φρονεῖν, κατέπαυσεν ἑαυ-
τὸν ἑκὼν τυραννίδος, καίπερ ἐς τὸ ἀσφαλὲς ἤδη οἱ τῆς
ἀρχῆς καθωρμισμένης. Μεγαλοπολιτῶν δὲ συντελούν-
των ἤδη τότε ἐς τὸ Ἀχαϊκόν, ὁ Λυδιάδης ἔν τε αὐτοῖς
Μεγαλοπολίταις καὶ ἐν τοῖς πᾶσιν Ἀχαιοῖς ἐγένετο οὕτω
13 δόκιμος ὡς Ἀράτῳ παρισωθῆναι τὰ ἐς δόξαν. Λακεδαι-
μόνιοι δὲ αὐτοί τε πανδημεὶ καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς
ἑτέρας Ἆγις ὁ Εὐδαμίδου στρατεύουσιν ἐπὶ Μεγάλην
πόλιν παρασκευῇ μείζονι καὶ ἀξιολογωτέρᾳ τῆς ὑπὸ
Ἀκροτάτου συναχθείσης· καὶ μάχῃ τε ἐπεξελθόντας τοὺς
Μεγαλοπολίτας ἐνίκησαν, καὶ μηχάνημα ἰσχυρὸν προσ-
άγοντες τῷ τείχει τὸν πύργον τὸν ταύτῃ δι' αὐτοῦ σεί-
ουσι, καὶ ἐς τὴν ὑστεραίαν καταρρίψειν τῷ μηχανήματι
14 ἤλπιζον. Ἔμελλε δ' ἄρα οὐχ Ἕλλησιν ὁ Βορέας ἔσεσθαι
μόνον τοῖς πᾶσιν ὄφελος, τοῦ Μήδων ναυτικοῦ ταῖς
Σηπιάσι προσράξας τὰς πολλάς, ἀλλὰ καὶ Μεγαλοπολί-
τας ὁ ἄνεμος οὗτος ἐρρύσατο μὴ ἁλῶναι· κατέλυσέ τε
γὰρ τὸ μηχάνημα τοῦ Ἄγιδος καὶ διεφόρησεν ἐς ἀπώλειαν
παντελῆ βιαίῳ τῷ πνεύματι ὁμοῦ καὶ συνεχεῖ. Ὁ δὲ Ἆγις
ὅτῳ τὰ ἐκ τοῦ Βορέου μὴ ἑλεῖν τὴν Μεγάλην πόλιν ἐγέ-
νετο ἐμποδών, ἔστιν ὁ τὴν ἐν Ἀχαΐᾳ Πελλήνην ἀφαιρε-
θεὶς ὑπὸ Ἀράτου καὶ Σικυωνίων καὶ ὕστερον πρὸς Μαν-
15 τινείᾳ χρησάμενος τῷ τέλει. 10. Μετὰ δὲ οὐ πολὺν χρόνον
Κλεομένης ὁ Λεωνίδου Μεγάλην πόλιν κατέλαβεν ἐν
σπονδαῖς. Μεγαλοπολιτῶν δὲ οἱ μὲν ἐν τῇ νυκτὶ εὐθὺς
τότε ἀμύνοντες τῇ πατρίδι ἐπεπτώκεσαν, ἔνθα καὶ Λυ-
διάδην ἀγωνιζόμενον ἀξίως λόγου κατέλαβεν ἐν τῇ μάχῃ
τὸ χρεών· τοὺς δὲ αὐτῶν Φιλοποίμην ὁ Κραύγιδος ὅσον
τε τὰ δύο μέρη τῶν ἐν ἡλικίᾳ καὶ παῖδας ἅμα ἔχων καὶ
16 γυναῖκας διέφυγεν ἐς τὴν Μεσσηνίαν. Κλεομένης δὲ

τούς τε ἐγκαταληφθέντας ἐφόνευε καὶ κατέσκαπτέ τε καὶ ἔκαιε τὴν πόλιν. Μεγαλοπολῖται μὲν δὴ τρόπον ὁποῖον
658 ἀνεσώσαντο τὴν αὑτῶν καὶ ὁποῖα κατελθοῦσιν αὖθις ἐπράχθη σφίσι, δηλώσει τοῦ λόγου μοι τὰ ἐς Φιλοποίμενα· Λακεδαιμονίων δὲ τῷ δήμῳ τοῦ τῶν Μεγαλοπολιτῶν παθήματος μέτεστιν αἰτίας οὐδέν, ὅτι σφίσιν ἐκ βασιλείας μετέστησεν ἐς τυραννίδα ὁ Κλεομένης τὴν πολιτείαν.

11. Μεγαλοπολίταις δὲ καὶ Ἡραιεῦσι κατὰ τὰ εἰρη- 17
μένα ἤδη μοι τοῦ Βουφάγου ποταμοῦ περὶ τὰς πηγάς εἰσιν ὅροι τῆς χώρας. γενέσθαι δὲ τῷ ποταμῷ τὸ ὄνομα ἀπὸ Βουφάγου φασὶν ἥρωος, εἶναι δὲ Ἰαπετοῦ τε παῖδα αὐτὸν καὶ Θόρνακος· ταύτην καὶ ἐν τῇ Λακωνικῇ Θόρνακα ὀνομάζουσι. λέγουσι δὲ καὶ ὡς ἐν Φολόῃ τῷ ὄρει τοξεύσειεν Ἄρτεμις Βουφάγον ἔργα τολμήσαντα οὐχ ὅσια ἐς τὴν θεόν.

XXVIII. Ἰόντι δὲ ἀπὸ τοῦ ποταμοῦ τῶν πηγῶν πρῶτα μέν σε ἐκδέξεται Μάραθα χωρίον, μετὰ δὲ αὐτὸ Γόρτυς κώμη τὰ ἐπ' ἐμοῦ, τὰ δὲ ἔτι ἀρχαιότερα πόλις. ἔστι δὲ αὐτόθι ναὸς Ἀσκληπιοῦ λίθου Πεντελησίου· [καὶ] αὐτός τε οὐκ ἔχων πω γένεια, καὶ Ὑγιείας ἄγαλμα· Σκόπα δὲ ἦν ἔργα. λέγουσι δὲ οἱ ἐπιχώριοι καὶ τάδε, ὡς Ἀλέξανδρος ὁ Φιλίππου τὸν θώρακα καὶ δόρυ ἀναθείη τῷ Ἀσκληπιῷ· καὶ ἐς ἐμέ γε ἔτι ὁ θώραξ καὶ τοῦ δόρατος ἦν ἡ αἰχμή.

2. Τὴν δὲ Γόρτυνα ποταμὸς διέξεισιν ὑπὸ μὲν τῶν 2
περὶ τὰς πηγὰς ὀνομαζόμενος Λούσιος, ἐπὶ λουτροῖς δὴ τοῖς Διὸς τεχθέντος· οἱ δὲ ἀπωτέρω τῶν πηγῶν καλοῦσιν ἀπὸ τῆς κώμης Γορτύνιον. οὗτος ὁ Γορτύνιος ὕδωρ ψυχρότατον παρέχεται ποταμῶν. Ἴστρον μέν γε καὶ Ῥῆνον, ἔτι δὲ Ὕπανίν τε καὶ Βορυσθένην καὶ ὅσων ἄλλων ἐν ὥρᾳ χειμῶνος τὰ ῥεύματα πήγνυται, τούτους μὲν

χειμερίους κατὰ ἐμὴν δόξαν ὀρθῶς ὀνομάσαι τις ἄν· οἳ
ῥέουσι μὲν διὰ γῆς τὸ πολὺ τοῦ χρόνου νειφομένης,
3 ἀνάπλεως δὲ κρυμοῦ καὶ ὁ περὶ αὐτούς ἐστιν ἀήρ. ὅσοι
δὲ γῆν διεξίασιν εὖ τῶν ὡρῶν ἔχουσαν, καὶ θέρους σφίσι
τὸ ὕδωρ πινόμενόν τε καὶ λουομένους ἀνθρώπους ἀνα- 659
ψύχει, χειμῶνος δὲ ἀνιαρὸν οὐκ ἔστι, τούτους ἐγώ φημι
παρέχεσθαι σφᾶς ὕδωρ ψυχρόν. ψυχρὸν μὲν δὴ ὕδωρ
καὶ Κύδνου τοῦ διεξιόντος Ταρσεῖς καὶ Μέλανος τοῦ
παρὰ Σίδην τὴν Παμφύλων· Ἄλεντος δὲ τοῦ ἐν Κολο-
φῶνι καὶ ἐλεγείων ποιηταὶ τὴν ψυχρότητα ᾄδουσι. Γορ-
τύνιος δὲ προήκει καὶ ἐς πλέον ψυχρότητος, μάλιστα δὲ
ὥρᾳ θέρους. ἔχει μὲν δὴ τὰς πηγὰς ἐν Θεισόᾳ τῇ Με-
θυδριεῦσιν ὁμόρῳ· καθότι δὲ τῷ Ἀλφειῷ τὸ ῥεῦμα ἀνα-
κοινοῖ, καλοῦσι Ῥαιτέας.
4 3. Τῇ χώρᾳ δὲ τῇ Θεισόᾳ προσεχὴς κώμη Τεῦθίς
ἐστι· πάλαι δὲ ἦν πόλισμα ἡ Τεῦθις. ἐπὶ δὲ τοῦ πολέμου
τοῦ πρὸς Ἰλίῳ ἰδίᾳ παρείχοντο οἱ ἐνταῦθα ἡγεμόνα·
ὄνομα δὲ αὐτῷ Τεῦθιν, οἱ δὲ Ὄρνυτόν φασιν εἶναι. ὡς
δὲ τοῖς Ἕλλησιν οὐκ ἐγίνετο ἐπίφορα ἐξ Αὐλίδος πνεύ-
ματα, ἀλλὰ ἄνεμος σφᾶς βίαιος ἐπὶ χρόνον εἶχεν ἐγκλεί-
σας, ἀφίκετο ὁ Τεῦθις Ἀγαμέμνονι ἐς ἀπέχθειαν, καὶ
5 ὀπίσω τοὺς Ἀρκάδας ὧν ἦρχεν ἀπάξειν ἔμελλεν. ἐνταῦθα
Ἀθηνᾶν λέγουσι Μέλανι τῷ Ὤπος εἰκασμένην ἀποτρέ-
πειν τῆς ὁδοῦ Τεῦθιν τῆς οἴκαδε. ὁ δέ, ἅτε οἰδοῦντος
αὐτῷ τοῦ θυμοῦ, παίει τὴν θεὸν τῷ δόρατι ἐς τὸν μηρόν·
ἀπήγαγε δὲ καὶ ἐκ τῆς Αὐλίδος ὀπίσω τὸν στρατόν. Ἀνα-
στρέψας δὲ ἐς τὴν οἰκείαν τὴν θεὸν ἔδοξεν αὐτὴν τετρω-
μένην φανῆναί οἱ τὸν μηρόν. τὸ δὲ ἀπὸ τούτου κατέλαβε
Τεῦθιν φθινώδης νόσος, μόνοις τε Ἀρκάδων τοῖς ἐν-
6 ταῦθα οὐκ ἀπεδίδου καρπὸν οὐδένα ἡ γῆ. Χρόνῳ δὲ
ὕστερον ἄλλα τε ἐχρήσθη σφίσιν ἐκ Δωδώνης, ὁποῖα
δρῶντες ἱλάσασθαι τὴν θεὸν ἔμελλον, καὶ ἄγαλμα ἐποι-

ἤσαντο Ἀθηνᾶς ἔχον τραῦμα ἐπὶ τοῦ μηροῦ. τοῦτο καὶ αὐτὸς τὸ ἄγαλμα εἶδον, τελαμῶνι πορφυρῷ τὸν μηρὸν κατειλημμένον. καὶ ἄλλα ἐν Τεύθιδι, Ἀφροδίτης τε ἱερὸν
660 καὶ Ἀρτέμιδός ἐστι. ταῦτα μὲν δὴ ἐνταῦθά ἐστι.

4. Κατὰ δὲ τὴν ὁδὸν τὴν ἐκ Γόρτυνος ἐς Μεγάλην 7
πόλιν πεποίηται μνῆμα τοῖς ἀποθανοῦσιν ἐν τῇ πρὸς Κλεομένην μάχῃ. τὸ δὲ μνῆμα τοῦτο ὀνομάζουσιν οἱ Μεγαλοπολῖται Παραιβασίον, ὅτι ἐς αὐτοὺς παρεσπόνδησεν ὁ Κλεομένης. Παραιβάσιου δὲ ἔχεται πεδίον ἑξήκοντα σταδίων μάλιστα· καὶ πόλεως ἐρείπια Βρένθης ἐστὶν ἐν δεξιᾷ τῆς ὁδοῦ, καὶ ποταμὸς ἔξεισιν αὐτόθεν Βρενθεάτης, καὶ ὅσον σταδίους προελθόντι πέντε κάτεισιν ἐς τὸν Ἀλφειόν.

XXIX. Διαβάντων δὲ Ἀλφειὸν χώρα τε καλουμένη Τραπεζουντία καὶ πόλεώς ἐστιν ἐρείπια Τραπεζοῦντος. καὶ αὖθις ἐπὶ τὸν Ἀλφειὸν ἐν ἀριστερᾷ καταβαίνοντι ἐκ Τραπεζοῦντος, οὐ πόρρω τοῦ ποταμοῦ Βάθος ἐστὶν ὀνομαζόμενον, ἔνθα ἄγουσι τελετὴν διὰ ἔτους τρίτου Θεαῖς Μεγάλαις· καὶ πηγή τε αὐτόθι ἐστὶν Ὀλυμπιὰς καλουμένη τὸν ἕτερον τῶν ἐνιαυτῶν οὐκ ἀπορρέουσα, καὶ πλησίον τῆς πηγῆς πῦρ ἄνεισι. 2. Λέγουσι δὲ οἱ Ἀρκάδες τὴν λεγομένην Γιγάντων μάχην καὶ θεῶν ἐνταῦθα καὶ οὐκ ἐν τῇ Θρᾳκίᾳ γενέσθαι Παλλήνῃ, καὶ θύουσιν ἀστραπαῖς αὐτόθι καὶ θυέλλαις τε καὶ βρονταῖς. Γιγάν- 2
των δὲ ἐν μὲν Ἰλιάδι οὐδεμίαν ἐποιήσατο Ὅμηρος μνήμην· ἐν Ὀδυσσείᾳ δὲ ἔγραψε μὲν ὡς ταῖς Ὀδυσσέως ναυσὶ Λαιστρυγόνες ἐπέλθοιεν Γίγασι καὶ οὐκ ἀνδράσιν εἰκασμένοι, ἐποίησε δὲ καὶ τὸν βασιλέα τῶν Φαιάκων λέγοντα εἶναι τοὺς Φαίακας θεῶν ἐγγὺς ὥσπερ Κύκλωπας καὶ τὸ Γιγάντων ἔθνος. ἔν τε οὖν τούτοις δηλοῖ θνητοὺς ὄντας καὶ οὐ θεῖον γένος τοὺς Γίγαντας, καὶ σαφέστερον ἐν τῷδε ἔτι,

Ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν·
ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αυτος.

Ἐθέλουσι δ' αὐτῷ λαὸς ἐν τοῖς ἔπεσιν ἀνθρώπων οἱ πολ-
3 *λοὶ καλεῖσθαι.* 3. *Δράκοντας δὲ ἀντὶ ποδῶν τοῖς Γίγασιν*
εἶναι, πολλαχῇ τε ὁ λόγος ἄλλῃ καὶ ἐν τῷδε ἐδείχθη μά-
λιστα ὡς ἔστιν εὐήθης. Ὀρόντην τὸν Σύρων ποταμὸν οὐ
τὰ πάντα ἐν ἰσοπέδῳ μέχρι θαλάσσης ῥέοντα, ἀλλὰ ἐπὶ 661
κρημνόν τε ἀπορρῶγα καὶ ἐς κάταντες ἀπ' αὐτοῦ φερό-
μενον, ἠθέλησεν ὁ Ῥωμαίων βασιλεὺς ἀναπλεῖσθαι ναυ-
σὶν ἐκ θαλάσσης ἐς Ἀντιόχειαν πόλιν· ἔλυτρον οὖν σὺν
πόνῳ τε καὶ δαπάνῃ χρημάτων ὀρυξάμενος ἐπιτήδειον
4 *ἐς τὸν ἀνάπλουν, ἐξέτρεψεν ἐς τοῦτο τὸν ποταμόν. ἀνα-*
ξηρανθέντος δὲ τοῦ ἀρχαίου ῥεύματος κεραμεᾶ τε ἐν
αὐτῷ σορὸς πλέον ἢ ἑνός τε καὶ δέκα εὑρέθη πηχῶν, καὶ
ὁ νεκρὸς μέγεθός τε ἦν κατὰ τὴν σορὸν καὶ ἄνθρωπος
διὰ παντὸς τοῦ σώματος. τοῦτον τὸν νεκρὸν ὁ ἐν Κλάρῳ
θεός, ἀφικομένων ἐπὶ τὸ χρηστήριον τῶν Σύρων, εἶπεν
Ὀρόντην εἶναι, γένους δὲ αὐτὸν εἶναι τοῦ Ἰνδῶν. Εἰ δὲ
τὴν γῆν τὸ ἀρχαῖον οὖσαν ὑγρὰν ἔτι καὶ ἀνάπλεων νοτί-
δος θερμαίνων ὁ ἥλιος τοὺς πρώτους ἐποίησεν ἀνθρώ-
πους, ποίαν εἰκός ἐστιν ἄλλην χώραν ἢ προτέραν τῆς
Ἰνδῶν ἢ μείζονας ἀνεῖναι τοὺς ἀνθρώπους, ἥ γε καὶ ἐς
ἡμᾶς ἔτι καὶ ὄψεως τῷ παραλόγῳ καὶ μεγέθει διάφορα
ἐκτρέφει θηρία;
5 4. *Τοῦ δὲ χωρίου τοῦ ὀνομαζομένου Βάθους στα-*
δίους ὡς δέκα ἀφέστηκε καλουμένη Βασιλίς· ταύτης ἐγέ-
νετο οἰκιστὴς Κύψελος ὁ Κρεσφόντῃ τῷ Ἀριστομάχου
τὴν θυγατέρα ἐκδούς· ἐπ' ἐμοῦ δὲ ἐρείπια ἡ Βασιλὶς ἦν,
καὶ Δήμητρος ἱερὸν ἐν αὐτοῖς ἐλείπετο Ἐλευσινίας. Ἐν-
τεῦθεν δὲ προϊὼν τὸν Ἀλφειὸν αὖθις διαβήσῃ, καὶ ἐπὶ
Θωκνίαν ἀφίξῃ, τὸ ὄνομα ἀπὸ Θώκνου τοῦ Λυκάονος
ἔχουσαν, ἐς ἅπαν δὲ ἐφ' ἡμῶν ἔρημον· ἐλέγετο δὲ ὁ

Θώκνος ἐν τῷ λόφῳ κτίσαι τὴν πόλιν. ποταμὸς δὲ ὁ Ἀμί-
νιος ῥέων παρὰ τὸν λόφον ἐς τὸν Ἑλισσόντα ἐκδίδωσι,
καὶ οὐ πολὺ ἄπωθεν ἐς τὸν Ἀλφειὸν ὁ Ἑλισσών.

XXX. Ὁ δὲ Ἑλισσὼν οὗτος ἀρχόμενος ἐκ κώμης
ὁμωνύμου, καὶ γὰρ τῇ κώμῃ τὸ ὄνομα Ἑλισσών ἐστι,
τήν τε Διπαιέων καὶ τὴν Λυκαιᾶτιν χώραν, τρίτα δὲ αὐ-
τὴν διεξελθὼν Μεγάλην πόλιν, * * σταδίοις ἀπωτέρω
662 Μεγαλοπολιτῶν τοῦ ἄστεως κάτεισιν ἐς τὸν Ἀλφειόν.
πλησίον δὲ ἤδη τῆς πόλεως Ποσειδῶνός ἐστιν Ἐπόπτου
ναός· ἐλείπετο δὲ τοῦ ἀγάλματος ἡ κεφαλή.

2. Διαιροῦντος δὲ τὴν Μεγάλην πόλιν τοῦ ποταμοῦ 2
τοῦ Ἑλισσόντος, καθὰ δὴ καὶ Κνίδον καὶ Μιτυλήνην
δίχα οἱ εὔριποι νέμουσιν, ἐν μέρει τῷ πρὸς ἄρκτους,
δεξιῷ δὲ κατὰ τὸ μετέωρον τοῦ ποταμοῦ, πεποίηταί σφι-
σιν ἀγορά· περίβολός δέ ἐστιν ἐν ταύτῃ λίθων καὶ ἱερὸν
Λυκαίου Διός. ἔσοδος δ' ἐς αὐτὸ οὐκ ἔστι· τὰ γὰρ ἐντός
ἐστι δὴ σύνοπτα, βωμοί τέ εἰσι τοῦ θεοῦ καὶ τράπεζαι
δύο καὶ ἀετοὶ ταῖς τραπέζαις ἴσοι. καὶ ἄγαλμα Πανὸς 3
λίθου πεποιημένον· ἐπίκλησις δὲ Οἰνόεις ἐστὶν αὐτῷ,
τήν τε ἐπίκλησιν γενέσθαι τῷ Πανὶ ἀπὸ νύμφης Οἰνόης
λέγουσι, ταύτην δὲ σὺν ἄλλαις τῶν νυμφῶν καὶ ἰδίᾳ γε-
νέσθαι τροφὸν τοῦ Πανός. ἔστι δὲ πρὸ τοῦ τεμένους
τούτου χαλκοῦν ἄγαλμα Ἀπόλλωνος θέας ἄξιον, μέγεθος
μὲν ἐς πόδας δώδεκα, ἐκομίσθη δὲ ἐκ τῆς Φιγαλέων συν-
τέλεια ἐς κόσμον τῇ Μεγάλῃ πόλει. Τὸ δὲ χωρίον ἔνθα 4
τὸ ἄγαλμα ἵδρυτο ἐξ ἀρχῆς ὑπὸ Φιγαλέων, ὀνομάζεται
Βᾶσσαι· τῷ θεῷ δὲ ἡ ἐπίκλησις ἠκολούθηκε μὲν ἐκ τῆς
Φιγαλέων, ἐφ' ὅτῳ δὲ ὄνομα ἔσχεν Ἐπικούριος, δηλώ-
σει μοι τὰ ἐς Φιγαλέας τοῦ λόγου. ἔστι δὲ ἐν δεξιᾷ τοῦ
Ἀπόλλωνος ἄγαλμα οὐ μέγα Μητρὸς θεῶν, τοῦ ναοῦ δέ,
ὅτι μὴ οἱ κίονες, ἄλλο ὑπόλοιπον οὐδέν. Πρὸ δὲ τοῦ 5
ναοῦ τῆς Μητρὸς ἀνδριὰς μὲν οὐδείς ἐστι, δῆλα δὲ ἦν

τὰ βάθρα ἐφ' ὧν ἀνδριάντες ποτὲ ἑστήκεσαν. ἐλεγεῖον
δὲ ἐπὶ ἑνὸς γεγραμμένον τῶν βάθρων Διοφάνους φησὶν
εἶναι τὴν εἰκόνα, Διαίου μὲν υἱοῦ, συντάξαντος δὲ ἄν-
δρὸς πρώτου Πελοπόννησον τὴν πᾶσαν ἐς τὸν ὀνομα-
6 σθέντα Ἀχαϊκὸν σύλλογον. 3. Στοὰν δὲ τῆς ἀγορᾶς ὀνο-
μαζομένην Φιλίππειον οὐ Φίλιππος ἐποίησεν ὁ Ἀμύντου,
χαριζόμενοι δέ οἱ Μεγαλοπολῖται τὴν ἐπωνυμίαν διδόα-
σιν αὐτῷ τοῦ οἰκοδομήματος. Ἑρμοῦ δὲ Ἀκακησίου πρὸς 663
αὐτῇ ναὸς κατεβέβλητο, καὶ οὐδὲν ἐλείπετο ὅτι μὴ χε-
λώνη λίθου. Ταύτης δὲ ἔχεται τῆς Φιλιππείου μέγεθος
ἀποδέουσα ἑτέρα στοά, Μεγαλοπολίταις δὲ αὐτόθι ᾠκο-
δομημένα ἐστὶ τὰ ἀρχεῖα, ἀριθμὸν οἰκήματα ἕξ· ἐν ἑνὶ
δέ ἐστιν αὐτῶν Ἐφεσίας ἄγαλμα Ἀρτέμιδος, καὶ ἐν ἑτέρῳ
7 χαλκοῦς Πὰν πηχυαῖος ἐπίκλησιν Σκολείτας. μετεκομί-
σθη δὲ ἀπὸ λόφου τοῦ Σκολείτα· καὶ ὁ λόφος οὗτος τοῦ
τείχους ἐστὶν ἐντός, ἀπὸ δὲ αὐτοῦ κάτεισιν ὕδωρ ἐς τὸν
Ἑλισσόντα ἐκ πηγῆς. τῶν ἀρχείων δὲ ὄπισθε ναὸς Τύχης
καὶ ἄγαλμα λίθου πεποίηται ποδῶν πέντε οὐκ ἀποδέον.
στοὰν δὲ ἥντινα καλοῦσι Μυρόπωλιν, ἔστι μὲν τῆς ἀγο-
ρᾶς, ᾠκοδομήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα τὸ πταῖσμα
ἐγένετο Ἀκροτάτῳ τῷ Κλεομένους καὶ Λακεδαιμονίων
τοῖς συστρατεύσασι, μαχεσαμένοις πρὸς Ἀριστόδημον
8 τυραννίδα ἐν Μεγάλῃ πόλει τότε ἔχοντα. 4. Μεγαλοπο-
λίταις δὲ ἐπὶ τῆς ἀγορᾶς ἐστιν ὄπισθεν τοῦ περιβόλου
τοῦ ἀνειμένου τῷ Λυκαίῳ Διὶ ἀνὴρ ἐπειργασμένος ἐπὶ
στήλῃ, Πολύβιος Λυκόρτα· γέγραπται δὲ καὶ ἐλεγεῖα ἐπ'
αὐτῷ λέγοντα ὡς ἐπὶ γῆν καὶ θάλασσαν πᾶσαν πλανη-
θείη, καὶ ὅτι σύμμαχος γένοιτο Ῥωμαίων καὶ παύσειεν
αὐτοὺς ὀργῆς ἐς τὸ Ἑλληνικόν. συνέγραψε δὲ ὁ Πολύ-
βιος οὗτος καὶ ἄλλα ἔργα Ῥωμαίων, καὶ ὡς Καρχηδονίοις
κατέστησαν ἐς πόλεμον, αἰτία τε ἥτις ἐγένετο αὐτοῦ, καὶ
ὡς ὀψὲ οὐκ ἄνευ κινδύνων μεγάλων Ῥωμαῖοι Σκιπίωνι

***ὅν τινα Καρχηδονιακὸν ὀνομάζουσι τέλος τε ἐπιθέντα 9
τῷ πολέμῳ καὶ τὴν Καρχηδόνα καταβαλόντα ἐς ἔδαφος. Ὅσα μὲν δὴ Πολυβίῳ παραινοῦντι ὁ Ῥωμαῖος ἐπείθετο, ἐς ὀρθὸν ἐχώρησεν αὐτῷ. ἃ δὲ οὐκ ἠκροᾶτο διδάσκοντος, γενέσθαι οἵ λέγουσιν ἁμαρτήματα. Ἑλλήνων δὲ ὁπόσαι πόλεις ἐς τὸ Ἀχαϊκὸν συνετέλουν, παρὰ Ῥωμαίων εὕραντο αὗται Πολύβιόν σφισι πολιτείας τε καταστήσασθαι καὶ νόμους θεῖναι. τῆς δ' εἰκόνος τοῦ Πολυβίου τὸ βουλευτήριόν ἐστιν ἐν ἀριστερᾷ.

5. Τοῦτο μὲν δή ἐστιν ἐνταῦθα, στοὰν δὲ τῆς ἀγο- 10
ρᾶς Ἀριστάνδρειον ἐπίκλησιν ἄνδρα τῶν ἀστῶν Ἀρίστανδρον οἰκοδομῆσαι λέγουσι. ταύτης τῆς στοᾶς ἐστὶν
664 ἐγγυτάτω ὡς πρὸς ἥλιον ἀνίσχοντα ἱερὸν Σωτῆρος ἐπίκλησιν Διός· κεκόσμηται δὲ πέριξ κίοσι. καθεζομένῳ δὲ τῷ Διὶ ἐν θρόνῳ παρεστήκασι τῇ μὲν ἡ Μεγάλη πόλις, ἐν ἀριστερᾷ δὲ Ἀρτέμιδος Σωτείρας ἄγαλμα. ταῦτα μὲν λίθου τοῦ Πεντελησίου Ἀθηναῖοι Κηφισόδοτος καὶ Ξενοφῶν εἰργάσαντο.

XXXI. Τὸ δὲ ἕτερον πέρας τῆς στοᾶς παρέχεται τὸ πρὸς ἡλίου δυσμῶν περίβολον Θεῶν ἱερὸν τῶν μεγάλων. αἱ δέ εἰσιν αἱ μεγάλαι Θεαὶ Δημήτηρ καὶ Κόρη, καθότι ἐδήλωσα ἤδη καὶ ἐν τῇ Μεσσηνίᾳ συγγραφῇ· τὴν Κόρην δὲ Σώτειραν καλοῦσιν οἱ Ἀρκάδες. ἐπειργασμένοι δὲ ἐπὶ τύπων πρὸ τῆς ἐσόδου τῇ μὲν Ἄρτεμις, τῇ δὲ Ἀσκληπιός ἐστι καὶ Ὑγίεια. Θεαὶ δὲ αἱ μεγάλαι Δημήτηρ μὲν 2
λίθου διὰ πάσης, ἡ δὲ Σώτειρα τὰ ἐσθῆτος ἐχόμενα ξύλου πεποίηται· μέγεθος δὲ ἑκατέρας πέντε που καὶ δέκα εἰσὶ πόδες. Τά τε ἀγάλματα *** καὶ πρὸ αὐτῶν κόρας ἐποίησεν οὐ μεγάλας, ἐν χιτῶσί τε καθήκουσιν ἐς σφυρά, καὶ ἀνθῶν ἀνάπλεων ἑκατέρα τάλαρον ἐπὶ τῇ κεφαλῇ φέρει· εἶναι δὲ θυγατέρες τοῦ Δαμοφῶντος λέγονται· τοῖς δὲ ἐπανάγουσιν ἐς τὸ θειότερον δοκεῖ σφᾶς Ἀθηνᾶν

τε εἶναι καὶ Ἄρτεμιν τὰ ἄνθη μετὰ τῆς Περσεφόνης συλ-
3 λεγούσας. ἔστι δὲ καὶ Ἡρακλῆς παρὰ τῇ Δήμητρι μέγε-
θος μάλιστα πῆχυν· τοῦτον τὸν Ἡρακλέα εἶναι τῶν
Ἰδαίων καλουμένων Δακτύλων Ὀνομάκριτός φησιν ἐν
τοῖς ἔπεσι. κεῖται δὲ τράπεζα ἔμπροσθεν, ἐπειργασμέναι
τε ἐπ' αὐτῇ δύο τέ εἰσιν Ὧραι καὶ ἔχων Πὰν σύριγγα καὶ
Ἀπόλλων κιθαρίζων. ἔστι δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτοῖς
4 εἶναι σφᾶς θεῶν τῶν πρώτων. 2. Πεποίηνται δὲ ἐπὶ τῇ
τραπέζῃ καὶ Νύμφαι· Νέδα μὲν Δία φέρουσα ἔτι νήπιον
παῖδα, Ἀνθρακία δὲ νύμφη τῶν Ἀρκαδικῶν καὶ αὕτη
δᾷδα ἔχουσά ἐστιν, Ἁγνὼ δὲ τῇ μὲν ὑδρίαν, ἐν δὲ τῇ
ἑτέρᾳ χειρὶ φιάλην· Ἀρχιρόης δὲ καὶ Μυρτωέσσης εἰσὶν
ὑδρίαι τὰ φορήματα, καὶ ὕδωρ δῆθεν ἀπ' αὐτῶν κάτει-
σιν. τοῦ περιβόλου δέ ἐστιν ἐντὸς Φιλίου Διὸς ναός,
Πολυκλείτου μὲν τοῦ Ἀργείου τὸ ἄγαλμα, Διονύσῳ δὲ
ἐμφερές· κόθορνοί τε γὰρ τὰ ὑποδήματά ἐστιν αὐτῷ, 665
καὶ ἔχει τῇ χειρὶ ἔκπωμα, τῇ δὲ ἑτέρᾳ θύρσον, κάθηται
δὲ ἀετὸς ἐπὶ τῷ θύρσῳ· καίτοι τοῖς γε ἐς Διόνυσον λεγο-
5 μένοις τοῦτο οὐχ ὁμολογοῦν ἐστί. τούτου δὲ ὄπισθεν
τοῦ ναοῦ δένδρων ἐστὶν ἄλσος οὐ μέγα, θριγκῷ περι-
εχόμενον. ἐς μὲν δὴ τὸ ἐντὸς ἔσοδος οὐκ ἔστιν ἀνθρώ-
ποις· πρὸ δὲ αὐτοῦ Δήμητρος καὶ Κόρης ὅσον τε ποδῶν
τριῶν εἰσὶν ἀγάλματα. 3. Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου
τῶν μεγάλων Θεῶν καὶ Ἀφροδίτης ἱερόν. πρὸ μὲν δὴ
τῆς ἐσόδου ξόανά ἐστιν ἀρχαῖα, Ἥρα καὶ Ἀπόλλων τε
καὶ Μοῦσαι· ταῦτα κομισθῆναί φασιν ἐκ Τραπεζοῦντος.
9 Ἀγάλματα δὲ ἐν τῷ ναῷ Δαμοφῶν ἐποίησεν, Ἑρμῆν ξύ-
λου καὶ Ἀφροδίτης ξόανον· καὶ ταύτης χεῖρές εἰσι λίθου
καὶ πρόσωπόν τε καὶ ἄκροι πόδες. τὴν δὲ ἐπίκλησιν τῇ
θεῷ Μαχανῖτιν ὀρθότατα ἔθεντο, ἐμοὶ δοκεῖν· Ἀφροδίτης
γὰρ ἕνεκα καὶ ἔργων τῶν ταύτης πλεῖσται μὲν ἐπιτεχνή-
σεις, παντοῖα δὲ ἀνθρώποις ἀνευρημένα ἐς λόγους ἐστίν.

ἑστήκασι δὲ καὶ ἀνδριάντες ἐν οἰκήματι, Καλλιγνώτου 7
τε καὶ Μέντα καὶ Σωσιγένους τε καὶ Πώλου· καταστή-
σασθαι δὲ οὗτοι Μεγαλοπολίταις λέγονται πρῶτον τῶν
μεγάλων Θεῶν τὴν τελετήν, καὶ τὰ δρώμενα τῶν ἐν
Ἐλευσῖνί ἐστι μιμήματα. Κεῖται δὲ ἐντὸς τοῦ περιβόλου
θεῶν τοσάδε ἄλλων ἀγάλματα, τὸ τετράγωνον παρεχό-
μενα σχῆμα, Ἑρμῆς τε ἐπίκλησιν Ἀγήτωρ καὶ Ἀπόλλων
καὶ Ἀθηνᾶ τε καὶ Ποσειδῶν, ἔτι δὲ Ἥλιος ἐπωνυμίαν
ἔχων Σωτήρ τε εἶναι καὶ Ἡρακλῆς. ᾠκοδόμηται δὲ καὶ
σφίσιν ** μεγέθει μέγα, καὶ ἄγουσιν ἐνταῦθα τὴν τελε-
τὴν ταῖς Θεαῖς.

5. Τοῦ ναοῦ δὲ τῶν μεγάλων Θεῶν ἐστιν ἱερὸν ἐν 8
δεξιᾷ καὶ Κόρης· λίθου δὲ τὸ ἄγαλμα ποδῶν ὀκτὼ μά-
λιστα· ταινίαι δὲ ἐπέχουσι διὰ παντὸς τὸ βάθρον. ἐς
τοῦτο τὸ ἱερὸν γυναιξὶ μὲν τὸν πάντα ἐστὶν ἔσοδος χρό-
νον, οἱ δὲ ἄνδρες οὐ πλέον ἢ ἅπαξ κατὰ ἔτος ἕκαστον ἐς
666 αὐτὸ ἐσίασι. 6. Γυμνάσιον δὲ τῇ ἀγορᾷ συνεχὲς κατὰ
ἡλίου δυσμάς ἐστιν ᾠκοδομημένον. Τῆς στοᾶς δὲ ἣν 9
ἀπὸ τοῦ Μακεδόνος Φιλίππου καλοῦσι, ταύτης εἰσὶ δύο
ὄπισθεν λόφοι, οὐκ ἐς ὕψος ἀνήκοντες· ἐρείπια δὲ Ἀθη-
νᾶς ἱεροῦ Πολιάδος ἐπὶ αὐτῷ, καὶ τῷ ἑτέρῳ ναός ἐστιν
Ἥρας Τελείας, ὁμοίως καὶ ταῦτα ἐρείπια. ὑπὸ τούτῳ
τῷ λόφῳ Βάθυλλος καλουμένη πηγὴ συντελεῖ καὶ αὕτη
τῷ ποταμῷ Ἑλισσόντι ἐς μέγεθος. τοσάδε ἐνταῦθα ἀξι-
όχρεα ἦν.

XXXII. Ἡ δὲ ἐπέκεινα τοῦ ποταμοῦ μοῖρα ἡ κατὰ μεσημβρίαν παρείχετο ἐς μνήμην θέατρον μέγιστον τῶν ἐν τῇ Ἑλλάδι· ἐν δὲ αὐτῷ καὶ ἀέναός ἐστιν ὕδατος πηγή. τοῦ θεάτρου δὲ οὐ πόρρω λείπεται τοῦ βουλευτηρίου θεμέλια, ὃ τοῖς Μυρίοις ἐπεποίητο Ἀρκάδων· ἐκαλεῖτο δὲ ἀπὸ τοῦ ἀναθέντος Θερσίλιον. πλησίον δὲ οἰκίαν, ἰδιώτου κατ' ἐμὲ κτῆμα ἀνδρός, Ἀλεξάνδρῳ τῷ Φιλίππου

τὸ ἐξ ἀρχῆς ἐποίησαν. ἔστι δὲ ἄγαλμα Ἄμμωνος πρὸς
τῇ οἰκίᾳ, τοῖς τετραγώνοις Ἑρμαῖς εἰκασμένον, κέρατα
2 ἐπὶ τῆς κεφαλῆς ἔχον κριοῦ. τὸ δὲ τῶν Μουσῶν Ἀπόλ-
λωνός τε ἱερὸν καὶ Ἑρμοῦ κατασκευασθὲν σφισιν ἐν κοι-
νῷ, παρείχετο ἐς μνήμην θεμέλια οὐ πολλά· ἦν δὲ καὶ
τῶν Μουσῶν μία ἔτι καὶ Ἀπόλλωνος ἄγαλμα κατὰ τοὺς
Ἑρμᾶς τοὺς τετραγώνους τέχνην. ἐρείπια δὲ καὶ τῆς
Ἀφροδίτης ἦν τὸ ἱερὸν, πλὴν ὅσον πρόναός τε ἐλείπετο
ἔτι καὶ ἀγάλματα ἀριθμὸν τρία, ἐπίκλησις δὲ Οὐρανία,
τῇ δ' ἔστι Πάνδημος, τῇ τρίτῃ δὲ οὐδὲν ἐτίθεντο.
3 2. Ἀπέχει δὲ οὐ πολὺ Ἄρεως βωμός· ἐλέγετο δὲ ὡς καὶ
ἱερὸν ἐξ ἀρχῆς ᾠκοδομήθη τῷ θεῷ. πεποίηται δὲ καὶ
στάδιον ὑπὲρ τῆς Ἀφροδίτης, τῇ μὲν ἐπὶ τὸ θέατρον
καθῆκον, καὶ κρήνη σφίσιν ἐστὶν αὐτόθι, ἣν ἱερὰν Διο- 667
νύσου νομίζουσι· κατὰ δὲ τὸ ἕτερον τοῦ σταδίου πέρας
Διονύσου ναὸς ἐλέγετο ὑπὸ τοῦ θεοῦ κεραυνωθῆναι γε-
νεαῖς δύο ἐμοῦ πρότερον, καὶ ἐρείπια οὐ πολλὰ ἔτι ἐς ἐμὲ
ἦν αὐτοῦ. Ἡρακλέους δὲ κοινὸς καὶ Ἑρμοῦ πρὸς τῷ στα-
δίῳ ναὸς μὲν οὐκέτι ἦν, μόνος δέ σφίσι βωμὸς ἐλείπετο.
4 3. Ἔστι δὲ ἐν τῇ μοίρᾳ ταύτῃ λόφος πρὸς ἀνίσχοντα ἥλιον,
καὶ Ἀγροτέρας ἐν αὐτῷ ναὸς Ἀρτέμιδος, ἀνάθημα Ἀρι-
στοδήμου καὶ τοῦτο. τῆς δὲ Ἀγροτέρας ἐστὶν ἐν δεξιᾷ
τέμενος· ἐνταῦθα ἔστι μὲν ἱερὸν Ἀσκληπιοῦ καὶ ἀγάλ-
ματα, αὐτός τε καὶ Ὑγίεια, εἰσὶ δὲ ὑποκαταβάντι ὀλίγον
θεοί, παρέχονται δὲ καὶ οὗτοι σχῆμα τετράγωνον, Ἐργά-
ται δέ ἐστιν αὐτοῖς ἐπίκλησις, Ἀθηνᾶ τε Ἐργάνη καὶ
Ἀπόλλων Ἀγυιεύς· τῷ δὲ Ἑρμῇ καὶ Ἡρακλεῖ καὶ Εἰλει-
θυίᾳ πρόσεστιν ἐξ ἐπῶν τῶν Ὁμήρου φήμη, τῷ μὲν Διός
τε αὐτὸν διάκονον εἶναι καὶ ὑπὸ τὸν Ἅιδην ἄγειν τῶν
ἀπογινομένων τὰς ψυχάς, Ἡρακλεῖ δὲ ὡς πολλούς τε
καὶ χαλεποὺς τελέσειεν ἄθλους· Εἰλειθυίᾳ δὲ ἐποίησεν
5 ἐν Ἰλιάδι ὠδῖνας γυναικῶν μέλειν. ἔστι δὲ καὶ ἄλλο ὑπὸ

τὸν λόφον τοῦτον Ἀσκληπιοῦ Παιδὸς ἱερόν· τούτου μὲν δὴ τὸ ἄγαλμα ὀρθὸν πεποίηται πηχυαῖον μάλιστα, Ἀπόλλωνος δὲ ἐν θρόνῳ κάθηται ποδῶν ἓξ οὐκ ἀποδέον μέγεθος. ἀνάκειται δὲ αὐτόθι καὶ ὀστᾶ ὑπερηρκότα ἢ ὡς ἀνθρώπου δοκεῖν· καὶ δὴ καὶ ἐλέγετο ἐπ' αὐτοῖς εἶναι τῶν Γιγάντων ἑνός, οὓς ἐς τὴν συμμαχίαν τῆς Ῥέας ἤθροισεν Ὁπλάδαμος, ἃ δὴ καὶ ἐς ὕστερον ἐπέξεισιν ἡμῖν ὁ λόγος. τούτου δέ ἐστι πηγὴ τοῦ ἱεροῦ πλησίον, καὶ ἀπ' αὐτῆς ὁ Ἑλισσὼν τὸ ὕδωρ δέχεται κατερχόμενον.

XXXIII. Εἰ δὲ ἡ Μεγάλη πόλις προθυμίᾳ τε τῇ πάσῃ συνοικισθεῖσα ὑπὸ Ἀρκάδων καὶ ἐπὶ μεγίσταις τῶν Ἑλλήνων ἐλπίσιν ἐς αὐτὴν κόσμον τὸν ἅπαντα καὶ εὐδαιμονίαν τὴν ἀρχαίαν ἀφῄρηται καὶ τὰ πολλά ἐστιν αὐτῆς ἐρείπια ἐφ' ἡμῶν, θαῦμα οὐδὲν ἐποιησάμην, εἰδὼς τὸ δαιμόνιον νεώτερα ἀεί τινα ἐθέλον ἐργάζεσθαι, καὶ ὁμοίως τὰ πάντα τά τε ἐχυρὰ καὶ τὰ ἀσθενῆ καὶ τὰ γινό-
668 μενά τε καὶ ὁπόσα ἀπόλλυνται μεταβάλλουσαν τὴν τύχην, καὶ ὅπως ἂν αὐτῇ παριστῆται μετὰ ἰσχυρᾶς ἀνάγκης ἄγουσαν. Μυκῆναι μέν γε τοῦ πρὸς Ἰλίῳ πολέμου τοῖς 2
Ἕλλησιν ἡγησαμένη, καὶ Νῖνος ἔνθα ἦν Ἀσσυρίοις βασίλεια, καὶ Βοιώτιαι Θῆβαι προστῆναι τοῦ Ἑλληνικοῦ ποτὲ ἀξιωθεῖσαι, αἱ μὲν ἠρήμωνται πανώλεθροι, τὸ δὲ ὄνομα τῶν Θηβῶν ἐς ἀκρόπολιν μόνην καὶ οἰκήτορας καταβέβηκεν οὐ πολλούς. τὰ δὲ ὑπερηρκότα πλούτῳ τὸ ἀρχαῖον, Θῆβαί τε αἱ Αἰγύπτιοι καὶ ὁ Μινύης Ὀρχομενὸς καὶ ἡ Δῆλος τὸ κοινὸν Ἑλλήνων ἐμπόριον, αἱ μὲν ἀνδρὸς ἰδιώτου μέσου δυνάμει χρημάτων καταδέουσιν ἐς εὐδαιμονίαν, ἡ Δῆλος δέ, ἀφελόντι τοὺς ἀφικνουμένους παρ' Ἀθηναίων ἐς τοῦ ἱεροῦ τὴν φρουράν, Δηλίων γε ἕνεκα ἔρημός ἐστιν ἀνθρώπων. Βαβυλῶνος δὲ τοῦ μὲν Βήλου 3
τὸ ἱερὸν λείπεται, Βαβυλῶνος δὲ ταύτης, ἥντινα εἶδε πόλεων τῶν τότε μεγίστην ἥλιος, οὐδὲν ἔτι ἦν εἰ μὴ

τεῖχος, καθὰ καὶ Τίρυνθος τῆς ἐν τῇ Ἀργολίδι. ταῦτα μὲν δὴ ἐποίησεν ὁ δαίμων εἶναι τὸ μηδέν· ἡ δὲ Ἀλεξάνδρου πόλις ἐν Αἰγύπτῳ καὶ ἡ Σελεύκου παρὰ τῷ Ὀρόντῃ χθές τε ᾠκισμέναι καὶ πρῴην ἐς τοσοῦτο ἐπιδεδώκασι μεγέθους καὶ εὐδαιμονίας, ὅτι σφᾶς ἡ τύχη δεξιοῦται.
4 2. Ἐπιδείκνυται δὲ καὶ ἐν τῷδε ἔτι τὴν ἰσχὺν μείζονα καὶ θαύματος πλείονος ἢ κατὰ συμφορὰς καὶ εὐπραγίας πόλεων· Λήμνου γὰρ πλοῦν ἀπεῖχεν οὐ πολὺν Χρύση νῆσος, ἐν ᾗ καὶ τῷ Φιλοκτήτῃ γενέσθαι συμφορὰν ἐκ τοῦ ὕδρου φασί· ταύτην κατέλαβεν ὁ κλύδων πᾶσαν, καὶ κατέδυ τε ἡ Χρύση καὶ ἠφάνισται κατὰ τοῦ βυθοῦ. νῆ- 669
σον δὲ ἄλλην καλουμένην Ἱερὰν *** τόνδε οὐκ ἦν χρόνον. οὕτω μὲν τὰ ἀνθρώπινα πρόσκαιρά τε καὶ οὐδαμῶς ἐστιν ἐχυρά.

XXXIV. Ἐκ δὲ Μεγάλης πόλεως ἰόντι ἐς Μεσσήνην, καὶ σταδίους μάλιστα προελθόντι ἑπτά, ἔστιν ἐν ἀριστερᾷ τῆς λεωφόρου θεῶν ἱερόν· καλοῦσι δὲ καὶ αὐτὰς τὰς θεὰς καὶ τὴν χώραν τὴν περὶ τὸ ἱερὸν Μανίας· δοκεῖν δέ μοι, θεῶν τῶν Εὐμενίδων ἐστὶν ἐπίκλησις, καὶ Ὀρέστην ἐπὶ τῷ φόνῳ τῆς μητρός φασιν αὐτόθι μανῆναι.
2 2. Οὐ πόρρω δὲ τοῦ ἱεροῦ γῆς χῶμά ἐστιν οὐ μέγα, ἐπίθημα ἔχον λίθου πεποιημένον δάκτυλον, καὶ δὴ καὶ ὄνομα τῷ χώματί ἐστι Δακτύλου μνῆμα· ἐνταῦθα ἔκφρονα Ὀρέστην γενόμενον λέγουσιν ἕνα τῆς ἑτέρας τῶν χειρῶν ἀποφαγεῖν δάκτυλον. τούτῳ δέ ἐστιν ἕτερον συνεχὲς χωρίον Ἄκη καλούμενον, ὅτι ἐγένετο ἐν αὐτῷ τῆς νόσου τῷ Ὀρέστῃ τὰ ἰάματα· πεποίηται δὲ Εὐμενίσι καὶ
3 αὐτόθι ἱερόν. ταύτας τὰς θεάς, ἡνίκα τὸν Ὀρέστην ἔκφρονα ἔμελλον ποιήσειν, φασὶν αὐτῷ φανῆναι μελαίνας· ὡς δὲ ἀπέφαγε τὸν δάκτυλον, τὰς δὲ αὖθις δοκεῖν οἱ λευκὰς εἶναι, καὶ αὐτὸν σωφρονῆσαί τε ἐπὶ τῇ θέᾳ, καὶ οὕτω ταῖς μὲν ἐνήγισεν ἀποτρέπων τὸ μήνιμα αὐτῶν,

ταῖς δὲ ἔθυσε ταῖς λευκαῖς· ὁμοῦ δὲ αὐταῖς καὶ Χάρισι θύειν νομίζουσι. πρὸς δὲ τῷ χωρίῳ τοῖς Ἄκεσιν ἕτερόν ἐστιν ** ὀνομαζόμενον ἱερόν, ὅτι Ὀρέστης ἐνταῦθα ἐκείρατο τὴν κόμην, ἐπειδὴ ἐντὸς ἐγένετο αὐτοῦ. Πελοπον- 4
νησίων δὲ οἱ τὰ ἀρχαῖα μνημονεύοντες πρότερα τῷ Ὀρέστῃ τὰ ἐν Ἀρκαδίᾳ γενέσθαι φασὶν ὑπὸ Ἐρινύων τῶν Κλυταιμνήστρας ἢ ἐν Ἀρείῳ πάγῳ τὴν κρίσιν, καὶ αὐτῷ κατήγορον οὐ τὸν Τυνδάρεων, περιεῖναι γὰρ οὐκέτι
670 ἐκεῖνον, Περίλαον δὲ ἐπιστῆναι, δίκην ἐπὶ τῷ αἵματι τῆς μητρὸς αἰτοῦντα, ἅτε ἀνεψιὸν τῆς Κλυταιμνήστρας· Ἰκαρίου γὰρ παῖδα εἶναι Περίλαον, γενέσθαι δὲ ὕστερον καὶ θυγατέρας τῷ Ἰκαρίῳ.

3. Ἐκ Μανιῶν δὲ ὁδὸς ἐπὶ τὸν Ἀλφειόν ἐστιν ὅσον 5
πέντε σταδίων καὶ δέκα· κατὰ τοῦτο Γαθεάτας ποταμὸς ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν· ἐς δὲ τὸν Γαθεάταν πρότερον ἔτι κάτεισιν ὁ Καρνίων. τούτῳ μὲν δὴ αἱ πηγαὶ γῆς εἰσὶ τῆς Αἰγύτιδος ὑπὸ τοῦ Ἀπόλλωνος τοῦ Κερεάτα τὸ ἱερόν, τῷ Γαθεάτᾳ δὲ τῆς Κρωμίτιδος χώρας ἐν Γαθέαις. ἡ δὲ 6
Κρωμῖτις ἀνωτέρω τοῦ Ἀλφειοῦ σταδίους ὡς τεσσαράκοντά ἐστι, καὶ ἐν αὐτῇ πόλεως Κρώμων οὐ παντάπασι τὰ ἐρείπια ἦν ἐξίτηλα. ἐκ δὲ Κρώμων ὡς εἴκοσι στάδιά ἐστιν ἐπὶ Νυμφάδα· καταρρεῖται δὲ ὕδατι καὶ δένδρων ἀνάπλεώς ἐστιν ἡ Νυμφάς. καὶ ἀπ' αὐτῆς στάδια εἴκοσί ἐστιν ἐπὶ τὸ Ἑρμαῖον, ἐς ὃ Μεσσηνίοις καὶ Μεγαλοπολίταις εἰσὶν ὅροι· πεποίηνται δὲ αὐτόθι καὶ Ἑρμῆν ἐπὶ στήλῃ.

XXXV. Αὕτη μὲν ἐπὶ Μεσσήνην, ἑτέρα δὲ ἐκ Μεγάλης πόλεως ἐπὶ Καρνάσιον ἄγει τὸ Μεσσηνίων· καὶ ταύτῃ πρῶτα μέν σε ὁ Ἀλφειὸς ἐκδέξεται, καθότι καὶ Μαλοῦς καὶ ὁ Σκῦρος ἐς αὐτὸν κατέρχονται προανακοινωσάμενοι τὸ ῥεῦμα. Αὐτόθεν δὲ ἔχων τὸν Μαλοῦντα ἐν δεξιᾷ μετὰ σταδίους ὡς τριάκοντα διαβήσῃ τε αὐτὸν

καὶ ἀναβήσῃ δι' ὁδοῦ προσαντεστέρας ἐς χωρίον καλού-
2 μενον Φαιδρίαν. 2. Φαιδρίου δὲ ὡς πέντε ἀπέχει καὶ δέκα
σταδίους κατὰ Δέσποιναν ὀνομαζόμενον Ἑρμαῖον· ὅροι
Μεσσηνίων πρὸς Μεγαλοπολίτας καὶ οὗτοι, καὶ ἀγάλ-
ματα οὐ μεγάλα Δεσποίνης τε καὶ Δήμητρος, ἔτι δὲ καὶ
Ἑρμοῦ πεποίηται καὶ Ἡρακλέους· δοκεῖν δέ μοι καὶ τὸ
ὑπὸ Δαιδάλου ποιηθὲν τῷ Ἡρακλεῖ ξόανον ἐν μεθορίῳ
τῆς Μεσσηνίας καὶ Ἀρκάδων ἐνταῦθα εἱστήκει.

3 3. Ἡ δὲ ἐς Λακεδαίμονα ἐκ Μεγάλης πόλεως ὁδός,
ἐπὶ μὲν τὸν Ἀλφειὸν στάδιοι τριάκοντά εἰσιν· ἀπὸ δὲ
τοῦδε παρὰ ποταμὸν ὁδεύσας Θειοῦντα, κάτεισι δὲ καὶ
ὁ Θειοῦς οὗτος ἐς τὸν Ἀλφειόν, ἀπολιπὼν οὖν τὸν Θει-
οῦντα ἐν ἀριστερᾷ σταδίους ἀπὸ τοῦ Ἀλφειοῦ τεσσαρά-
κοντα ἥξεις μάλιστα ἐς Φαλαισίας· ἀπέχουσι δὲ αἱ Φα-
λαισίαι σταδίους εἴκοσι τοῦ Ἑρμαίου τοῦ κατὰ Βελεμίναν. 671
4 4. λέγουσι μὲν δὴ οἱ Ἀρκάδες τὴν Βελεμίναν τῆς σφετέ-
ρας οὖσαν τὸ ἀρχαῖον ἀποτεμέσθαι Λακεδαιμονίους· λέ-
γειν δὲ οὐκ εἰκότα ἐφαίνοντό μοι καὶ ἄλλων ἕνεκα, καὶ
μάλιστα ὅτι μοι δοκοῦσι Θηβαῖοι μηδὲ τοῦτο ἐλασσουμέ-
νους περιιδεῖν τοὺς Ἀρκάδας, εἴ σφισιν ἔσεσθαι σὺν τῷ
δικαίῳ τὸ ἐπανόρθωμα ἔμελλεν.

5 5. Εἰσὶ δὲ ἐκ Μεγάλης πόλεως καὶ ἐς τὰ χωρία ὁδοὶ
τὰ ἐντὸς Ἀρκαδίας, ἐς μὲν Μεθύδριον ἑβδομήκοντα
στάδιοι καὶ ἑκατόν, τρισὶ δὲ ἀπὸ Μεγάλης πόλεως ἀπω-
τέρω σταδίοις καὶ δέκα Σκιάδις τε καλούμενον χωρίον
καὶ Ἀρτέμιδος Σκιαδίτιδος ἐρείπιά ἐστιν ἱεροῦ· ποιῆσαι
δὲ αὐτὸ ἐλέγετο Ἀριστόδημος ὁ τυραννήσας. Ἐντεῦθεν
μετὰ σταδίους ὡς δέκα πόλεως Χαρισιῶν ὑπομνήματά
ἐστιν οὐ πολλά, σταδίων δὲ ἄλλων δέκα ἐστὶν ἀπὸ Χα-
6 ρισιῶν ἐς Τρικολώνους ὁδός. 6. πόλις δὲ ἦσαν καὶ οἱ Τρι-
κόλωνοί ποτε· μένει δὲ αὐτόθι καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ λό-
φου Ποσειδῶνος ἱερὸν καὶ ἄγαλμα τετράγωνον, καὶ δέν-

δρων περὶ τὸ ἱερόν ἐστιν ἄλσος. Ταύταις μὲν δὴ οἱ Λυ-
κάονος παῖδες ἐγένοντο οἰκισταί, Ζοιτίαν δὲ ἀπωτέρω
μὲν Τρικολώνων πέντε που καὶ δέκα σταδίοις, κειμένην
δὲ οὐ κατ' εὐθύ, ἀλλ' ἐκ Τρικολώνων ἐν ἀριστερᾷ, Ζοι-
τέα οἰκίσαι τὸν Τρικολώνου λέγουσι. Παρωρεὺς δὲ ὁ νε-
ώτερος Τρικολώνου τῶν παίδων Παρωρίαν καὶ οὗτος
ἔκτισεν, ἀπέχουσαν Ζοιτίας σταδίους δέκα. ἔρημοι δὲ 7
[καὶ] ἐς ἐμὲ ἦσαν ἀμφότεραι· μένει δὲ ἐν Ζοιτίᾳ Δήμη-
τρος ναὸς καὶ Ἀρτέμιδος [οἳ καὶ ἐς ἐμὲ ἦσαν]. Ἐρείπια δὲ
πόλεων καὶ ἄλλα, Θυραίου μὲν σταδίοις πέντε ἀπωτέρω
Παρωρίας καὶ δέκα, τὰ δὲ Ὑψοῦντός ἐστιν ἐν ὄρει κει-
μένῳ μὲν ὑπὲρ τοῦ πεδίου, καλουμένῳ δὲ Ὑψοῦντι. ἡ
δὲ Θυραίου τε καὶ Ὑψοῦντος μεταξὺ ὀρεινὴ πᾶσά ἐστι καὶ
θηριώδης· Λυκάονος δὲ εἶναι Θυραῖόν τε καὶ Ὑψοῦντα
προεδήλωσεν ἡμῖν ὁ λόγος.

7. Τρικολώνων δέ ἐστιν ἐν δεξιᾷ πρῶτα μὲν ἀνάντης 8
ὁδὸς ἐπὶ πηγὴν καλουμένους Κρουνούς· σταδίους δὲ ὡς
τριάκοντα καταβάντι ἐκ Κρουνῶν τάφος ἐστὶ Καλλι-
στοῦς, χῶμα γῆς ὑψηλόν, δένδρα ἔχον πολλὰ μὲν τῶν
672 ἀκάρπων, πολλὰ δὲ καὶ ἥμερα. ἐπὶ δὲ ἄκρῳ τῷ χώματι
ἱερόν ἐστιν Ἀρτέμιδος ἐπίκλησιν Καλλίστης· δοκεῖν δέ
μοι καὶ Πάμφως μαθών τι παρὰ Ἀρκάδων πρῶτος Ἄρτε-
μιν ἐν τοῖς ἔπεσιν ὠνόμασε Καλλίστην. Σταδίους δὲ αὐ- 9
τόθεν μὲν πέντε καὶ εἴκοσι, Τρικολώνων δὲ ἑκατὸν τοὺς
σύμπαντας ἀπέχουσα ἐπί γε τοῦ Ἑλισσόντος, κατὰ δὲ
τὴν εὐθεῖαν Μεθυδρίου, αὕτη γὰρ δὴ ἐκ Τρικολώνων
ἔτι λείπεται, Ἀνεμῶσά τέ ἐστι χωρίον καὶ ὄρος Φάλαν-
θον, ἐν αὐτῷ δὲ ἐρείπιά ἐστι Φαλάνθου πόλεως· Ἀγε-
λάου δὲ τοῦ Στυμφήλου παῖδα εἶναι τὸν Φάλανθον λέ-
γουσιν. 8. Ὑπὲρ τούτου δὲ πεδίον τέ ἐστι Πώλου καλού- 10
μενον, καὶ μετ' αὐτὸ Σχοινοῦς, ἀπὸ ἀνδρὸς Βοιωτοῦ
Σχοινέως ἔχων τὴν κλῆσιν. εἰ δὲ ὁ Σχοινεὺς ἀπεδήμη-

σεν οὗτος παρὰ τοὺς Ἀρκάδας, εἶεν ἂν καὶ οἱ τῆς Ἀταλάντης δρόμοι σύνεγγυς τῷ Σχοινοῦντι ὄντες ἀπὸ τῆς τούτου θυγατρὸς τὸ ὄνομα εἰληφότες. Ἑξῆς δέ ἐστιν ...., ἐμοὶ δοκεῖν, καλούμενον, καὶ τοῖς πᾶσιν Ἀρκαδίαν εἶναι τὴν χώραν φασὶν ἐνταῦθα.

XXXVI. *Τὸ ἀπὸ τούτου δὲ ἐς μνήμην οὐδὲν ἄλλο ὅτι μὴ αὐτὸ τὸ Μεθύδριον λείπεται· ὁδὸς δὲ ἐκ Τρικολώνων ἐς αὐτὸ στάδιοι τριῶν δέοντες τεσσαράκοντα καὶ ἑκατόν. ὠνομάσθη μὲν δὴ Μεθύδριον, ὅτι κολωνός ἐστιν ὑψηλὸς Μαλοίτα τε ποταμοῦ καὶ Μυλάοντος μέσος, ἐφ' ᾧ τὴν πόλιν ὁ Ὀρχομενὸς ᾤκιζε· πρὶν δὲ ἢ συντελεῖν ἐς τὸ Μεγαλοπολιτικόν, γεγόνασι καὶ Μεθυδριεῦσιν*
2 *ἀνδράσιν Ὀλυμπικαὶ νῖκαι.* 2. *Ἔστι δὲ ἐν Μεθυδρίῳ Πο-* 673
σειδῶνός τε Ἱππίου ναός. οὗτος μὲν ἐπὶ τῷ Μυλάοντί ἐστι· τὸ δὲ ὄρος τὸ Θαυμάσιον καλούμενον κεῖται μὲν ὑπὲρ τὸν ποταμὸν τὸν Μαλοίταν, ἐθέλουσι δὲ οἱ Μεθυδριεῖς τὴν Ῥέαν, ἡνίκα τὸν Δία εἶχεν ἐν τῇ γαστρί, ἐς τοῦτο ἀφικέσθαι τὸ ὄρος, παρασκευάσασθαι δὲ αὐτῇ καὶ βοήθειαν, ἣν ὁ Κρόνος ἐπ' αὐτὴν ἴῃ, τόν τε Ὁπλάδαμον
3 *καὶ ἄλλους ὅσοι περὶ ἐκεῖνον ἦσαν Γίγαντες· καὶ τεκεῖν μὲν συγχωροῦσιν αὐτὴν ἐν μοίρᾳ τινὶ τοῦ Λυκαίου, τὴν δὲ ἐς τὸν Κρόνον ἀπάτην καὶ ἀντὶ τοῦ παιδὸς τὴν λεγομένην ὑπὸ Ἑλλήνων ἀντίδοσιν τοῦ λίθου γενέσθαι φασὶν ἐνταῦθα. ἔστι δὲ πρὸς τῇ κορυφῇ τοῦ ὄρους σπήλαιον τῆς Ῥέας, καὶ ἐς αὐτὸ ὅτι μὴ γυναιξὶ μόναις ἱεραῖς τῆς θεοῦ, ἀνθρώπων γε οὐδενὶ ἐσελθεῖν ἔστι τῶν ἄλλων.*

4 *Μεθυδρίου δὲ ὡς τριάκοντα ἀπέχει σταδίους Νυμφασία πηγή· τοσοῦτοι δὲ ἀπὸ Νυμφασίας ἕτεροι πρὸς τοὺς Μεγαλοπολιτῶν εἰσὶ καὶ Ὀρχομενίων τε κοινοὺς καὶ Καφυατῶν ὅρους.*

5 3. *Μεγαλοπολίταις δὲ διὰ τῶν ἐπὶ τὸ ἕλος ὀνομαζομένων πυλῶν, διὰ τούτων ὁδεύουσιν ἐς Μαίναλον παρα*

τὸν ποταμὸν τὸν Ἑλισσόντα ἔστι τῆς ὁδοῦ ἐν ἀριστερᾷ
Ἀγαθοῦ Θεοῦ ναός· εἰ δὲ ἀγαθῶν οἱ θεοὶ δοτῆρές εἰσιν
ἀνθρώποις, Ζεὺς δὲ ὕπατος θεῶν ἐστίν, ἑπόμενος ἄν
τις τῷ λόγῳ τὴν ἐπίκλησιν ταύτην Διὸς τεκμαίροιτο εἶ-
ναι. Προελθόντι δὲ οὐ πολὺ ἔστι μὲν γῆς χῶμα Ἀριστο-
δήμου τάφος, ὃν οὐδὲ τυραννοῦντα ἀφείλοντο μὴ ἐπο-
νομάσαι χρηστόν, ἔστι δὲ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Μα-
χανίτιδος, ὅτι βουλευμάτων ἐστὶν ἡ θεὸς παντοίων καὶ
ἐπιτεχνημάτων εὑρέτις. 4. Πεποίηται δὲ ἐν δεξιᾷ τῆς 6
ὁδοῦ Βορέᾳ τῷ ἀνέμῳ τέμενος, καί οἱ Μεγαλοπολῖται
θυσίας θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ θεῶν οὐδενὸς Βορέαν
ὕστερον ἄγουσιν ἐς τιμὴν ἅτε σωτῆρα γενόμενόν σφισιν
ἀπὸ Λακεδαιμονίων τε καὶ Ἄγιδος. ἑξῆς δὲ Οἴκλέους
τοῦ Ἀμφιαράου πατρὸς μνῆμά ἐστιν, εἴ γε δὴ ἐπέλαβεν
αὐτὸν τὸ χρεὼν ἐν Ἀρκαδίᾳ καὶ μὴ τῆς ἐπὶ Λαομέδοντα
674 Ἡρακλεῖ στρατείας μετασχόντα. μετὰ τοῦτό ἐστι Δήμη-
τρος καλουμένης ἐν ἕλει ναός τε καὶ ἄλσος· τοῦτο στα-
δίοις πέντε ἀπωτέρω τῆς πόλεως, γυναιξὶ δὲ ἐς αὐτὸ
ἔσοδός ἐστι μόναις. Τριάκοντα δέ ἐστιν ἀπωτέρω στα- 7
δίοις Παλίσκιος ὀνομαζομένη χώρα. ἐκ Παλισκίου δὲ ἀφι-
έντι μὲν ἐν ἀριστερᾷ τὸν Ἔλαφον ὄντα οὐκ ἀέναον, καὶ
προελθόντι ὅσον εἴκοσι σταδίους, ἄλλα τε ἐρείπια Πε-
ραιθέων καὶ ἱερὸν λείπεται Πανός. 5. ἢν δὲ τὸν χειμάρ-
ρουν διαβῇς, κατ' εὐθὺ πέντε μὲν σταδίοις καὶ δέκα
ἀπωτέρω τοῦ ποταμοῦ πεδίον ἐστί, διελθόντι δὲ τοῦτο,
τὸ ὄρος ὁμώνυμον τῷ πεδίῳ τὸ Μαινάλιον. τοῦ δὲ ὄρους
ὑπὸ τοῖς καταλήγουσι πόλεως σημεῖα Λυκόας καὶ Ἀρτέ-
μιδος ἱερὸν καὶ ἄγαλμά ἐστι χαλκοῦν Λυκοάτιδος. Ἐν δὲ 8
τοῖς κατὰ μεσημβρίαν τοῦ ὄρους Σουμητία ᾤκιστο. Ἐν
τούτῳ δέ εἰσι τῷ ὄρει καὶ αἱ καλούμεναι Τρίοδοι, καὶ τὰ
ὀστᾶ Ἀρκάδος τοῦ Καλλιστοῦς ἀνείλοντο ἐντεῦθεν κατὰ
τὸ ἐκ Δελφῶν μάντευμα οἱ Μαντινεῖς. λείπεται δὲ καὶ

αὐτῆς ἔτι ἐρείπια Μαινάλου, ναοῦ τε σημεῖα Ἀθηνᾶς,
καὶ στάδιον ἐς ἀθλητῶν ἀγῶνα, καὶ τὸ ἕτερον αὐτῶν ἐς
ἵππων δρόμον. Τὸ δὲ ὄρος τὸ Μαινάλιον ἱερὸν μάλιστα
εἶναι Πανὸς νομίζουσιν, ὥστε οἱ περὶ αὐτὸ καὶ ἐπακρο-
9 ᾶσθαι συρίζοντος τοῦ Πανὸς λέγουσι. 6. Τοῦ δὲ τῆς Δε-
σποίνης ἱεροῦ καὶ Μεγαλοπολιτῶν τοῦ ἄστεως στάδιοι
τεσσαράκοντα μεταξύ εἰσιν· ἥμισυ μὲν τῆς ὁδοῦ προς
τοῦ Ἀλφειοῦ τὸ ῥεῦμα, διαβάντων δὲ μετὰ μὲν δύο ἀπο
τοῦ Ἀλφειοῦ σταδίους Μακαρεῶν ἐστὶν ἐρείπια, αὐτόθεν
δὲ ἐς ἐρείπια ἄλλα τὰ Δασεῶν ἑπτά εἰσι στάδιοι, τοσοῦτοι
δὲ ἐκ Δασεῶν πρὸς τὸν Ἀκακήσιον ὀνομαζόμενον λόφον.
10 ὑπὸ τούτῳ δὲ τῷ λόφῳ πόλις τε ἦν Ἀκακήσιον, Ἑρμοῦ τε
Ἀκακησίου λίθου πεποιημένον ἄγαλμα καὶ ἐς ἡμᾶς ἐστὶν
ἐπὶ τοῦ λόφου· τραφῆναι δὲ Ἑρμῆν παῖδα αὐτόθι καὶ
Ἄκακον τὸν Λυκάονος γενέσθαι οἱ τροφέα Ἀρκάδων ἐστὶν 675
ἐς αὐτὸν λόγος. διάφορα δὲ τούτοις Θηβαῖοι, καὶ αὖθις
οὐχ ὁμολογοῦντα τοῖς Θηβαίων Ταναγραῖοι λέγουσιν.

XXXVII. Ἀπὸ δὲ Ἀκακησίου τέσσαρας σταδίους
ἀπέχει τὸ ἱερὸν τῆς Δεσποίνης. πρῶτα μὲν δὴ αὐτόθι
Ἡγεμόνης ναός ἐστιν Ἀρτέμιδος, καὶ χαλκοῦν ἄγαλμα
ἔχον δᾷδας· ποδῶν ἓξ εἶναι μάλιστα αὐτὸ εἰκάζομεν
ἐντεῦθεν δὲ ἐς τὸν ἱερὸν περίβολον τῆς Δεσποίνης ἐστὶν
ἔσοδος. ἰόντων δὲ ἐπὶ τὸν ναὸν στοά τέ ἐστιν ἐν δεξιᾷ
καὶ ἐν τῷ τοίχῳ λίθου λευκοῦ τύποι πεποιημένοι, καὶ
τῷ μέν εἰσιν ἐπειργασμέναι Μοῖραι καὶ Ζεὺς ἐπίκλησιν
Μοιραγέτης, δευτέρῳ δὲ Ἡρακλῆς τρίποδα Ἀπόλλωνα
ἀφαιρούμενος· ὁποῖα δὲ ἐς αὐτοὺς ἐπυνθανόμην γενέ-
σθαι, δηλώσω καὶ τοῦτο, ἢν ἐς τοῦ Φωκικοῦ λόγου τὰ
2 ἔχοντα ἐς Δελφοὺς ἀφικώμεθα. Ἐν δὲ τῇ στοᾷ τῇ παρὰ
τῇ Δεσποίνῃ μεταξὺ τῶν τύπων τῶν κατειλεγμένων πι-
νάκιόν ἐστι γεγραμμένον, ἔχον τὰ ἐς τὴν τελετήν. Νύμ-
φαι δέ εἰσι καὶ Πᾶνες ἐπὶ τῷ (τρίτῳ) τύπῳ, ἐπὶ δὲ τῷ

τετάρτῳ Πολύβιος ὁ Λυκόρτα· καί οἱ ἐπίγραμμά ἐστιν
ἐξ ἀρχῆς τε μὴ ἂν σφαλῆναι τὴν Ἑλλάδα, εἰ Πολυβίῳ τὰ
πάντα ἐπείθετο, καὶ ἁμαρτούσῃ δι' ἐκείνου βοήθειαν
αὐτῇ γενέσθαι μόνου. πρὸ δὲ τοῦ ναοῦ Δημητρί τέ ἐστι
βωμὸς καὶ ἕτερος Δεσποίνῃ, μετ' αὐτὸν δὲ μεγάλης
Μητρός. Θεῶν δὲ αὐτὰ τὰ ἀγάλματα, Δέσποινα καὶ ἡ 3
Δημήτηρ τε καὶ ὁ θρόνος ἐν ᾧ καθέζονται, καὶ τὸ ὑπό-
θημα τὸ ὑπὸ τοῖς ποσίν ἐστιν ἑνὸς ὁμοίως λίθου· καὶ
οὔτε τῶν ἐπὶ τῇ ἐσθῆτι οὔτε ὁπόσα εἴργασται περὶ τὸν
θρόνον οὐδέν ἐστιν ἑτέρου λίθου προσεχὲς σιδήρῳ καὶ
κόλλῃ, ἀλλὰ τὰ πάντα ἐστὶν εἷς λίθος. οὗτος οὐκ ἐσε-
κομίσθη σφίσιν ὁ λίθος, ἀλλὰ κατὰ ὄψιν ὀνείρατος λέ-
γουσιν αὐτὸν ἐξευρεῖν ἐντὸς τοῦ περιβόλου τὴν γῆν ὀρύ-
ξαντες. τῶν δὲ ἀγαλμάτων ἐστὶν ἑκατέρου μέγεθος κατὰ
τὸ Ἀθήνῃσιν ἄγαλμα μάλιστα τῆς Μητρός· Δαμοφῶντος 4
δὲ καὶ ταῦτα ἔργα. ἡ μὲν οὖν Δημήτηρ δᾷδα ἐν δεξιᾷ
φέρει, τὴν δὲ ἑτέραν χεῖρα ἐπιβέβληκεν ἐπὶ τὴν Δέσποι-
676 ναν· ἡ δὲ Δέσποινα σκῆπτρόν τε καὶ τὴν καλουμένην
κίστην ἐπὶ τοῖς γόνασιν ἔχει, τῆς δὲ ἔχεται τῇ δεξιᾷ τῆς
κίστης. τοῦ θρόνου δὲ ἑκατέρωθεν Ἄρτεμις μὲν παρὰ
τὴν Δήμητρα ἕστηκεν ἀμπεχομένη δέρμα ἐλάφου καὶ ἐπὶ
τῶν ὤμων φαρέτραν ἔχουσα, ἐν δὲ ταῖς χερσὶ τῇ μὲν
λαμπάδα ἔχει, τῇ δὲ δράκοντας δύο. παρὰ δὲ τὴν Ἄρτε-
μιν κατάκειται κύων, οἷαι θηρεύειν εἰσὶν ἐπιτήδειοι.
3. Πρὸς δὲ τῆς Δεσποίνης τῷ ἀγάλματι ἕστηκεν Ἄνυτος 5
σχῆμα ὡπλισμένου παρεχόμενος· φασὶ δὲ οἱ περὶ τὸ ἱερὸν
τραφῆναι τὴν Δέσποιναν ὑπὸ τοῦ Ἀνύτου, καὶ εἶναι
τῶν Τιτάνων καλουμένων καὶ τὸν Ἄνυτον. Τιτᾶνας δὲ
πρῶτος ἐς ποίησιν ἐσήγαγεν Ὅμηρος, θεοὺς εἶναι σφᾶς
ὑπὸ τῷ καλουμένῳ Ταρτάρῳ· καὶ ἔστιν ἐν Ἥρας ὅρκῳ
τὰ ἔπη. παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν
Τιτάνων τὸ ὄνομα Διονύσῳ τε συνέθηκεν ὄργια, καὶ

εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν
6 αὐτουργούς. τὰ μὲν δὴ ἐς τὸν Ἄνυτον ὑπὸ Ἀρκάδων
λέγεται· Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι καὶ οὐ
Λητοῦς, ὄντα Αἰγυπτίων τὸν λόγον Αἰσχύλος ἐδίδαξεν
Εὐφορίωνος τοὺς Ἕλληνας. Τὰ δὲ ἐς Κούρητας, οὗτοι
γὰρ ὑπὸ τῶν ἀγαλμάτων πεποίηνται, καὶ τὰ ἐς Κορύ-
βαντας ἐπειργασμένους ἐπὶ τοῦ βάθρου, γένος δὲ οἵδε
ἀλλοῖον καὶ οὐ Κούρητες, τὰ ἐς τούτους παρίημι ἐπιστά
7 μενος. 4. Τῶν δὲ ἡμέρων οἱ Ἀρκάδες δένδρων ἁπάντων
πλὴν ῥοιᾶς ἐσκομίζουσιν ἐς τὸ ἱερόν. Ἐν δεξιᾷ δὲ ἐξιόντι
ἐκ τοῦ ναοῦ κάτοπτρον ἡρμοσμένον ἐστὶν ἐν τῷ τοίχῳ·
τοῦτο ἤν τις προσβλέπῃ τὸ κάτοπτρον, ἑαυτὸν μὲν ἤτοι
παντάπασιν ἀμυδρῶς ἢ οὐδὲ ὄψεται [τὴν] ἀρχήν, τὰ δὲ
ἀγάλματα τῶν θεῶν καὶ αὐτὰ καὶ τὸν θρόνον ἔστιν ἐναρ-
8 γῶς θεάσασθαι. 5. Παρὰ δὲ τὸν ναὸν τῆς Δεσποίνης ὀλί-
γον ἐπαναβάντι ἐν δεξιᾷ Μέγαρόν ἐστι καλούμενον, καὶ
τελετήν τε δρῶσιν ἐνταῦθα καὶ τῇ Δεσποίνῃ θύουσιν
ἱερεῖα οἱ Ἀρκάδες πολλά τε καὶ ἄφθονα. θύει μὲν δὴ αὐ-
τῶν ἕκαστος ὅ τι κέκτηται· τῶν ἱερείων δὲ οὐ τὰς φάρυγ-
γας ἀποτέμνει ὥσπερ ἐπὶ ταῖς ἄλλαις θυσίαις, κῶλον δὲ
ὅ τι ἂν τύχῃ, τοῦτο ἕκαστος ἀπέκοψε τοῦ θύματος. 677
9 6. Ταύτην μάλιστα θεῶν σέβουσιν οἱ Ἀρκάδες τὴν Δέ-
σποιναν, θυγατέρα δὲ αὐτὴν Ποσειδῶνός φασιν εἶναι
καὶ Δήμητρος. ἐπίκλησις ἐς τοὺς πολλούς ἐστιν αὐτῇ
Δέσποινα, καθάπερ καὶ τὴν ἐκ Διὸς Κόρην ἐπονομάζου-
σιν, ἰδίᾳ δέ ἐστιν ὄνομα Περσεφόνη, καθὰ Ὅμηρος καὶ
ἔτι πρότερον Πάμφως ἐποίησαν· τῆς δὲ Δεσποίνης τὸ
10 ὄνομα ἔδεισα ἐς τοὺς ἀτελέστους γράφειν. 7. Ὑπὲρ δὲ τὸ
καλούμενον Μέγαρόν ἐστιν ἄλσος τῆς Δεσποίνης ἱερὸν
θριγκῷ λίθων περιεχόμενον· ἐντὸς δὲ αὐτοῦ δένδρα καὶ
ἄλλα καὶ ἐλαία καὶ πρῖνος ἐκ ῥίζης μιᾶς πεφύκασι· τοῦτο
οὐ γεωργοῦ σοφίας ἐστὶν ἔργον. ὑπὲρ δὲ τὸ ἄλσος καὶ

Ἱππίου Ποσειδῶνος, ἅτε πατρὸς τῆς Δεσποίνης, καὶ θεῶν ἄλλων εἰσὶ βωμοί· τῷ τελευταίῳ δὲ ἐπίγραμμά ἐστι θεοῖς αὐτὸν τοῖς πᾶσιν εἶναι κοινόν.

8. Ἐντεῦθεν δὲ ἀναβήσῃ διὰ κλίμακος ἐς ἱερὸν Πα- 11
νός· πεποίηται δὲ καὶ στοὰ ἐς τὸ ἱερὸν καὶ ἄγαλμα οὐ μέγα. θεῶν δὲ ὁμοίως τοῖς δυνατωτάτοις καὶ τούτῳ μέτεστι τῷ Πανὶ ἀνθρώπων τε εὐχὰς ἄγειν ἐς τέλος καὶ ὁποῖα ἔοικεν ἀποδοῦναι πονηροῖς. παρὰ τούτῳ τῷ Πανὶ πῦρ οὔ ποτε ἀποσβεννύμενον καίεται. 9. λέγεται δὲ ὡς τὰ ἔτι παλαιότερα καὶ μαντεύοιτο οὗτος ὁ θεός, προφῆτιν δὲ Ἐρατὼ νύμφην αὐτῷ γενέσθαι ταύτην ἣ Ἀρ-
κάδι τῷ Καλλιστοῦς συνῴκησε. μνημονεύουσι δὲ καὶ 12
ἔπη τῆς Ἐρατοῦς, ἃ δὴ καὶ αὐτὸς ἐπελεξάμην. ἐνταῦθα ἔστι μὲν βωμὸς Ἄρεως, ἔστι δὲ ἀγάλματα Ἀφροδίτης ἐν ναῷ, λίθου τὸ ἕτερον λευκοῦ, τὸ δὲ ἀρχαιότερον αὐτῶν ξύλου. ὡσαύτως δὲ καὶ Ἀπόλλωνός τε καὶ Ἀθηνᾶς ξόανά ἐστι· τῇ δὲ Ἀθηνᾷ καὶ ἱερὸν πεποίηται.

678 XXXVIII. Ἀνωτέρω δὲ ὀλίγον τείχους τε περίβολος τῆς Λυκοσούρας ἐστὶ καὶ οἰκήτορες ἔνεισιν οὐ πολλοί. πόλεων δέ, ὁπόσας ἐπὶ τῇ ἠπείρῳ ἔδειξε γῆ καὶ ἐν νήσοις, Λυκόσουρά ἐστι πρεσβυτάτη, καὶ ταύτην εἶδεν ὁ ἥλιος πρώτην· ἀπὸ ταύτης δὲ οἱ λοιποὶ ποιεῖσθαι πόλεις μεμαθήκασιν ἄνθρωποι.

2. Ἐν ἀριστερᾷ δὲ τοῦ ἱεροῦ τῆς Δεσποίνης τὸ ὄρος 2
ἐστὶ τὸ Λύκαιον· καλοῦσι δὲ αὐτὸ καὶ Ὄλυμπον, καὶ Ἱεράν [γε] ἕτεροι τῶν Ἀρκάδων κορυφήν. τραφῆναι δὲ τὸν Δία φασὶν ἐν τῷ ὄρει τούτῳ· καὶ χώρα τέ ἐστιν ἐν τῷ Λυκαίῳ Κρητέα καλουμένη, αὕτη δὲ ἡ Κρητέα ἐστὶν ἐξ ἀριστερᾶς Ἀπόλλωνος ἄλσους ἐπίκλησιν Παρρασίου, καὶ τὴν Κρήτην ἔνθα ὁ Κρητῶν ἔχει λόγος τραφῆναι Δία, τὸ χωρίον τοῦτο εἶναι καὶ οὐ τὴν νῆσον ἀμφισβητοῦσιν
οἱ Ἀρκάδες. 3. Ταῖς Νύμφαις δὲ ὀνόματα, ὑφ᾽ ὧν τὸν 3

Δία τραφῆναι λέγουσι, τίθενται Θεισόαν καὶ Νέδαν καὶ Ἁγνώ· καὶ ἀπὸ μὲν τῆς Θεισόας πόλις ᾠκεῖτο ἐν τῇ Παρρασίᾳ, τὰ δὲ ἐπ' ἐμοῦ μοίρας τῆς Μεγαλοπολίτιδός ἐστιν ἡ Θεισόα κώμη, τῆς Νέδας δὲ ὁ ποταμὸς τὸ ὄνομα ἔσχηκε, τῆς δὲ Ἁγνοῦς [ἡ] ἐν τῷ ὄρει τῷ Λυκαίῳ πηγή, ἣ κατὰ τὰ αὐτὰ ποταμῷ τῷ Ἴστρῳ πέφυκεν ἴσον παρέχεσθαι τὸ
4 ὕδωρ ἐν χειμῶνι ὁμοίως καὶ ἐν ὥρᾳ θέρους. ἢν δὲ αὐχμὸς χρόνον ἐπέχῃ πολὺν καὶ ἤδη σφίσι τὰ σπέρματα ἐν τῇ γῇ καὶ τὰ δένδρα αὐαίνηται, τηνικαῦτα ὁ ἱερεὺς τοῦ Λυκαίου Διὸς προσευξάμενος ἐς τὸ ὕδωρ καὶ θύσας ὁπόσα ἐστὶν αὐτῷ νόμος, καθίησι δρυὸς κλάδον ἐπιπολῆς καὶ οὐκ ἐς βάθος τῆς πηγῆς· ἀνακινηθέντος δὲ τοῦ ὕδατος ἄνεισιν ἀχλὺς ἐοικυῖα ὁμίχλῃ· διαλιποῦσα δὲ ὀλίγον γίνεται νέφος ἡ ἀχλύς, καὶ ἐς αὑτὴν ἄλλα ἐπαγομένη τῶν νεφῶν ὑετὸν τοῖς Ἀρκάσιν ἐς τὴν γῆν κατιέναι
5 ποιεῖ. 4. Ἔστι δὲ ἐν τῷ Λυκαίῳ Πανός τε ἱερὸν καὶ περὶ αὐτὸ ἄλσος δένδρων, καὶ ἱππόδρομός τε καὶ πρὸ αὐτοῦ στάδιον· τὸ δὲ ἀρχαῖον τῶν Λυκαίων ἦγον τὸν ἀγῶνα ἐνταῦθα. ἔστι δὲ αὐτόθι καὶ ἀνδριάντων βάθρα, οὐκ ἐπόντων ἔτι ἀνδριάντων· ἐλεγεῖον δὲ ἐπὶ τῶν βάθρων ἑνὶ Ἀστυάνακτός φησιν εἶναι τὴν εἰκόνα, τὸν δὲ Ἀστυάνακτα εἶναι γένος τῶν ἀπὸ Ἀρκάδος.

6 5. Τὸ δὲ ὄρος παρέχεται τὸ Λύκαιον καὶ ἄλλα ἐς 679
θαῦμα καὶ μάλιστα τόδε. τέμενός ἐστιν ἐν αὐτῷ Λυκαίου Διός, ἔσοδος δὲ οὐκ ἔστιν ἐς αὐτὸ ἀνθρώποις· ὑπεριδόντα δὲ τοῦ νόμου καὶ ἐσελθόντα ἀνάγκη πᾶσα αὐτὸν ἐνιαυτοῦ πρόσω μὴ βιῶναι. καὶ τάδε ἔτι ἐλέγετο, τὰ ἐντὸς τοῦ τεμένους γενόμενα ὁμοίως πάντα καὶ θηρία καὶ ἀνθρώπους οὐ παρέχεσθαι σκιάν· καὶ διὰ τοῦτο ἐς τὸ τέμενος θηρίου καταφεύγοντος οὐκ ἐθέλει οἱ συνεσπίπτειν ὁ κυνηγέτης, ἀλλὰ ὑπομένων ἐκτὸς καὶ ὁρῶν τὸ θηρίον οὐδεμίαν ἀπ' αὐτοῦ θεᾶται σκιάν. Χρόνου

μὲν δὴ τὸν ἴσον ἔπεισί τε ὁ ἥλιος τὸν ἐν τῷ οὐρανῷ καρκίνον καὶ ἐν Συήνῃ τῇ πρὸ Αἰθιοπίας οὔτε ἀπὸ δένδρων οὔτε ἀπὸ τῶν ζῴων γενέσθαι σκιὰν ἔστι· τὸ δὲ ἐν τῷ Λυκαίῳ τέμενος τὸ αὐτὸ ἐς τὰς σκιὰς ἀεί τε καὶ ἐπὶ πασῶν πέπονθε τῶν ὡρῶν.

Ἔστι δὲ ἐπὶ τῇ ἄκρᾳ τῇ ἀνωτάτω τοῦ ὄρους γῆς 7
χῶμα, Διὸς τοῦ Λυκαίου βωμός, καὶ ἡ Πελοπόννησος τὰ πολλά ἐστιν ἀπ' αὐτοῦ σύνοπτος· πρὸ δὲ τοῦ βωμοῦ κίονες δύο ὡς ἐπὶ ἀνίσχοντα ἑστήκασιν ἥλιον, ἀετοὶ δὲ ἐπ' αὐτοῖς ἐπίχρυσοι τά γε ἔτι παλαιότερα ἐπεποίηντο. ἐπὶ τούτου τοῦ βωμοῦ τῷ Λυκαίῳ Διὶ θύουσιν ἐν ἀπορρήτῳ· πολυπραγμονῆσαι δὲ οὔ μοι τὰ ἐς τὴν θυσίαν ἡδὺ ἦν, ἐχέτω δὲ ὡς ἔχει καὶ ὡς ἔσχεν ἐξ ἀρχῆς.

6. Ἔστι δὲ ἐν τοῖς πρὸς ἀνατολὰς τοῦ ὄρους Ἀπόλ- 8
λωνος ἱερὸν ἐπίκλησιν Παρρασίου· τίθενται δὲ αὐτῷ καὶ Πύθιον ὄνομα. ἄγοντες δὲ τῷ θεῷ κατὰ ἔτος ἑορτὴν θύουσι μὲν ἐν τῇ ἀγορᾷ κάπρον τῷ Ἀπόλλωνι τῷ Ἐπικουρίῳ, θύσαντες δὲ ἐνταῦθα αὐτίκα τὸ ἱερεῖον κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Παρρασίου σὺν αὐλῷ τε καὶ πομπῇ, καὶ τά τε μηρία ἐκτεμόντες καίουσι καὶ δὴ καὶ ἀναλίσκουσιν αὐτόθι τοῦ ἱερείου τὰ κρέα. ταῦτα μὲν οὕτω ποιεῖν νομίζουσι.

7. Τοῦ Λυκαίου δὲ τὰ πρὸς τῆς ἄρκτου γῆ [τε] ἡ 9
Θεισοαία· οἱ δὲ ἄνθρωποι μάλιστα οἱ ταύτῃ νύμφην τὴν
680 Θεισόαν ἄγουσιν ἐν τιμῇ. διὰ δὲ τῆς χώρας τῆς Θεισοαίας ῥέοντες ἐμβάλλουσιν ἐς τὸν Ἀλφειὸν Μυλάων, ἐπὶ δὲ αὐτῷ Νοῦς καὶ Ἀχελῷος καὶ Κέλαδός τε καὶ Νάλιφος. Ἀχελῴῳ δὲ τῷ Ἀρκάδι εἰσὶν ἄλλοι δύο ὁμώνυμοί τε αὐτῷ
ποταμοὶ καὶ τὰ ἐς δόξαν φανερώτεροι· τὸν μέν γε ἐπὶ 10
τὰς Ἐχινάδας κατιόντα Ἀχελῷον διὰ τῆς Ἀκαρνάνων καὶ δι' Αἰτωλίας ἔφησεν ἐν Ἰλιάδι Ὅμηρος ποταμῶν τῶν πάντων ἄρχοντα εἶναι, ἕτερον δὲ Ἀχελῷον ῥέοντα ἐκ Σι-

κύλου τοῦ ὄρους ἐποιήσατο αὐτόν τε τὸν ποταμὸν καὶ τὸ ὄρος τὸν Σίπυλον τοῦ λόγου προσθήκην τοῦ ἐς Νιόβην· τρίτῳ δ' οὖν καὶ τῷ περὶ τὸ ὄρος τὸ Λύκαιόν ἐστιν ὄνομα Ἀχελῷος.

11 8. Τῆς Λυκοσούρας δέ ἐστιν ἐν δεξιᾷ Νόμια ὄρη καλούμενα, καὶ Πανός τε ἱερὸν ἐν αὐτοῖς ἐστι Νομίου, καὶ τὸ χωρίον ὀνομάζουσι Μέλπειαν, τὸ ἀπὸ τῆς σύριγγος μέλος ἐνταῦθα Πανὸς εὑρεθῆναι λέγοντες. κληθῆναι δὲ τὰ ὄρη Νόμια προχειρότατον μέν ἐστιν εἰκάζειν ἐπὶ τοῦ Πανὸς ταῖς νομαῖς, αὐτοὶ δὲ οἱ Ἀρκάδες νύμφης εἶναί φασιν ὄνομα.

XXXIX. Παρὰ δὲ τὴν Λυκόσουραν ὡς ἐπὶ ἡλίου
δυσμὰς ποταμὸς Πλατανιστὼν παρέξεισιν· ἀνδρὶ δὲ
ἰόντι ἐς Φιγαλίαν ἀνάγκη πᾶσα διαβῆναι τὸν Πλατανι-
στῶνα. μετὰ δὲ αὐτόν ἐστιν ἄνοδος ὅσον τε σταδίους
2 τριάκοντα ἢ πλείους τῶν τριάκοντα οὐ πολλῷ. 2. Τὰ δὲ
ἐς τὸν Λυκάονος Φίγαλον, οὗτος γὰρ δὴ τῇ πόλει τὸ ἐξ
ἀρχῆς ἐγένετο οἰκιστής, καὶ ὡς μετέβαλεν ἀνὰ χρόνον
ἀπὸ Φιάλου Βουκολίωνος τὸ ὄνομα ἡ πόλις καὶ αὖθίς τε
ἀνεσώσατο τὸ ἀρχαῖον, τόδε μὲν καὶ πρότερον ἔτι ἐσή-
μαινεν ἡμῖν ὁ λόγος. Λέγεται δὲ καὶ ἄλλα οὐκ ἀξιόχρεα
ἐς πίστιν, ἄνδρα αὐτόχθονα εἶναι τὸν Φίγαλον καὶ οὐ
Λυκάονος παῖδα· τοῖς δὲ εἰρημένον ἐστὶν ὡς ἡ Φιγαλία
3 νύμφη τῶν καλουμένων εἴη Δρυάδων. Λακεδαιμόνιοι
δὲ ἡνίκα Ἀρκάσιν ἐπεχείρησαν καὶ ἐσέβαλον ἐς τὴν Φι- 681
γαλίαν στρατιᾷ, μάχῃ τε νικῶσι τοὺς ἐπιχωρίους καὶ
ἐπολιόρκουν προσκαθεζόμενοι· κινδυνεύοντος δὲ ἁλῶ-
ναι τοῦ τείχους ἐκδιδράσκουσιν οἱ Φιγαλεῖς, ἢ καὶ οἱ
Λακεδαιμόνιοι σφᾶς ἀφιᾶσιν ἐξελθεῖν ὑποσπόνδους.
Ἐγένετο δὲ ἡ τῆς Φιγαλίας ἅλωσις καὶ Φιγαλέων ἡ ἐξ
αὐτῆς φυγὴ Μιλτιάδου μὲν Ἀθήνησιν ἄρχοντος, δευ-
τέρῳ δὲ ἔτει τῆς τριακοστῆς Ὀλυμπιάδος, ἣν Χίονις Λά-

κων ενικα το τρίτον. Φιγαλέων δὲ τοῖς διαπεφευγόσιν 4
ἔδοξεν ἀφικομένοις ἐς Δελφοὺς ἐρωτᾶν ὑπὲρ καθόδου τὸν θεόν· καί σφισιν ἡ Πυθία καθ' αὑτοὺς μὲν πειρωμένοις ἐς Φιγαλίαν κατελθεῖν οὐχ ὁρᾶν ἔφη κάθοδον, εἰ δὲ λογάδας ἑκατὸν ἐξ Ὀρεσθασίου προσλάβοιεν, τοὺς μὲν ἀποθανεῖσθαι παρὰ τὴν μάχην, Φιγαλεῦσι δὲ ἔσεσθαι δι' αὐτῶν κάθοδον. Ὀρεσθάσιοι δὲ ὡς τὴν γενομένην Φιγαλεῦσιν ἐπύθοντο μαντείαν, ἄλλος ἔφθανεν ἄλλον σπουδῇ λογάδων τε τῶν ἑκατὸν αὐτὸς ἕκαστος γενέσθαι καὶ ἐξόδου τῆς ἐς Φιγαλίαν μετασχεῖν. παρελ- 5
θόντες δὲ ἐπὶ τὴν Λακεδαιμονίων φρουρὰν ἄγουσιν πάντα ἐς τέλος τὸν χρησμόν· καὶ γὰρ αὐτοῖς λόγου μαχεσαμένοις ἀξίως ἐπεγένετο ἡ τελευτή, καὶ ἐξελάσαντες τοὺς Σπαρτιάτας παρέσχον Φιγαλεῦσιν ἀπολαβεῖν τὴν πατρίδα. 3. Κεῖται δὲ ἡ Φιγαλία ἐπὶ μετεώρου μὲν καὶ ἀποτόμου τὰ πλέονα, καὶ ἐπὶ τῶν κρημνῶν ᾠκοδομημένα ἐστὶ τείχη σφίσιν· ἀνελθόντι δὲ ὁμαλής ἐστιν ὁ λόφος ἤδη καὶ ἐπίπεδος. ἔστι δὲ Σωτείρας τε ἱερὸν ἐνταῦθα Ἀρτέμιδος καὶ ἄγαλμα ὀρθὸν λίθου· ἐκ τούτου δὲ τοῦ ἱεροῦ καὶ τὰς πομπάς σφισι πέμπειν κατέστη. 4. Ἐν δὲ 6
τῷ γυμνασίῳ τὸ ἄγαλμα τοῦ Ἑρμοῦ ἀμπεχομένῳ μὲν ἔοικεν ἱμάτιον, καταλήγει δὲ οὐκ ἐς πόδας, ἀλλὰ ἐς τὸ τετράγωνον σχῆμα. πεποίηται δὲ καὶ Διονύσου ναός· ἐπίκλησις μέν ἐστιν αὐτῷ παρὰ τῶν ἐπιχωρίων Ἀκρατοφόρος, τὰ κάτω δὲ οὐκ ἔστι σύνοπτα τοῦ ἀγάλματος ὑπὸ δάφνης τε φύλλων καὶ κισσῶν. ὁπόσον δὲ αὐτοῦ καθορᾶν ἔστιν, ἐπαλήλιπται *** κιννάβαρι ἐκλάμπειν· εὑρίσκεσθαι δὲ ὑπὸ τῶν Ἰβήρων ὁμοῦ τῷ χρυσῷ λέγεται.

682 XL. Φιγαλεῦσι δὲ ἀνδριάς ἐστιν ἐπὶ τῆς ἀγορᾶς Ἀρραχίωνος τοῦ παγκρατιαστοῦ, τά τε ἄλλα ἀρχαῖος καὶ οὐχ ἥκιστα ἐπὶ τῷ σχήματι· οὐ διεστᾶσι μὲν πολὺ οἱ πόδες, καθεῖνται δὲ παρὰ πλευρὰν αἱ χεῖρες ἄχρι τῶν

γλουτῶν. πεποίηται μὲν δὴ ἡ εἰκὼν λίθου, λέγουσι δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτὴν γραφῆναι. καὶ τοῦτο μὲν ἠφάνιστο ὑπὸ τοῦ χρόνου, 2. τῷ δὲ Ἀρραχίωνι ἐγένοντο Ὀλυμπικαὶ νῖκαι δύο μὲν Ὀλυμπιάσι ταῖς πρὸ τῆς τετάρτης καὶ πεντηκοστῆς, ἐγένετο δὲ καὶ ἐν αὐτῇ σὺν δικαίῳ τε ἐκ τῶν ἑλλανοδικῶν καὶ Ἀρραχίωνος αὐτοῦ τῇ ἀρετῇ.
2 ὡς γὰρ δὴ πρὸς τὸν καταλειπόμενον ἔτι τῶν ἀνταγωνιστῶν ἐμάχετο ὑπὲρ τοῦ κοτίνου, ὁ μὲν προέλαβεν ὅστις δὴ ὁ ἀνταγωνιζόμενος, καὶ τοῖς ποσὶ τὸν Ἀρραχίωνα εἶχεν ἐξωκώς, καὶ τὸν τράχηλον ἐπίεξεν ἅμα αὐτοῦ ταῖς χερσίν· ὁ δὲ Ἀρραχίων ἐκκλᾷ τῶν ἐν τῷ ποδὶ τοῦ ἀνταγωνιζομένου δάκτυλον, καὶ Ἀρραχίων τε τὴν ψυχὴν ἀφίησιν ἀγχόμενος, καὶ ὁ ἄγχων τὸν Ἀρραχίωνα ὑπὸ τοῦ δακτύλου τῆς ὀδύνης κατὰ τὸν καιρὸν ἀπαγορεύει τὸν αὐτόν. Ἠλεῖοι δὲ ἐστεφάνωσάν τε καὶ ἀνηγόρευσαν νι-
3 κῶντα τοῦ Ἀρραχίωνος τὸν νεκρόν. 3. Ἐοικὸς δὲ καὶ Ἀργείους οἶδα ἐπὶ Κρεύγᾳ ποιήσαντας Ἐπιδαμνίῳ πύκτῃ· καὶ γὰρ Ἀργεῖοι τεθνεῶτι ἔδοσαν τῷ Κρεύγᾳ τῶν Νεμείων τὸν στέφανον, ὅτι ὁ πρὸς αὐτὸν μαχόμενος Δαμόξενος Συρακόσιος παρέβη τὰ ὡμολογημένα σφίσιν ἐς ἀλλήλους. ἐφέξειν μὲν γὰρ ἔμελλεν ἑσπέρᾳ πυκτεύουσιν αὐτοῖς, συνέθεντο δὲ ἐς ἐπήκοον ἀνὰ μέρος τὸν ἕτερον ὑποσχεῖν αὐτῶν τῷ ἑτέρῳ πληγήν. τοῖς δὲ πυκτεύουσιν οὐκ ἦν πω τηνικαῦτα ἱμὰς ὀξὺς ἐπὶ τῷ καρπῷ τῆς χειρὸς ἑκατέρας, ἀλλὰ ταῖς μειλίχαις ἔτι ἐπύκτευον, ὑπὸ τὸ κοῖλον δέοντες τῆς χειρός, ἵνα οἱ δάκτυλοί σφισιν ἀπολείπωνται γυμνοί· αἱ δὲ ἐκ βοέας ὠμῆς ἱμάντες λεπτοὶ τρόπον τινὰ ἀρχαῖον πεπλεγμένοι δι' ἀλλήλων ἦσαν
4 αἱ μειλίχαι. Τότε οὖν ὁ μὲν τὴν πληγὴν ἀφῆκεν ἐς τοῦ Δαμοξένου τὴν κεφαλήν· ὁ δὲ ἀνασχεῖν τὴν χεῖρα ὁ Δα- 683
μόξενος ἐκέλευσε τὸν Κρεύγαν, ἀνασχόντος δὲ παίει τοῖς δακτύλοις ὀρθοῖς ὑπὸ τὴν πλευράν, ὑπὸ δὲ ἀκμῆς

τε τῶν ὀνύχων καὶ βίας τῆς πληγῆς τὴν χεῖρα ἐς τὸ ἐντὸς
καθεὶς καὶ ἐπιλαβόμενος τῶν σπλάγχνων ἐς τὸ ἐκτὸς
ἕλκων ἀπέρρηξε. καὶ ὁ μὲν τὴν ψυχὴν αὐτίκα ὁ Κρεύγας
ἀφίησιν, οἱ δὲ Ἀργεῖοι τὸν Δαμόξενον ἅτε τὰ συγκείμενα
ὑπερβάντα καὶ ἀντὶ μιᾶς κεχρημένον πολλαῖς ἐς τὸν ἀν-
τίπαλον ταῖς πληγαῖς ἐξελαύνουσι. τῷ Κρεύγᾳ δὲ τὴν
νίκην τεθνεῶτι ἔδοσαν καὶ ἐποιήσαντο εἰκόνα ἐν Ἄργει
ἣ καὶ ἐς ἐμὲ ἔκειτο ἐν τοῦ Ἀπόλλωνος τοῦ Λυκίου.

XLI. Φιγαλεῦσι δὲ ἐπὶ τῆς ἀγορᾶς καὶ πολυάνδριον
τῶν λογάδων τῶν Ὀρεσθασίων ἐστί, καὶ ὡς ἥρωσιν αὐ-
τοῖς ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος. 2. Ποταμὸς δὲ ὁ καλού- 2
μενος Λύμαξ ἐκδίδωσι μὲν ἐς τὴν Νέδαν παρ' αὐτὴν
ῥέων Φιγαλίαν, γενέσθαι δὲ τοὔνομά φασι τῷ ποταμῷ
καθαρσίων τῶν Ῥέας ἕνεκα. ὡς γὰρ δὴ τεκοῦσαν τὸν Δία
ἐκάθηραν ἐπὶ ταῖς ὠδῖσιν αἱ Νύμφαι, τὰ καθάρματα ἐς
τοῦτον ἐμβάλλουσι τὸν ποταμόν· ὠνόμαζον δὲ ἄρα οἱ
ἀρχαῖοι αὐτὰ λύματα. μαρτυρεῖ δὲ καὶ Ὅμηρος, ἀπολυ-
μαίνεσθαί τε ἐπὶ [τῇ] λύσει τοῦ λοιμοῦ τοὺς Ἕλληνας καὶ
ἐμβάλλειν τὰ λύματα εἰπὼν σφᾶς ἐς θάλασσαν. 3. Εἰσὶ 3
δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Κεραυσίῳ· τοῦ Λυ-
καίου δὲ μοῖρά ἐστι. καθότι [δὲ] ἐγγύτατα ἡ Νέδα Φιγα-
λέων τῆς πόλεως γίνεται, κατὰ τοῦτο οἱ Φιγαλέων παῖ-
δες ἀποκείρονται τῷ ποταμῷ τὰς κόμας. τὰ δὲ πρὸς
θαλάσσῃ καὶ ἀναπλεῖται ναυσὶν οὐ μεγάλαις ἡ Νέδα.
ποταμῶν δὲ ὁπόσους ἴσμεν Μαίανδρος μὲν σκολιῷ μά-
λιστα κάτεισι τῷ ῥεύματι, ἔς τε τὸ ἄνω καμπὰς καὶ αὖθις
684 ἐπιστροφὰς παρεχόμενος πλείστας· δεύτερα δὲ ἑλιγμῶν
γε ἕνεκα φέροιτο ἂν ἡ Νέδα. Σταδίοις δὲ ὅσον δώδεκα 4
ἀνωτέρω Φιγαλίας θερμά τέ ἐστι λουτρά, καὶ τούτων οὐ
πόρρω κάτεισιν ὁ Λύμαξ ἐς τὴν Νέδαν· ᾗ δὲ συμβάλ-
λουσι τὰ ῥεύματα, ἔστι τῆς Εὐρυνόμης τὸ ἱερόν, ἅγιόν
τε ἐκ παλαιοῦ καὶ ὑπὸ τραχύτητος τοῦ χωρίου δυσπρόσ-

οδον· περὶ αὐτὸ καὶ κυπάρισσοι πεφύκασι πολλαί τε
5 καὶ ἀλλήλαις συνεχεῖς. τὴν δὲ Εὐρυνόμην ὁ μὲν τῶν
Φιγαλέων δῆμος ἐπίκλησιν εἶναι πεπίστευκεν Ἀρτέμιδος·
ὅσοι δὲ αὐτῶν παρειλήφασιν ὑπομνήματα ἀρχαῖα, θυ-
γατέρα Ὠκεανοῦ φασὶν εἶναι τὴν Εὐρυνόμην, ἧς δὴ καὶ
Ὅμηρος ἐν Ἰλιάδι ἐποιήσατο μνήμην, ὡς ὁμοῦ Θέτιδι
ὑποδέξαιτο Ἥφαιστον. ἡμέρᾳ δὲ τῇ αὐτῇ κατὰ ἔτος ἕκα-
στον τὸ ἱερὸν ἀνοιγνύουσι τῆς Εὐρυνόμης· τὸν δὲ ἄλλον
6 χρόνον οὔ σφισιν ἀνοιγνύναι καθέστηκεν. τηνικαῦτα
δὲ καὶ θυσίας δημοσίᾳ τε καὶ ἰδιῶται θύουσιν. ἀφικέ-
σθαι μὲν δή μοι τῆς ἑορτῆς οὐκ ἐξεγένετο ἐς καιρόν, οὐδὲ
τῆς Εὐρυνόμης τὸ ἄγαλμα εἶδον· τῶν Φιγαλέων δὲ
ἤκουσα ὡς χρυσαῖ τε τὸ ξόανον συνδέουσιν ἁλύσεις καὶ
εἰκὼν γυναικὸς τὰ ἄχρι τῶν γλουτῶν, τὸ ἀπὸ τούτου δέ
ἐστιν ἰχθύς. θυγατρὶ μὲν δὴ Ὠκεανοῦ καὶ ἐν βυθῷ τῆς
θαλάσσης ὁμοῦ Θέτιδι οἰκούσῃ παρέχοιτο ἄν τι ἐς γνώ-
ρισμα αὐτῆς ὁ ἰχθύς· Ἀρτέμιδι δὲ οὐκ ἔστιν ὅπως ἂν
μετά γε τοῦ εἰκότος λόγου μετείη τοιούτου σχήματος.
7 5. Περιέχεται δὲ ἡ Φιγαλία ὄρεσιν, ἐν ἀριστερᾷ μὲν
ὑπὸ τοῦ καλουμένου Κωτιλίου, τὰ δὲ ἐς δεξιὰν ἕτερον
προβεβλημένον ἐστὶν αὐτῆς ὄρος τὸ Ἐλάϊον. ἀπέχει δὲ
τῆς πόλεως ἐς τεσσαράκοντα τὸ Κωτίλιον μάλιστα στα-
δίους· ἐν δὲ [τῷ] αὐτῷ χωρίον τέ ἐστι καλούμενον Βᾶσσαι
καὶ ὁ ναὸς τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου, λίθου καὶ
8 αὐτὸς καὶ ὁ ὄροφος. Ναῶν δὲ ὅσοι Πελοποννησίοις εἰσί,
μετά γε τὸν ἐν Τεγέᾳ, προτιμῷτο οὗτος ἂν τοῦ λίθου τε
ἐς κάλλος καὶ τῆς ἁρμονίας ἕνεκα. τὸ δὲ ὄνομα ἐγένετο·
τῷ Ἀπόλλωνι ἐπικουρήσαντι ἐπὶ νόσῳ λοιμώδει, καθότι
καὶ παρ' Ἀθηναίοις ἐπωνυμίαν ἔλαβεν Ἀλεξίκακος ἀπο- 685
9 τρέψας καὶ τούτοις τὴν νόσον. ἔπαυσε δὲ ὑπὸ τὸν [τῶν]
Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον καὶ τοὺς Φιγα-
λέας, καὶ οὐκ ἐν ἑτέρῳ καιρῷ· μαρτύρια δὲ αἵ τε ἐπι-

κλήσεις ἀμφότεραι τοῦ Ἀπόλλωνος ἐοικός τι ὑποσημαίνουσαι, καὶ Ἰκτῖνος ὁ ἀρχιτέκτων τοῦ ἐν Φιγαλίᾳ ναοῦ γεγονὼς τῇ ἡλικίᾳ κατὰ Περικλέα καὶ Ἀθηναίοις τὸν Παρθενῶνα καλούμενον κατασκευάσας. ἐδίδαξε δὲ ὁ λόγος ἤδη μοι τὸ ἄγαλμα εἶναι τοῦ Ἀπόλλωνος Μεγαλοπολιτῶν ἐν τῇ ἀγορᾷ.

6. Ἔστι δὲ ὕδατος ἐν τῷ ὄρει τῷ Κωτιλίῳ πηγή, καὶ ὅπου συνέγραψεν ἤδη τις ἀπὸ ταύτης τῷ ποταμῷ τὸ ῥεῦμα τῷ Λύμακι ἄρχεσθαι, συνέγραψεν οὔτε αὐτὸς θεασάμενος οὔτε ἀνδρὸς ἀκοὴν ἰδόντος· ἃ καὶ ἀμφότερα παρῆσαν ἐμοί· τὸ μὲν ποταμοῦ ῥεῦμα ὃν ἑωρῶμεν, τῆς δὲ ἐν τῷ Κωτιλίῳ πηγῆς οὐκ ἐπὶ πολὺ ἐξικνούμενον τὸ ὕδωρ, ἀλλὰ ἐντὸς ὀλίγου παντάπασιν ἀφανὲς γινόμενον. οὐ μὴν οὐδὲ ὅπου τῆς Ἀρκάδων ἐστὶν ἡ πηγὴ τῷ Λύμακι ἐπῆλθε πολυπραγμονῆσαί μοι. Ἔστι δὲ ὑπὲρ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου Κώτιλον μὲν ἐπίκλησιν, Ἀφροδίτη δέ ἐστιν ἐν Κωτίλῳ· καὶ αὐτῇ ναός τε ἦν οὐκ ἔχων ἔτι ὄροφον καὶ ἄγαλμα ἐπεποίητο.

XLII. Τὸ δὲ ἕτερον τῶν ὀρῶν τὸ Ἐλάϊον ἀπωτέρω μὲν Φιγαλίας ὅσον τε σταδίοις τριάκοντά ἐστι, Δήμητρος δὲ ἄντρον αὐτόθι ἱερὸν ἐπίκλησιν Μελαίνης. 2. ὅσα μὲν δὴ οἱ ἐν Θελπούσῃ λέγουσιν ἐς μίξιν τὴν Ποσειδῶνός τε καὶ Δήμητρος, κατὰ ταὐτά σφισιν οἱ Φιγαλεῖς νομίζουσι· τεχθῆναι δὲ ὑπὸ τῆς Δήμητρος οἱ Φιγαλεῖς φασὶν οὐχ ἵππον, ἀλλὰ τὴν Δέσποιναν ἐπονομαζομένην ὑπὸ Ἀρκάδων. τὸ δὲ ἀπὸ τούτου λέγουσι θυμῷ τε ἅμα ἐς τὸν Πο- 2
σειδῶνα αὐτὴν καὶ ἐπὶ τῆς Περσεφόνης τῇ ἁρπαγῇ πένθει χρωμένην μέλαιναν ἐσθῆτα ἐνδῦναι, καὶ ἐς τὸ σπήλαιον τοῦτο ἐλθοῦσαν ἐπὶ χρόνον ἀπεῖναι πολύν. ὡς δὲ ἐφθείρετο μὲν πάντα ὅσα ἡ γῆ τρέφει, τὸ δὲ ἀνθρώπων γένος καὶ ἐς πλέον ἀπώλλυτο ὑπὸ τοῦ λιμοῦ, θεῶν μὲν
686 ἄλλων ἠπίστατο ἄρα οὐδεὶς ἔνθα ἀπεκέκρυπτο ἡ Δημή-

3 τηρ, τὸν δὲ Πᾶνα ἐπιέναι μὲν τὴν Ἀρκαδίαν καὶ ἄλλοτε
αὐτὸν ἐν ἄλλῳ θηρεύειν τῶν ὀρῶν, ἀφικόμενον δὲ καὶ
πρὸς τὸ Ἐλάϊον κατοπτεῦσαι τὴν Δήμητρα, σχήματός τε
ὡς εἶχε καὶ ἐσθῆτα ἐνεδέδυτο ποίαν· πυθέσθαι δὴ τὸν
Δία ταῦτα παρὰ τοῦ Πανός, καὶ οὕτως ὑπ' αὐτοῦ πεμ-
φθῆναι τὰς Μοίρας παρὰ τὴν Δήμητρα· τὴν δὲ πεισθῆ-
ναί τε ταῖς Μοίραις καὶ ἀποθέσθαι μὲν τὴν ὀργήν, ὑφεῖ-
ναι δὲ καὶ τῆς λύπης. 3. σφᾶς δὲ ἀντὶ τούτων φασὶν οἱ
Φιγαλεῖς τό τε σπήλαιον νομίσαι τοῦτο ἱερὸν Δήμητρος,
καὶ ἐς αὐτὸ ἄγαλμα ἀναθεῖναι ξύλου. πεποιῆσθαι δὲ
4 οὕτω σφίσι τὸ ἄγαλμα· καθέζεσθαι μὲν ἐπὶ πέτρᾳ, γυ-
ναικὶ δὲ ἐοικέναι τἄλλα πλὴν κεφαλήν· κεφαλὴν δὲ καὶ
κόμην εἶχεν ἵππου, καὶ δρακόντων τε καὶ ἄλλων θηρίων
εἰκόνες προσεπεφύκεσαν τῇ κεφαλῇ· χιτῶνα δὲ ἐνεδέ-
δυτο καὶ ἐς ἄκρους τοὺς πόδας· δελφὶς δὲ ἐπὶ τῆς χειρὸς
ἦν αὐτῇ, περιστερὰ δὲ ἡ ὄρνις ἐπὶ τῇ ἑτέρᾳ. ἐφ' ὅτῳ μὲν
δή οἱ τὸ ξόανον ἐποιήσαντο οὕτως, ἀνδρὶ οὐκ ἀσυνέτῳ
γνώμην ἀγαθῷ δὲ καὶ τὰ ἐς μνήμην δῆλά ἐστι· Μέλαι-
ναν δὲ ἐπονομάσαι φασὶν αὐτήν, ὅτι καὶ ἡ θεὸς μέλαιναν
5 τὴν ἐσθῆτα εἶχε. Τοῦτο μὲν δὴ τὸ ξόανον οὔτε ὅτου
ποίημα ἦν, οὔτε ἡ φλὸξ τρόπον ὅντινα ἐπέλαβεν αὐτό,
μνημονεύουσιν· 4. ἀφανισθέντος δὲ τοῦ ἀρχαίου Φιγα-
λεῖς οὔτε ἄγαλμα ἄλλο ἀπεδίδοσαν τῇ θεῷ, καὶ ὁπόσα
ἐς ἑορτὰς καὶ θυσίας, τὰ πολλὰ δὴ παρῶπτό σφισιν, ἐς
ὃ ἡ ἀκαρπία ἐπιλαμβάνει τὴν γῆν, καὶ ἱκετεύσασιν αὐ-
τοῖς χρᾷ τάδε ἡ Πυθία·

6 Ἀρκάδες Ἀζᾶνες βαλανηφάγοι, οἳ Φιγάλειαν
νάσσασθ' ἱππολεχοῦς Δῃοῦς κρυπτήριον ἄντρον,
ἥκετε πευσόμενοι λιμοῦ λύσιν ἀλγινόεντος,
μοῦνοι δὶς νομάδες, μοῦνοι πάλιν ἀγριοδαῖται.
Δῃὼ μὲν σέ γ' ἔπαυσε νομῆς, Δῃὼ δὲ νομήων
ἐλκησισταχύων καὶ ἀναστοφάγου πάλι θῆκε, 687

νοσφισθεῖσα γέρα προτέρων τιμάς τε παλαιάς.
καί σ' ἀλληλοφάγον θήσει τάχα καὶ τεκνοδαίτην,
εἰ μὴ πανδήμοις λοιβαῖς χόλον ἱλάσσεσθε
σήραγγός τε μυχὸν θείαις κοσμήσετε τιμαῖς.

Ὡς δὲ οἱ Φιγαλεῖς ἀνακομισθὲν τὸ μάντευμα ἤκουσαν, 7
τά τε ἄλλα ἐς πλέον τιμῆς ἢ τὰ πρότερα τὴν Δήμητρα
ἦγον, καὶ Ὀνάταν τὸν Μίκωνος Αἰγινήτην πείθουσιν
ἐφ' ὅσῳ δὴ μισθῷ ποιῆσαί σφισιν ἄγαλμα Δήμητρος.
Τοῦ δὲ Ὀνάτα τούτου Περγαμηνοῖς ἐστὶν Ἀπόλλων χαλ-
κοῦς, θαῦμα ἐν τοῖς μάλιστα μεγέθους τε ἕνεκα καὶ ἐπὶ
τῇ τέχνῃ. τότε δὴ ὁ ἀνὴρ οὗτος ἀνευρὼν γραφὴν ἢ μί-
μημα τοῦ ἀρχαίου ξοάνου, τὰ πλείω δέ, ὡς λέγεται, καὶ
κατὰ ὀνειράτων ὄψιν, ἐποίησε χαλκοῦν Φιγαλεῦσιν
ἄγαλμα, γενεᾷ μάλιστα ὕστερον τῆς ἐπὶ τὴν Ἑλλάδα
ἐπιστρατείας τοῦ Μήδου. Μαρτυρεῖ δέ μοι τῷ λόγῳ· 8
κατὰ γὰρ τὴν Ξέρξου διάβασιν ἐς τὴν Εὐρώπην Συρα-
κουσῶν τε ἐτυράννει καὶ Σικελίας τῆς ἄλλης Γέλων ὁ
Δεινομένους· ἐπεὶ δὲ ἐτελεύτησε Γέλων, ἐς Ἱέρωνα
ἀδελφὸν Γέλωνος περιῆλθεν ἡ ἀρχή· Ἱέρωνος δὲ ἀπο-
θανόντος πρότερον πρὶν ἢ τῷ Ὀλυμπίῳ Διὶ ἀναθεῖναι
τὰ ἀναθήματα ἃ εὔξατο ἐπὶ τῶν ἵππων ταῖς νίκαις, οὕτω
Δεινομένης ὁ Ἱέρωνος ἀπέδωκεν ὑπὲρ τοῦ πατρός.
Ὀνάτα καὶ ταῦτα ποιήματα, καὶ ἐπιγράμματα ἐν Ὀλυμ- 9
πίᾳ, τὸ μὲν ὑπὲρ τοῦ ἀναθήματός ἐστιν αὐτῶν·

Σόν ποτε νικήσας, Ζεῦ Ὀλύμπιε, σεμνὸν ἀγῶνα
τεθρίππῳ μὲν ἅπαξ, μουνοκέλητι δὲ δίς,
δῶρ' Ἱέρων τάδε σοι ἐχαρίσσατο· παῖς δ' ἀνέθηκε
Δεινομένης πατρὸς μνῆμα Συρακοσίου.

638 τὸ δὲ ἕτερον λέγει τῶν ἐπιγραμμάτων 10

Υἱὸς μέν με Μίκωνος Ὀνάτας ἐξετέλεσσεν
νάσῳ ἐν Αἰγίνῃ δώματα ναιετάων.

ἡ δὲ ἡλικία τοῦ Ὀνάτα κατὰ τὸν Ἀθηναῖον Ἡγίαν καὶ
Ἀγελάδαν ἂν συμβαίνοι τὸν Ἀργεῖον.
11 5. Ταύτης μάλιστα ἐγὼ τῆς Δήμητρος ἕνεκα ἐς Φι-
γαλίαν ἀφικόμην, καὶ ἔθυσα τῇ θεῷ, καθὰ καὶ οἱ ἐπι-
χώριοι νομίζουσιν, οὐδέν, τὰ δὲ ἀπὸ τῶν δένδρων τῶν
ἡμέρων τά τε ἄλλα καὶ ἀμπέλου καρπόν, καὶ μελισσῶν
τε κηρία καὶ ἐρίων τὰ μὴ ἐς ἐργασίαν πω ἥκοντα, ἀλλὰ
ἔτι ἀνάπλεα τοῦ οἰσύπου, [ἃ] τιθέασιν ἐπὶ τὸν βωμὸν
ᾠκοδομημένον πρὸ τοῦ σπηλαίου, θέντες δὲ καταχέου-
σιν αὐτῶν ἔλαιον. ταῦτα ἰδιώταις τε ἀνδράσι καὶ ἀνὰ
πᾶν ἔτος Φιγαλέων τῷ κοινῷ καθέστηκεν ἐς τὴν θυσίαν.
12 ἱέρεια δέ σφισίν ἐστιν ἡ δρῶσα, σὺν δὲ αὐτῇ καὶ τῶν
Ἱεροθυτῶν καλουμένων ὁ νεώτατος· οἱ δέ εἰσι τῶν
ἀστῶν τρεῖς ἀριθμόν. 6. Ἔστι δὲ δρυῶν τε ἄλσος περὶ
τὸ σπήλαιον, καὶ ὕδωρ ψυχρὸν ἄνεισιν ἐκ πηγῆς. Τὸ
δὲ ἄγαλμα τὸ ὑπὸ τοῦ Ὀνάτα ποιηθὲν οὔτε ἦν κατ' ἐμέ,
οὔτε εἰ ἐγένετο ἀρχὴν Φιγαλεῦσιν, ἠπίσταντο οἱ πολλοί·
13 τῶν δὲ ἐντυχόντων ἡμῖν ἔλεγεν ὁ πρεσβύτατος γενεαῖς
πρότερον τρισὶν ἢ κατ' αὐτὸν ἐμπεσεῖν ἐς τὸ ἄγαλμα
ἐκ τοῦ ὀρόφου πέτρας, ὑπὸ τούτων δὲ καταγῆναι καὶ
ἐς ἅπαν ἔφασκεν αὐτὸ ἀφανισθῆναι· καὶ ἔν γε τῷ ὀρό-
φῳ δῆλα καὶ ἡμῖν ἔτι ἦν καθὰ ἀπερρώγεσαν αἱ πέτραι.

XLIII. Ἀπαιτεῖ δὲ ἡμᾶς τὸ μετὰ τοῦτο ὁ λόγος τό τε
Παλλάντιον, εἴ δή τι αὐτόθι ἐστὶν ἐς μνήμην, καὶ καθ'
ἥντινα βασιλεὺς αἰτίαν Ἀντωνῖνος ὁ πρότερος πόλιν τε
ἀντὶ κώμης ἐποίησε Παλλάντιον καί σφισιν ἐλευθερίαν
2 καὶ ἀτέλειαν ἔδωκεν εἶναι φόρων. 2. Φασὶ δὴ γενέσθαι καὶ
γνώμην καὶ τὰ ἐς πόλεμον ἄριστον τῶν Ἀρκάδων ὄνομα
Εὔανδρον, παῖδα δὲ αὐτὸν νύμφης τε εἶναι, θυγατρὸς
τοῦ Λάδωνος, καὶ Ἑρμοῦ· σταλέντα δὲ ἐς ἀποικίαν, καὶ
ἄγοντα Ἀρκάδων τῶν ἐκ Παλλαντίου στρατιάν, παρὰ
τῷ ποταμῷ πόλιν τῷ Θύβριδι οἰκίσαι· καὶ Ῥωμαίων μέ-

ρος τῆς καθ' ἡμᾶς πόλεως, ὃ ᾠκεῖτο ὑπὸ τοῦ Εὐάνδρου
689 καὶ Ἀρκάδων τῶν συνακολουθησάντων, ὄνομα ἔσχε
Παλλάντιον κατὰ μνήμην τῆς ἐν Ἀρκαδίᾳ· χρόνῳ δὲ
ὕστερον μετέπεσε τὸ ὄνομα ἐν ἀναιρέσει γραμμάτων τοῦ
τε $\overline{λ}$ καὶ τοῦ $\overline{ν}$. τούτων μὲν τῶν λελεγμένων ἕνεκα
Παλλαντιεῦσιν ἐκ βασιλέως ἐγένοντο δωρεαί. 3. Ὁ δὲ 3
Ἀντωνῖνος, ὅτῳ καὶ ἐς Παλλαντιεῖς ἐστὶν εὐεργετήματα,
πόλεμον μὲν Ῥωμαίοις ἐθελοντὴς ἐπηγάγετο οὐδένα,
πολέμου δὲ ἄρξαντας Μαύρους, Λιβύων τῶν αὐτονό-
μων τὴν μεγίστην μοῖραν, νομάδας τε ὄντας καὶ τοσῷδε
ἔτι δυσμαχωτέρους τοῦ Σκυθικοῦ γένους ὅσῳ μὴ ἐπὶ
ἁμαξῶν, ἐπὶ ἵππων δὲ αὐτοί τε καὶ αἱ γυναῖκες ἠλῶντο,
τούτους μὲν ἐξ ἁπάσης ἐλαύνων τῆς χώρας ἐς τὰ ἔσχατα
ἠνάγκασεν ἀναφυγεῖν Λιβύης, ἐπί τε Ἄτλαντα τὸ ὄρος
καὶ ἐς τοὺς πρὸς τῷ Ἄτλαντι ἀνθρώπους· ἀπετέμετο 4
δὲ καὶ τῶν ἐν Βριττανίᾳ Βριγάντων τὴν πολλήν, ὅτι
ἐπεσβαίνειν καὶ οὗτοι σὺν ὅπλοις ἦρξαν ἐς τὴν Γενου-
νίαν μοῖραν, ὑπηκόους Ῥωμαίων. Λυκίων δὲ καὶ Κα-
ρῶν τὰς πόλεις Κῶν τε καὶ Ῥόδον ἀνέτρεψε μὲν βίαιος
ἐς αὐτὰς κατασκήψας σεισμός· βασιλεὺς δὲ Ἀντωνῖνος
καὶ ταύτας ἀνεσώσατο δαπανημάτων τε ὑπερβολῇ καὶ
ἐς τὸν ἀνοικισμὸν προθυμίᾳ. χρημάτων δὲ ἐπιδόσεις
ὁπόσας καὶ Ἕλλησι καὶ τοῦ βαρβαρικοῦ τοῖς δεηθεῖσι,
690 καὶ ἔργων κατασκευὰς ἔν τε τῇ Ἑλλάδι καὶ περὶ Ἰωνίαν
καὶ περὶ Καρχηδόνα τε καὶ ἐν γῇ τῇ Σύρων, τάδε μὲν
ἄλλοι ἔγραψαν ἐς τὸ ἀκριβέστατον. Ὁ δὲ βασιλεὺς ὑπε- 5
λίπετο οὗτος καὶ ἄλλο τοιόνδε ἐς μνήμην. ὅσοις τῶν
ὑπηκόων πολίταις ὑπῆρχεν εἶναι Ῥωμαίων, οἱ δὲ παῖδες
ἐτέλουν σφίσιν ἐς τὸ Ἑλληνικόν, τούτοις ἐλείπετο ἢ
καταγεῖμαι τὰ χρήματα ἐς οὐ προσήκοντας ἢ ἐπαυξῆσαι
τὸν βασιλέως πλοῦτον κατὰ νόμον δή τινα· Ἀντωνῖνος
δὲ ἐφῆκε καὶ τούτοις διδόναι σφᾶς παισὶ τὸν κλῆρον,

προτιμήσας φανῆναι φιλάνθρωπος ἢ ὠφέλιμον ἐς χρήματα φυλάξαι νόμον. Τοῦτον Εὐσεβῆ τὸν βασιλέα ἐκάλεσαν οἱ Ῥωμαῖοι, διότι τῇ ἐς τὸ θεῖον τιμῇ μάλιστα
6 ἐφαίνετο χρώμενος. δόξῃ δὲ ἐμῇ καὶ τὸ ὄνομα τὸ Κύρου φέροιτο ἂν τοῦ πρεσβυτέρου, πατὴρ ἀνθρώπων καλούμενος. 4. Ἀπέλιπε δὲ καὶ ἐπὶ τῇ βασιλείᾳ παῖδα ὁμώνυμον· ὁ δὲ Ἀντωνῖνος οὗτος ὁ δεύτερος καὶ τούς τε Γερμανούς, μαχιμωτάτους καὶ πλείστους τῶν ἐν τῇ Εὐρώπῃ βαρβάρων, καὶ ἔθνος τὸ Σαυροματῶν πολέμου καὶ ἀδικίας ἄρξαντας τιμωρούμενος ἐπεξῆλθε.

XLIV. Τὰ δὲ [δὴ] ἐπίλοιπα ἡμῖν τοῦ Ἀρκαδικοῦ λόγου, ἔστιν ἐκ Μεγάλης πόλεως ἐς Παλλάντιον ὁδὸς καὶ ἐς Τεγέαν, ἄγουσα ἡ αὐτὴ μέχρι τοῦ καλουμένου Χώματος. κατὰ ταύτην τὴν ὁδὸν Λαδόκειά σφισιν ὠνόμασται τὰ πρὸ τοῦ ἄστεως, ἀπὸ Λαδόκου τοῦ Ἐχέμου. 2. καὶ μετὰ ταῦτα Αἱμονιαὶ πόλις ἦσαν τὸ ἀρχαῖον, οἰκιστὴς δὲ Αἵμων ἐγένετο αὐταῖς ὁ Λυκάονος· διαμεμένηκε δὲ καὶ ἐς τόδε Αἱμονιὰς τὸ χωρίον τοῦτο ὀνομάζεσθαι.
2 μετὰ δὲ Αἱμονιὰς ἐν δεξιᾷ τῆς ὁδοῦ πόλεώς ἐστιν Ὀρεσθασίου καὶ ἄλλα ὑπολειπόμενα ἐς μνήμην καὶ Ἀρτέμιδος ἱεροῦ κίονες ἔτι· ἐπίκλησις δὲ Ἱέρεια τῇ Ἀρτέμιδί 691
ἐστι. Τὴν δὲ εὐθεῖαν ἰόντι ἐξ Αἱμονιῶν Ἀφροδίσιόν τέ ἐστιν ὀνομαζόμενον καὶ μετ' αὐτὸ ἄλλο χωρίον τὸ Ἀθήναιον· τούτου δὲ ἐν ἀριστερᾷ ναός ἐστιν Ἀθηνᾶς καὶ
3 ἄγαλμα ἐν αὐτῷ λίθου. τοῦ Ἀθηναίου δὲ μάλιστα εἴκοσιν ἀπωτέρω σταδίοις ἐρείπια Ἀσέας ἐστί, καὶ ὁ λόφος ἀκρόπολις τότε οὖσα τείχους σημεῖα ἔχει καὶ ἐς τόδε. 3. Σταδίους δὲ ὅσον πέντε ἀπὸ Ἀσέας τοῦ Ἀλφειοῦ μὲν ὀλίγον ἄπο τῆς ὁδοῦ, τοῦ δὲ Εὐρώτα παρ' αὐτήν ἐστιν ἡ πηγὴ τὴν ὁδόν· πρός τε τοῦ Ἀλφειοῦ τῇ πηγῇ ναός τε Μητρὸς θεῶν ἐστὶν οὐκ ἔχων ὄροφον καὶ λέοντες
4 δύο λίθου πεποιημένοι. Τοῦ δὲ Εὐρώτα τὸ ὕδωρ ἀνα-

κεράννυνται πρὸς τὸν Ἀλφειόν, καὶ ὅσον ἐπὶ εἴκοσι στα-
δίους κοινῷ προΐασι τῷ ῥεύματι· κατελθόντες δὲ ἐς
χάσμα, ὁ μὲν αὐτῶν ἄνεισιν αὖθις ἐν τῇ γῇ τῇ Λακεδαι-
μονίων ὁ Εὐρώτας, ὁ δὲ Ἀλφειὸς ἐν Πηγαῖς τῆς Μεγα-
λοπολίτιδος. 4. Ἔστι δὲ ἄνοδος ἐξ Ἀσέας ἐς τὸ ὄρος τὸ
Βόρειον καλούμενον, καὶ ἐπὶ τῇ ἄκρᾳ τοῦ ὄρους σημεῖά
ἐστιν ἱεροῦ· ποιῆσαι δὲ τὸ ἱερὸν Ἀθηνᾷ τε Σωτείρᾳ καὶ
Ποσειδῶνι Ὀδυσσέα ἐλέγετο ἀνακομισθέντα ἐξ Ἰλίου.

Τὸ δὲ ὀνομαζόμενον Χῶμα ὅροι Μεγαλοπολίταις 5
τῆς γῆς πρὸς Τεγεάτας καὶ Παλλαντιεῖς εἰσί· καὶ τὸ
Παλλαντικὸν πεδίον ἐστὶν ἐκτραπεῖσιν ἐς ἀριστερὰν ἀπὸ
τοῦ Χώματος. 5. Ἐν δὲ Παλλαντίῳ ναός τε καὶ ἀγάλ-
ματα λίθου Πάλλαντος, τὸ δὲ ἕτερόν ἐστιν Εὐάνδρου·
καὶ Κόρης τε τῆς Δήμητρος ἱερόν, καὶ οὐ πολὺ ἀπωτέρω
Πολυβίου σφίσιν ἀνδριάς ἐστι. τῷ λόφῳ δὲ τῷ ὑπὲρ
τῆς πόλεως ὅσα ἀκροπόλει τὸ ἀρχαῖον ἐχρῶντο· λείπε-
ται δὲ καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ κορυφῇ τοῦ λόφου θεῶν ἱερόν.
ἐπίκλησις μὲν δή ἐστιν αὐτοῖς Καθαροί, περὶ μεγίστων 6
δὲ αὐτόθι καθεστήκασιν οἱ ὅρκοι. καὶ ὀνόματα μὲν τῶν
θεῶν οὐκ ἴσασιν, ἢ καὶ εἰδότες οὐ θέλουσιν ἐξαγορεύειν·
Καθαροὺς δὲ ἐπὶ τοιῷδε ἄν τις κληθῆναι τεκμαίροιτο,
ὅτι αὐτοῖς οὐ κατὰ ταὐτὰ ὁ Πάλλας ἔθυσε καθὰ καὶ ὁ
πατήρ οἱ τῷ Λυκαίῳ Διί.

6. Τοῦ δὲ καλουμένου Χώματος ἐν δεξιᾷ πεδίον 7
692 ἐστὶ τὸ Μανθουρικόν· ἔστι δὲ ἐν ὅροις ἤδη Τεγεατῶν
τὸ πεδίον, ὃν σταδίων που πεντήκοντα μάλιστα ἄχρι
Τεγέας. ἔστι δὲ ὄρος οὐ μέγα ἐν δεξιᾷ τῆς ὁδοῦ καλού-
μενον Κρήσιον· ἐν δὲ αὐτῷ τὸ ἱερὸν τοῦ Ἀφνειοῦ πε-
ποίηται. Ἀερόπῃ γὰρ Κηφέως τοῦ Ἀλέου συνεγένετο
Ἄρης, καθὰ οἱ Τεγεᾶται λέγουσι· καὶ ἡ μὲν ἀφίησιν ἐν
ταῖς ὠδῖσι τὴν ψυχήν, ὁ δὲ παῖς καὶ τεθνηκυίας εἴχετο 8
ἔτι τῆς μητρός, καὶ ἐκ τῶν μαστῶν εἷλκεν αὐτῆς γάλα

πολὺ καὶ ἄφθονον. καί, ἦν γὰρ τοῦ Ἄρεως γνώμῃ τὰ
γινόμενα, τούτων ἕνεκα Ἀφνειὸν τὸν θεὸν ὀνομάζουσι·
τῷ δὲ παιδίῳ ὄνομα τεθῆναί φασιν Ἀέροπον. 7. Ἔστι
δὲ κατὰ τὴν ἐς Τεγέαν ὁδὸν Λευκώνιος καλουμένη κρή-
νη· θυγατέρα δὲ Ἀφείδαντος λέγουσιν εἶναι τὴν Λευ-
κώνην, καὶ οὐ πόρρω τοῦ Τεγεατῶν οἱ ἄστεως μνῆμά
ἐστιν.

XLV. Τεγεᾶται δὲ ἐπὶ μὲν Τεγεάτου τοῦ Λυκάονος
τῇ χώρᾳ φασὶν ἀπ' αὐτοῦ γενέσθαι μόνῃ τὸ ὄνομα, τοῖς
δὲ ἀνθρώποις κατὰ δήμους εἶναι τὰς οἰκήσεις, Γαρεά-
τας καὶ Φυλακεῖς καὶ Καρυάτας τε καὶ Κορυθεῖς, ἔτι δὲ
Πωταχίδας καὶ Οἰάτας Μανθυρεῖς τε καὶ Ἐχευήθεις·
ἐπὶ δὲ Ἀφείδαντος βασιλεύοντος καὶ ἔνατός σφισι δῆμος
προσεγένετο Ἀφείδαντες. τῆς δὲ ἐφ' ἡμῶν πόλεως οἰ-
2 κιστὴς ἐγένετο Ἄλεος. 2. Τεγεάταις δὲ παρὲξ ἢ τὰ Ἀρ-
κάδων κοινά, ἐν οἷς ἔστι μὲν ὁ πρὸς Ἰλίῳ πόλεμος, ἔστι
δὲ τὰ Μηδικά τε καὶ ἐν Διπαιεῦσιν ὁ πρὸς Λακεδαιμο-
νίους ἀγών, παρὲξ οὖν τῶν καταλελεγμένων ἰδίᾳ Τε-
γεάταις ἐστὶν αὐτοῖς τοσάδε ἐς δόξαν. τὸν γὰρ ἐν Καλυ- 693
δῶνι ὗν Ἀγκαῖος ὑπέμεινεν ὁ Λυκούργου τρωθείς, καὶ
Ἀταλάντη τοξεύει τὸν ὗν, καὶ ἔτυχε πρώτη τοῦ θηρίου·
τούτων ἕνεκα αὐτῇ ἡ κεφαλή τε τοῦ ὑὸς καὶ τὸ δέρμα
3 ἀριστεῖα ἐδόθη. Ἡρακλειδῶν δὲ ἐς Πελοπόννησον κατ-
ιόντων Ἔχεμος ὁ Ἀερόπου Τεγεάτης ἐμονομάχησεν ἰδίᾳ
πρὸς Ὕλλον, καὶ ἐκράτησε τοῦ Ὕλλου τῇ μάχῃ. Λακε-
δαιμονίους τε οἱ Τεγεᾶται πρῶτοι Ἀρκάδων σφίσιν ἐπι-
στρατεύσαντας ἐνίκησαν, καὶ αἰχμαλώτους αἱροῦσιν αὐ-
τῶν τοὺς πολλούς.

4 3. Τεγεάταις δὲ Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱερὸν τὸ ἀρ-
χαῖον ἐποίησεν Ἄλεος· χρόνῳ δὲ ὕστερον κατεσκευά-
σαντο οἱ Τεγεᾶται τῇ θεῷ ναὸν μέγαν τε καὶ θέας ἄξιον.
ἐκεῖνο μὲν δὴ πῦρ ἠφάνισεν ἐπινεμηθὲν ἐξαίφνης, Διο-

φάντου παρ᾽ Ἀθηναίοις ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς
ἕκτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, ἣν Εὐπόλεμος Ἠλεῖος
ἐνίκα στάδιον. 4. Ὁ δὲ ναὸς ὁ ἐφ᾽ ἡμῶν πολὺ δή τι τῶν 5
ναῶν, ὅσοι Πελοποννησίοις εἰσίν, ἐς κατασκευὴν προ-
έχει τὴν ἄλλην καὶ ἐς μέγεθος. ὁ μὲν δὴ πρῶτός ἐστιν
αὐτῷ κόσμος τῶν κιόνων Δώριος, ὁ δὲ ἐπὶ τούτῳ Κο-
ρίνθιος· ἑστήκασι δὲ καὶ ἐκτὸς τοῦ ναοῦ κίονες ἐργασίας
τῆς Ἰώνων. Ἀρχιτέκτονα δὲ ἐπυνθανόμην Σκόπαν αὐ-
τοῦ γενέσθαι τὸν Πάριον, ὃς καὶ ἀγάλματα πολλαχοῦ
τῆς ἀρχαίας Ἑλλάδος, τὰ δὲ καὶ περὶ Ἰωνίαν τε καὶ Κα-
ρίαν ἐποίησε. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν ἡ 6
θήρα τοῦ ὑὸς τοῦ Καλυδωνίου· πεποιημένου δὲ κατὰ
μέσον μάλιστα τοῦ ὑὸς τῇ μέν ἐστιν Ἀταλάντη καὶ Με-
λέαγρος καὶ Θησεὺς Τελαμών τε καὶ Πηλεὺς καὶ Πολυ-
δεύκης καὶ Ἰόλαος, ὃς τὰ πλεῖστα Ἡρακλεῖ συνέκαμνε
τῶν ἔργων, καὶ Θεστίου παῖδες, ἀδελφοὶ δὲ Ἀλθαίας,
Πρόθους καὶ Κομήτης· κατὰ δὲ τοῦ ὑὸς τὰ ἕτερα Ἀγκαῖον 7
ἔχοντα ἤδη τραύματα καὶ ἀφέντα τὸν πέλεκυν ἀνέχων
ἐστὶν Ἔποχος, παρὰ δὲ αὐτὸν Κάστωρ καὶ Ἀμφιάραος
Ὀϊκλέους, ἐπὶ δὲ αὐτοῖς Ἱππόθους ὁ Κερκυόνος τοῦ
Ἀγαμήδους τοῦ Στυμφήλου· τελευταῖος δέ ἐστιν εἰρ-
γασμένος Πειρίθους. τὰ δὲ ὄπισθεν πεποιημένα ἐν
τοῖς ἀετοῖς Τηλέφου πρὸς Ἀχιλλέα ἐστὶν ἐν Καΐκου πε-
δίῳ μάχη.

694 XLVI. Τῆς δὲ Ἀθηνᾶς τὸ ἄγαλμα τῆς Ἀλέας τὸ ἀρ-
χαῖον, σὺν δὲ αὐτῇ καὶ ὑὸς τοῦ Καλυδωνίου τοὺς ὀδόν-
τας ἔλαβεν ὁ Ῥωμαίων βασιλεὺς Αὔγουστος, Ἀντώνιον
πολέμῳ καὶ τὸ Ἀντωνίου νικήσας συμμαχικόν, ἐν ᾧ καὶ
οἱ Ἀρκάδες πλὴν Μαντινέων ἦσαν οἱ ἄλλοι. 2. φαίνε- 2
ται δὲ οὐκ ἄρξας ὁ Αὔγουστος ἀναθήματα καὶ ἕδη θεῶν
ἀπάγεσθαι παρὰ τῶν κρατηθέντων, καθεστηκότι δὲ ἐκ
παλαιοῦ χρησάμενος. Ἰλίου τε γὰρ ἁλούσης καὶ νεμο-

μένων τὰ λάφυρα Ἑλλήνων Σθενέλῳ τῷ Καπανέως τὸ
ξόανον τοῦ Διὸς ἐδόθη τοῦ Ἑρκείου· καὶ ἔτεσιν ὕστερον
πολλοῖς Δωριέων ἐς Σικελίαν ἐσοικιζομένων Ἀντίφημος
ὁ Γέλας οἰκιστής, πόλισμα Σικανῶν Ὀμφάκην πορθή-
σας, μετεκόμισεν ἐς Γέλαν ἄγαλμα ὑπὸ Δαιδάλου πε-
3 *ποιημένον. βασιλέα τε τῶν Περσῶν Ξέρξην τὸν Δαρείου,*
χωρὶς ἢ ὅσα ἐξεκόμισε τοῦ Ἀθηναίων ἄστεως, τοῦτο μὲν
ἐκ Βραυρῶνος ἄγαλμα ἴσμεν τῆς Βραυρωνίας λαβόντα
Ἀρτέμιδος, τοῦτο δὲ αἰτίαν ἐπενεγκὼν Μιλησίοις ἐθε-
λοκακῆσαι σφᾶς ἐναντία Ἀθηναίων ἐν τῇ Ἑλλάδι ναυ-
μαχήσαντας τὸν χαλκοῦν ἔλαβεν Ἀπόλλωνα τὸν ἐν Βραγ-
χίδαις. καὶ τὸν μὲν ὕστερον ἔμελλε χρόνῳ Σέλευκος
καταπέμψειν Μιλησίοις· Ἀργείοις δὲ τὰ ἐκ Τίρυνθος
ἔτι καὶ ἐς ἐμέ, τὸ μὲν παρὰ τὴν Ἥραν ξόανον, τὸ δὲ ἐν
4 *τοῦ Ἀπόλλωνός ἐστιν ἀνακείμενον τοῦ Ἡλείου. Κυζι-*
κηνοί τε ἀναγκάσαντες πολέμῳ Προκοννησίους γενέσθαι
σφίσι συνοίκους Μητρὸς Δινδυμήνης ἄγαλμα ἔλαβον ἐκ
Προκοννήσου· τὸ δὲ ἄγαλμά ἐστι χρυσοῦ, καὶ αὐτοῦ τὸ
πρόσωπον ἀντὶ ἐλέφαντος ἵππων τῶν ποταμίων ὀδόντες
εἰσὶν εἰργασμένοι. Βασιλεὺς μὲν δὴ Αὔγουστος καθε-
στηκότα ἐκ παλαιοῦ καὶ ὑπό τε Ἑλλήνων νομιζόμενα καὶ
βαρβάρων εἰργάσατο· Ῥωμαίοις δὲ τῆς Ἀθηνᾶς τὸ ἄγαλ-
μα τῆς Ἀλέας ἐς τὴν ἀγορὰν τὴν ὑπὸ Αὐγούστου ποιη-
5 *θεῖσαν, ἐς ταύτην ἐστὶν ἰόντι. τοῦτο μὲν δὴ ἐνταῦθα*
ἀνάκειται ἐλέφαντος διὰ παντὸς πεποιημένον, τέχνη δὲ
Ἐνδοίου· τοῦ δὲ ὑὸς τῶν ὀδόντων κατεᾶχθαι μὲν τὸν
ἕτερόν φασιν οἱ ἐπὶ τοῖς θαύμασιν, ὁ δ' ἔτι ἐξ αὐτῶν 695
λειπόμενος ἀνέκειτο ἐν βασιλέως κήποις, ἐν ἱερῷ Διο-
νύσου, τὴν περίμετρον τοῦ μήκους παρεχόμενος ἐς ἥμισυ
μάλιστα ὀργυιᾶς.

XLVII. *Τὸ δὲ ἄγαλμα ἐν Τεγέᾳ τὸ ἐφ' ἡμῶν ἐκομί-*
σθη μὲν ἐκ δήμου τοῦ Μανθουρέων, Ἱππία δὲ παρὰ

τοῖς Μανθουρεῦσιν εἶχεν ἐπίκλησιν, ὅτι τῷ ἐκείνων λό-
γῳ γινομένης τοῖς θεοῖς πρὸς Γίγαντας μάχης ἐπήλασεν
Ἐγκελάδῳ ἵππων τὸ ἅρμα. Ἀλέαν μέντοι καλεῖσθαι καὶ
ταύτην ἔς τε Ἕλληνας τοὺς ἄλλους καὶ ἐς αὐτοὺς Πελο-
ποννησίους ἐκνενίκηκε. τῷ δὲ ἀγάλματι τῆς Ἀθηνᾶς
τῇ μὲν Ἀσκληπιός, τῇ δὲ Ὑγίεια παρεστῶσά ἐστι λίθου
τοῦ Πεντελησίου, Σκόπα δὲ ἔργα Παρίου. 2. Ἀναθή- 2
ματα δὲ ἐν τῷ ναῷ τὰ ἀξιολογώτατα, ἔστι μὲν τὸ δέρμα
ὑὸς τοῦ Καλυδωνίου, διεσήπετο δὲ ὑπὸ τοῦ χρόνου καὶ
ἐς ἅπαν ἦν τριχῶν ἤδη ψιλόν, εἰσὶ δὲ αἱ πέδαι κρεμά-
μεναι, πλὴν ὅσας ἠφάνισεν αὐτῶν ἰός, ἅς γε ἔχοντες
Λακεδαιμονίων οἱ αἰχμάλωτοι τὸ πεδίον Τεγεάταις ἔσκα-
πτον· κλίνη τε ἱερὰ τῆς Ἀθηνᾶς, καὶ Αὔγης εἰκὼν
γραφῇ μεμιμημένη, Μαρπήσσης τε ἐπίκλησιν Χοίρας,
γυναικὸς Τεγεάτιδος, ἀνάκειται τὸ ὅπλον. ταύτης μὲν 3
δὴ ποιησόμεθα καὶ ὕστερον μνήμην· ἱερᾶται δὲ τῇ Ἀθη-
νᾷ παῖς χρόνον οὐκ οἶδα ὅσον τινά, πρὶν δὲ ἡβάσκειν
καὶ οὐ πρόσω, τὴν ἱερωσύνην. τῇ θεῷ δὲ ποιηθῆναι
τὸν βωμὸν ὑπὸ Μελάμποδος τοῦ Ἀμυθάονος λέγουσιν·
εἰργασμέναι δὲ ἐπὶ τῷ βωμῷ Ῥέα μὲν καὶ Οἰνόη νύμφη
παῖδα ἔτι νήπιον Δία ἔχουσιν, ἑκατέρωθεν δέ εἰσι τέσ-
σαρες ἀριθμόν, Γλαύκη καὶ Νέδα καὶ Θεισόα καὶ Ἀν-
θρακία, τῇ δὲ Ἴδη καὶ Ἁγνὼ καὶ Ἀλκινόη τε καὶ Φρίξα.
πεποίηται δὲ καὶ Μουσῶν καὶ Μνημοσύνης ἀγάλματα.

3. Τοῦ ναοῦ δὲ οὐ πόρρω στάδιον χῶμα γῆς ἐστί, 4
καὶ ἄγουσιν ἀγῶνας ἐνταῦθα, Ἀλεαῖα ὀνομάζοντες ἀπὸ
696 τῆς Ἀθηνᾶς, τὸν δὲ Ἁλώτια, ὅτι Λακεδαιμονίων τὸ πολὺ
ἐν τῇ μάχῃ ζῶντας εἷλον. Ἔστι δὲ ἐν τοῖς πρὸς ἄρκτον
τοῦ ναοῦ κρήνη, καὶ ἐπὶ ταύτῃ βιασθῆναι τῇ κρήνῃ φα-
σὶν Αὔγην ὑπὸ Ἡρακλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίῳ
τὰ ἐς αὐτήν. ἀπωτέρω δὲ τῆς κρήνης ὅσον σταδίοις τρι-
σίν ἐστιν Ἑρμοῦ ναὸς Αἰπύτου.

5 4. *Τεγεάταις δέ ἐστι καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς Πολιάτιδος· ἑκάστου δὲ ἅπαξ ἔτους ἱερεὺς ἐς αὐτὸ ἔσεισι. τὸ τοῦ Ἐρύματος ἱερὸν ὀνομάζουσι, λέγοντες ὡς Κηφεῖ τῷ Ἀλέου γένοιτο δωρεὰ παρὰ Ἀθηνᾶς ἀνάλωτον ἐς τὸν πάντα χρόνον εἶναι Τεγέαν· καὶ αὐτῷ φασὶν ἐς φυλακὴν τῆς πόλεως ἀποτεμοῦσαν τὴν θεὸν δοῦναι τριχῶν*
6 *τῶν Μεδούσης. Ἐς δὲ τὴν Ἄρτεμιν τὴν Ἡγεμόνην τὴν αὐτὴν τοιάδε λέγουσιν. Ὀρχομενίων τῶν ἐν Ἀρκαδίᾳ τυραννίδα ἔσχεν Ἀριστομηλίδας· ἐρασθεὶς δὲ Τεγεάτιδος παρθένου καὶ ἐγκρατὴς ὅτῳ δὴ τρόπῳ γενόμενος ἐπιτρέπει τὴν φρουρὰν αὐτῆς Χρονίῳ. καὶ ἡ μέν, πρὶν ἀναχθῆναι παρὰ τὸν τύραννον, ἀποκτίννυσιν ἑαυτὴν ὑπὸ δείματός τε καὶ αἰδοῦς, Χρόνιον δὲ Ἀρτέμιδος ἐπήγειρεν ὄψις ἐπὶ Ἀριστομηλίδαν· φονεύσας δὲ ἐκεῖνον καὶ ἐς Τεγέαν φυγὼν ἐποίησεν ἱερὸν τῇ Ἀρτέμιδι.*

XLVIII. *Τῆς ἀγορᾶς δὲ μάλιστα ἐοικυίας πλίνθῳ κατὰ τὸ σχῆμα, Ἀφροδίτης ἐστὶν ἐν αὐτῇ ναὸς καλουμένης ἐν πλινθίῳ καὶ ἄγαλμα λίθου. στήλαις δὲ ἐπειργασμένοι τῇ μὲν Ἀντιφάνης ἐστὶ καὶ Κρῖσος καὶ Τυρωνίδας τε καὶ Πυρρίας, οἳ νόμους Τεγεάταις θέμενοι τιμὰς καὶ ἐς τόδε παρ᾽ αὐτῶν ἔχουσιν· ἐπὶ δὲ τῇ ἑτέρᾳ στήλῃ πεποιημένος ἐστὶν Ἰάσιος, ἵππου τε ἐχόμενος καὶ κλάδον ἐν τῇ δεξιᾷ φέρων φοίνικος· νικῆσαι δὲ ἵππῳ φασὶν ἐν Ὀλυμπίᾳ τὸν Ἰάσιον, ὅτε Ἡρακλῆς ἔθετο ὁ*
2 *Θηβαῖος τὰ Ὀλύμπια.* 2. *Ἐν μὲν δὴ Ὀλυμπίᾳ κοτίνου τῷ νικῶντι δίδοσθαι στέφανον καὶ ἐν Δελφοῖς δάφνης,* 697
τοῦ μὲν ἤδη τὴν αἰτίαν ἀπέδωκα ἐν τοῖς ἐς Ἠλείους, τοῦ δὲ καὶ ἐν τοῖς ἔπειτα δηλώσω· ἐν Ἰσθμῷ δὲ ἡ πίτυς καὶ ἐν Νεμέᾳ τὰ σέλινα ἐπὶ τοῦ Παλαίμονος καὶ τοῦ Ἀρχεμόρου τοῖς παθήμασιν ἐνομίσθησαν. οἱ δὲ ἀγῶνες φοίνικος ἔχουσιν οἱ πολλοὶ στέφανον· ἐς δὲ τὴν δεξιάν ἐστι
3 *καὶ πανταχοῦ τῷ νικῶντι ἐστιθέμενος φοῖνιξ. ἐνομίσθη*

δὲ ἐπὶ τοιῷδε· Θησέα ἀνακομιζόμενον ἐκ Κρήτης φασὶν
ἐν Δήλῳ ἀγῶνα ποιήσασθαι τῷ Ἀπόλλωνι, στεφανοῦν
δὲ αὐτὸν τοὺς νικῶντας τῷ φοίνικι. τοῦτο μὲν δὴ ἄρξαι
λέγουσιν ἐντεῦθεν· τοῦ δὲ φοίνικος τοῦ ἐν Δήλῳ μνή-
μην ἐποιήσατο καὶ Ὅμηρος ἐν Ὀδυσσέως ἱκεσίᾳ πρὸς τὴν
Ἀλκίνου θυγατέρα.

3. Ἔστι δὲ καὶ Ἄρεως ἄγαλμα ἐν τῇ Τεγεατῶν ἀγο- 4
ρᾷ. τοῦτο ἐκτετύπωται μὲν ἐπὶ στήλῃ, Γυναικοθοίναν
δὲ ὀνομάζουσιν αὐτόν. ἐπὶ ** [τὸν] Λακωνικὸν πόλε-
μον καὶ Χαρίλλου τοῦ Λακεδαιμονίων βασιλέως τὴν πρώ-
την ἐπιστρατείαν λαβοῦσαι αἱ γυναῖκές σφισιν ὅπλα
ἐλόχων ὑπὸ τὸν λόφον ὃν Φυλακτρίδα ἐφ' ἡμῶν ὀνομά-
ζουσι· συνελθόντων δὲ τῶν στρατοπέδων καὶ τολμήματα
ἀποδεικνυμένων ἑκατέρωθεν τῶν ἀνδρῶν πολλά τε καὶ
ἄξια μνήμης, οὕτω φασὶν ἐπιφανῆναί σφισι τὰς γυναῖ- 5
κας, καὶ εἶναι τὰς ἐργασαμένας ταύτας τῶν Λακεδαιμο-
νίων τὴν τροπήν, Μάρπησσαν δὲ τὴν Χοίραν ἐπονομα-
ζομένην ὑπερβαλέσθαι τῇ τόλμῃ τὰς ἄλλας γυναῖκας,
ἁλῶναι δὲ ἐν τοῖς Σπαρτιάταις καὶ αὐτὸν Χάριλλον· καὶ
τὸν μὲν ἀφεθέντα ἄνευ λύτρων, καὶ ὅρκον Τεγεάταις
δόντα μήποτε Λακεδαιμονίους στρατεύσειν ἔτι ἐπὶ Τε-
γέαν, παραβῆναι τὸν ὅρκον, τὰς γυναῖκας δὲ τῷ Ἄρει
θῦσαί τε ἄνευ τῶν ἀνδρῶν ἰδίᾳ τὰ ἐπινίκια, καὶ τοῦ
ἱερείου τῶν κρεῶν οὐ μεταδοῦναι σφᾶς τοῖς ἀνδράσιν.
698 ἀντὶ τούτων μὲν τῷ Ἄρει γέγονεν ἐπίκλησις· 4. πεποίη- 6
ται δὲ καὶ Διὸς Τελείου βωμὸς καὶ ἄγαλμα τετράγωνον·
περισσῶς γὰρ δή τι τῷ σχήματι τούτῳ φαίνονταί μοι
χαίρειν οἱ Ἀρκάδες. καὶ μνήματά ἐστιν ἐνταῦθα Τεγεά-
του τοῦ Λυκάονος καὶ Μαιρᾶς γυναικὸς τοῦ Τεγεάτου·
θυγατέρα [δὲ] Ἄτλαντός φασιν εἶναι τὴν Μαιράν, ἧς δὴ
καὶ Ὅμηρος ἐποιήσατο μνήμην ἐν Ὀδυσσέως λόγοις πρὸς
Ἀλκίνουν περί τε ὁδοῦ τῆς ἐς ᾅδην καὶ ὁπόσων ἐθεά-

7 σατο ἐκεῖ τὰς ψυχάς. 5. Τὴν δὲ Εἰλείθυιαν οἱ Τε-
γεᾶται, καὶ γὰρ ταύτης ἔχουσιν ἐν τῇ ἀγορᾷ ναὸν καὶ
ἄγαλμα, ἐπονομάζουσιν Αὔγην ἐν γόνασι, λέγοντες ὡς
Ναυπλίῳ παραδοίη τὴν θυγατέρα Ἄλεος ἐντειλάμενος
ἐπανάγοντα αὐτὴν ἐς θάλασσαν καταποντῶσαι· τὴν δέ,
ὡς ἤγετο, πεσεῖν τε ἐς γόνατα καὶ οὕτω τεκεῖν τὸν
παῖδα ἔνθα τῆς Εἰλειθυίας ἐστὶ τὸ ἱερόν. οὗτος ὁ λόγος
διάφορος μέν ἐστιν ἑτέρῳ λόγῳ, λάθρᾳ τὴν Αὔγην τε-
κεῖν τοῦ πατρὸς καὶ ἐκτεθῆναι τὸν Τήλεφον λέγοντι ἐς
τὸ ὄρος τὸ Παρθένιον, καὶ τῷ παιδὶ ἐκκειμένῳ διδόναι
γάλα ἔλαφον· λέγεται δὲ οὐδὲν ἧσσον καὶ οὗτος ὑπὸ
8 Τεγεατῶν ὁ λόγος. 6. Πρὸς δὲ τῷ ἱερῷ τῆς Εἰλει-
θυίας ἐστὶ Γῆς βωμός. ἔχεται δὲ τοῦ βωμοῦ λίθου λευ-
κοῦ στήλη· ἐπὶ δὲ αὐτῆς Πολύβιος ὁ Λυκόρτα καὶ ἐπὶ
ἑτέρᾳ στήλῃ τῶν παίδων τῶν Ἀρκάδος Ἔλατός ἐστιν
εἰργασμένος.

XLIX. Οὐ πόρρω δὲ τῆς ἀγορᾶς θέατρόν τέ ἐστι καὶ
πρὸς αὐτῷ βάθρα εἰκόνων χαλκῶν· αὐταὶ δὲ οὐκ εἰσὶν
ἔτι αἱ εἰκόνες. ἐλεγεῖον δὲ ἐφ' ἑνὶ τῶν βάθρων ἐστὶ Φι-
λοποίμενος τὸν ἀνδριάντα εἶναι. Τούτου δὲ Ἕλληνες
τοῦ Φιλοποίμενος οὐχ ἥκιστα, ἀλλὰ καὶ μάλιστα ἔχουσι
μνήμην γνώμης τε ἕνεκα ἣν παρέσχετο, καὶ ἐπὶ τῶν ἔρ-
2 γων ὁπόσα ἐτόλμησε. τὰ μὲν δὴ ἐς γένους δόξαν ὁ πα-
τήρ οἱ Κραῦγις Ἀρκάδων ἐλείπετο οὐδενὸς τῶν ἐν Με-
γάλῃ πόλει· τελευτήσαντος δὲ τοῦ Κραύγιδος ἐπὶ παιδὶ
ἔτι νηπίῳ τῷ Φιλοποίμενι ἐπετρόπευσεν αὐτὸν ἀνὴρ
Μαντινεὺς Κλέανδρος, φεύγων μὲν ἐκ Μαντινείας καὶ ἐν
Μεγάλῃ πόλει οἰκῶν μετὰ τὴν οἴκοθεν συμφοράν, ξε-
νίας [δὲ] ὑπαρχούσης αὐτῷ πατρικῆς ἐς οἶκον τὸν Κραύ- 699
γιδος. διδασκάλοις δὲ ὁμιλῆσαι τὸν Φιλοποίμενα καὶ
ἄλλοις καὶ Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ λέγουσι· τοὺς
3 δὲ Ἀρκεσιλάου φασὶν εἶναι Πιταναίου μαθητάς. 2. Μέ-

γεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός, τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός. καὶ ἐπὶ μὲν τοὺς στεφανίτας ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ ἣν ἐκέκτητο ἐργαζόμενος οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια ἐξαιρεῖν. Ἐπιλέγεσθαι δὲ καὶ βιβλία φασὶν αὐτὸν σοφιστῶν τε τῶν εὐδοκιμούντων παρ' Ἕλλησι καὶ ὅσα ἐς πολέμων μνήμην, καὶ εἰ δή τι ἔχει διδασκαλίαν στρατηγημάτων. καταστήσασθαι δὲ τὸν βίον πάντα ἐθέλων γνώμης τῆς Ἐπαμεινώνδου καὶ ἔργων εἶναι τῶν ἐκείνου μίμησιν, οὐ τὰ πάντα ἦν ἐξισωθῆναι δυνατός· Ἐπαμεινώνδᾳ γὰρ τά τε ἄλλα ἡ ψυχὴ καὶ μάλιστα πράως
εἶχε τὰ ἐς ὀργήν, τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. 3. Κα- 4
ταλαβόντος δὲ Κλεομένους Μεγάλην πόλιν, Φιλοποίμην οὔτε τῆς συμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην, συμμάχων σφίσιν ἐν τῷ τότε καὶ εὔνων τῶν Μεσσηνίων ὄντων. καί, ἦσαν γὰρ τῶν διαπεφευγότων οἷς ὁ Κλεομένης ἐπεκηρυκεύετο μεταγινώσκειν τε ἐπὶ τῷ τολμήματι καὶ πρὸς Μεγαλοπολίτας ἐθέλειν σπένδεσθαι κατιόντας ἐπὶ τὴν ἑαυτῶν, ἔπεισεν ἐν κοινῷ τοὺς πολίτας ὁ Φιλοποίμην μεθ' ὅπλων τὴν κάθοδον οἴκαδε εὑρίσκεσθαι, μηδὲ ἐς ὁμολογίας τε καὶ
σπονδὰς ἰέναι. 4. Γενομένης δὲ ἐν Σελλασίᾳ πρὸς Κλε- 5
ομένην τε καὶ Λακεδαιμονίους μάχης, ἣν Ἀχαιοὶ καὶ
700 Ἀρκάδες ἀπὸ τῶν πόλεων πασῶν, σὺν δέ σφισι καὶ Ἀντίγονος ἐμαχέσατο ἄγων ἐκ Μακεδονίας στρατιάν, ἐτέτακτο μὲν τηνικαῦτα ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσιν, ἐπεὶ δὲ ἐν τῷ πεζῷ τοῦ ἔργου τὸ πλεῖστον ἑώρα ληψόμενον τὴν κρίσιν, ὁπλίτης ἑκὼν ἐγένετο, καὶ αὐτὸν λόγου κινδυνεύοντα ἀξίως τῶν τις ἐναντίων δι' ἀμφο-
τέρων ἔπειρε τῶν μηρῶν· ὁ δὲ καὶ ἐς τοσοῦτο ὅμως πε- 6
πεδημένος τά τε γόνατα ἐνέκλινε καὶ ἐς τὸ πρόσω χωρεῖν

ἐβιάζετο, ὥστε καὶ ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ ἔκλασεν. Ἐπεὶ δὲ οἱ Λακεδαιμόνιοι καὶ ὁ Κλεομένης ἐκρατήθησαν καὶ ἐς τὸ στρατόπεδον ἀνέστρεψε Φιλοποίμην, ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτοῦ τῶν μηρῶν οἱ ἰατροὶ τῇ μὲν τὸν σαυρωτῆρα ἐξεῖλκον, τῇ δὲ τὴν αἰχμήν. Ἀντίγονος δὲ ὡς ἐπύθετο καὶ εἶδεν αὐτοῦ τὰ τολμήματα, ἐποιεῖτο σπουδὴν ἐπάγεσθαι Φιλοποίμενα ἐς Μακεδο-
7 *νίαν. τῷ δὲ Ἀντιγόνου μὲν ὀλίγον μελήσειν ἔμελλε· περαιωσάμενος δὲ νηῒ ἐς Κρήτην, πόλεμος γὰρ κατεῖχεν αὐτὴν ἐμφύλιος, ἐπετέτακτο ἡγεμὼν μισθοφόρος. Ἐπανήκων δὲ ἐς Μεγάλην πόλιν αὐτίκα ὑπὸ τῶν Ἀχαιῶν ᾕρητο ἄρχειν [καὶ] τοῦ ἱππικοῦ, καὶ σφᾶς ἀρίστους Ἑλλήνων ἀπέφαινεν ἱππεύειν. Ἀχαιῶν δὲ καὶ ὅσοι συντεταγμένοι τοῖς Ἀχαιοῖς ἦσαν περὶ Λάρισον μαχομένων ποταμὸν πρὸς Ἠλείους καὶ τὸ Αἰτωλικὸν ἐπικουροῦντας κατὰ συγγένειαν Ἠλείοις, πρῶτα μὲν Δημόφαντον ἀπέκτεινεν αὐτοχειρίᾳ τοῖς ἐναντίοις ἡγεμόνα ὄντα τῆς ἵππου, δεύτερα δὲ καὶ τὸ ἄλλο ἱππικὸν τῶν Αἰτωλῶν καὶ τῶν Ἠλείων ἐτρέψατο.*

L. *Ἅτε δὲ ἤδη τῶν Ἀχαιῶν ἀφορώντων ἐς αὐτὸν καὶ τὰ πάντα ἐκεῖνον ποιουμένων, τοῖς τεταγμένοις αὐτῶν ἐν τῷ πεζῷ μετέβαλε τῶν ὅπλων τὴν σκευήν· φοροῦντας γὰρ μικρὰ δοράτια καὶ ἐπιμηκέστερα ὅπλα κατὰ τοὺς Κελτικοὺς θυρεοὺς ἢ τὰ γέρρα τὰ Περσῶν ἔπεισε θώρακάς τε ἐνδύεσθαι καὶ ἐπιτίθεσθαι κνημῖδας, πρὸς δὲ ἀσπίσιν Ἀργολικαῖς χρῆσθαι καὶ τοῖς δόρασι μεγάλοις.*
2 2. *Μαχανίδου δὲ ἐν Λακεδαίμονι ἀναφύντος τυράννου καὶ αὖθις πολέμου τοῖς Ἀχαιοῖς πρὸς Λακεδαιμονίους καὶ Μαχανίδαν συνεστηκότος, ἡγεῖτο μὲν τοῦ Ἀχαϊκοῦ Φιλοποίμην· γινομένης δὲ πρὸς Μαντινείᾳ μάχης Λακεδαιμονίων μὲν οἱ ψιλοὶ τοὺς ἀσκεύους τῶν Ἀχαιῶν νι-* 710
κῶσι, καὶ φεύγουσιν αὐτοῖς ἐπέκειτο ὁ Μαχανίδας, τῇ

δὲ φάλαγγι ὁ Φιλοποίμην τῶν πεζῶν τρέπεται τῶν Λα-
κεδαιμονίων τοὺς ὁπλίτας, καὶ ἀναχωροῦντι ἀπὸ τῆς
διώξεως Μαχανίδᾳ συντυχὼν ἀποκτίννυσιν αὐτόν. Λα-
κεδαιμονίοις δὲ ἠτυχηκόσι τῇ μάχῃ περιεγεγόνει μείζων
ἢ κατὰ τὸ πταῖσμα εὐτυχία, γεγονόσιν ἐλευθέροις ἀπὸ
τοῦ τυράννου. 3. Μετὰ δὲ οὐ πολὺ ἀγόντων Νέμεια 3
Ἀργείων ἔτυχε μὲν τῶν κιθαρῳδῶν τῷ ἀγῶνι ὁ Φιλο-
ποίμην παρών· Πυλάδου δὲ Μεγαλοπολίτου μὲν ἀν-
δρὸς γένος, κιθαρῳδοῦ δὲ τῶν ἐφ' αὑτοῦ δοκιμωτάτου
καὶ ἀνῃρημένου Πυθικὴν νίκην, τότε ᾄδοντος Τιμοθέου
νόμον τοῦ Μιλησίου, Πέρσας, καὶ καταρξαμένου τῆς
ᾠδῆς

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον,

ἀπεῖδεν ἐς τὸν Φιλοποίμενα τὸ Ἑλληνικόν, καὶ ἐπεση-
μήναντο τῷ κρότῳ φέρειν ἐς ἐκεῖνον τὸ ᾆσμα. τοιοῦτο
ἐς Θεμιστοκλέα ἄλλο ἐν Ὀλυμπίᾳ πυνθάνομαι συμβῆναι·
καὶ γὰρ Θεμιστοκλέους ἐς τιμὴν ἐπανέστη τὸ ἐν Ὀλυμ-
πίᾳ θέατρον. 4. Φίλιππος δὲ ὁ Δημητρίου Μακεδόνων 4
βασιλεύς, ὃς καὶ Ἄρατον φαρμάκῳ τὸν Σικυώνιον ἀπέ-
κτεινεν, ἀπέστειλεν ἄνδρας ἐς Μεγάλην πόλιν φονεῦσαί
σφισι Φιλοποίμενα ἐντειλάμενος· ἁμαρτὼν δὲ ἀνὰ τὴν
Ἑλλάδα ἐμισήθη πᾶσαν. Θηβαῖοι δὲ κεκρατηκότες μάχῃ
Μεγαρέας καὶ ἤδη τοῦ Μεγαρικοῦ τείχους ἐπιβαίνοντες,
ἀπάτῃ τῶν Μεγαρέων μετελθόντων αὐτούς, ὡς ἥκοι
Φιλοποίμην σφίσιν ἐς τὴν πόλιν, ἐς τοσοῦτο εὐλαβείας
προῆλθον ὡς οἴκαδε ἀποχωρῆσαι καταλιπόντες ἄπρακτον
τοῦ πολέμου τὸ ἔργον. 5. Ἐν δὲ Λακεδαίμονι αὖθις ἐπα- 5
νέστη τύραννος Νάβις, ὃς Πελοποννησίων πρώτοις
702 ἐπέθετο Μεσσηνίοις· ἐπελθὼν δέ σφισιν ἐν νυκτὶ καὶ
οὐδαμῶς τὴν ἔφοδον ἐλπίζουσιν εἷλε μὲν πλὴν τῆς ἀκρο-
πόλεως τὸ ἄστυ, ἀφικομένου δὲ ἐς τὴν ὑστεραίαν στρα-
τιᾷ Φιλοποίμενος ἐξέπεσεν ὑπόσπονδος ἐκ Μεσσήνης.

6 Φιλοποίμην δέ, ὡς ἐξῆκέν οἱ στρατηγοῦντι ὁ χρόνος
καὶ ἄρχειν ἄλλοι τῶν Ἀχαιῶν ᾕρηντο, αὖθις ἐς Κρήτην
διέβη καὶ ἐπεκούρησε Γορτυνίοις πολέμῳ πιεζομένοις.
ποιουμένων δὲ ἐν ὀργῇ διὰ τὴν ἀποδημίαν τῶν Ἀρκά-
δων αὐτόν, ἐπάνεισί τε ἐκ Κρήτης, καὶ Ῥωμαίους πόλε-
7 μον κατελάμβανεν ἐπανῃρημένους πρὸς Νάβιν. παρε-
σκευασμένων δὲ ἐπὶ τὸν Νάβιν ναυτικὸν τῶν Ῥωμαίων,
ὁ Φιλοποίμην ὑπὸ προθυμίας μεθέξειν ἔμελλε τοῦ ἀγῶ-
νος, ἅτε δὲ ἐς ἅπαν ἀπείρως θαλάσσης ἔχων τριήρους
ἔλαθεν ἐπιβὰς ῥεούσης, ὥστε καὶ ἐσῆλθε Ῥωμαίους καὶ
τὸ ἄλλο συμμαχικὸν μνήμη τῶν ἐπῶν ὧν ἐν καταλόγῳ
πεποίηκεν Ὅμηρος ἐπὶ τῇ Ἀρκάδων ἀμαθίᾳ τῇ ἐς θά-
8 λασσαν. Ἡμέραις δὲ ὕστερον τῆς ναυμαχίας οὐ πολλαῖς
Φιλοποίμην καὶ ὁ σὺν αὐτῷ λόχος φυλάξαντες νύκτα
ἀσέληνον τὸ στρατόπεδον τῶν Λακεδαιμονίων κατεμπι-
πρᾶσιν ἐν Γυθίῳ. ἐνταῦθα ἀπέλαβεν ἐν δυσχωρίαις
Νάβις Φιλοποίμενά τε αὐτὸν καὶ ὅσοι περὶ αὐτὸν τῶν
Ἀρκάδων ἦσαν· ἦσαν δὲ ἄλλως μὲν ἀγαθοὶ τὰ ἐς πόλε-
9 μον, ἀριθμὸν δὲ οὐ πολλοί. Φιλοποίμην δὲ τὴν τάξιν
ἣν τεταγμένους ἀπῆγεν ὀπίσω, ταύτην ὑπαλλάξας τὰ
μάλιστα ἰσχυρὰ τῶν χωρίων πρὸς αὐτοῦ καὶ οὐ πρὸς
τῶν πολεμίων ἐποίησεν εἶναι· κρατήσας δὲ τῇ μάχῃ Νά-
βιν, καὶ τῶν Λακεδαιμονίων ἐν τῇ νυκτὶ καταφονεύσας
πολλούς, δόξης ἔτι ἐς πλέον παρὰ τοῖς Ἕλλησιν ἤρθη.
10 Μετὰ δὲ ταῦτα Νάβις μὲν ἐς εἰρημένον χρόνον σπονδὰς
παρὰ Ῥωμαίων εὑράμενος τελευτᾷ, πρὶν ἢ οἱ τοῦ πολέ-
μου τὰς ἀνοχὰς ἐξήκειν, ὑπὸ ἀνδρὸς Καλυδωνίου κατὰ
μὲν δὴ συμμαχίας πρόφασιν ἥκοντος, πολεμίου δὲ τῷ
ἔργῳ καὶ ἐπ' αὐτὸ ἐσταλμένου τοῦτο ὑπὸ τῶν Αἰτωλῶν.

LI. Φιλοποίμην δὲ ὑπὸ τὸν καιρὸν ἐσπεσὼν τοῦτον 703
ἐς τὴν Σπάρτην ἠνάγκασεν ἐς τὸ Ἀχαϊκὸν Λακεδαιμο-
νίους συντελέσαι. μετὰ δὲ οὐ πολὺν χρόνον Τίτος μὲν

Ῥωμαίων τῶν περὶ τὴν Ἑλλάδα ἡγεμὼν καὶ Διοφάνης ὁ Διαίου Μεγαλοπολίτης, ἄρχειν ἐν τῷ τότε ᾑρημένος τῶν Ἀχαιῶν, ἤλαυνον ἐπὶ τὴν Λακεδαίμονα, ἐπενεγκόντες αἰτίαν Λακεδαιμονίοις βουλεύειν σφᾶς νεώτερα ἐς Ῥωμαίους· Φιλοποίμην δέ, καίπερ ἐν τῷ παρόντι ἰδιώτης ὤν, ἀπέκλεισεν ὅμως ἐπιοῦσιν αὐτοῖς τὰς πύλας.
Λακεδαιμόνιοι δὲ τούτων τε ἕνεκα καὶ ὧν ἐς ἀμφοτέρους 2
τοὺς τυράννους ἐτόλμησεν, ἐδίδοσαν οἶκον αὐτῷ τὸν Νάβιδος ἐς πλέον ἢ τάλαντα ἑκατόν· ὁ δὲ ὑπερεφρόνησέ τε τῶν χρημάτων, καὶ ἐκέλευε τοὺς Λακεδαιμονίους θεραπεύειν δόσεσιν ἀνθ' αὐτοῦ τοὺς ἐν τῷ συλλόγῳ τῶν Ἀχαιῶν πιθανοὺς τῷ πλήθει· ταῦτα δὲ ἐς Τιμόλαον αὐτῷ λέγουσιν ὑποσημαίνεσθαι. ἀπεδείχθη δὲ καὶ αὖθις
Ἀχαιῶν στρατηγῆσαι. Λακεδαιμονίων δὲ τηνικαῦτα ἐς 3
ἔμφυλον προηγμένων στάσιν, τριακοσίους μὲν τῆς στάσεως μάλιστα αἰτίους ἐξέβαλεν ἐκ Πελοποννήσου καὶ τῶν Εἱλώτων τε ἀπέδοτο ὅσον τρισχιλίους, τείχη δὲ περιεῖλε τῆς Σπάρτης, καὶ τοῖς ἐφήβοις προεῖπε μὴ τὰ ἐκ τῶν νόμων τῶν Λυκούργου μελετᾶν, ἐφήβοις δὲ τοῖς Ἀχαιῶν κατὰ ταὐτὰ ἀσκεῖσθαι. καὶ τοῖς μὲν ὕστερον ἀποδώσειν ἔμελλον Ῥωμαῖοι παιδείαν τὴν ἐπιχώριον·
Ἀντίοχον δὲ ἀπόγονον Σελεύκου τοῦ ὀνομασθέντος Νι- 4
κάτορος καὶ Σύρων τὴν σὺν αὐτῷ στρατιὰν Μανίου καὶ Ῥωμαίων ἐν Θερμοπύλαις **, καὶ Ἀρισταίνου τοῖς Ἀχαιοῖς τοῦ Μεγαλοπολίτου παραινοῦντος ἐπαινεῖν τὰ Ῥω-
704 μαίοις ἀρέσκοντα ἐπὶ παντὶ μηδὲ ἀνθίστασθαί σφισιν ὑπὲρ μηδενός, ὁ Φιλοποίμην ἀπεῖδεν ἐς τὸν Ἀρίσταινον σὺν ὀργῇ, καὶ αὐτὸν τῇ Ἑλλάδι ἔφη τὴν πεπρωμένην ἐπιταχύνειν· Λακεδαιμονίων δὲ τοὺς φεύγοντας Μανίου καταδέξασθαι θέλοντος, τῷ μὲν ἀντέπραξεν ἐς τὸ βούλευμα, ἐκείνου δὲ ἀπελθόντος, τότε ἤδη κατελθεῖν τοὺς φυγάδας ἐφίησιν ἐς Σπάρτην.

5 2. Ἔμελλε δ' ἄρα ὑπεροψίας δίκη περιήξειν καὶ Φιλοποίμενα. ὡς γὰρ δὴ τῶν Ἀχαιῶν ὄγδοον ἀπεδείχθη τότε ἡγεμών, ἀνδρὶ οὐ τῶν ἀδόξων ὠνείδισεν ἁλῶναι ζῶντα ὑπὸ τῶν πολεμίων αὐτόν. καί, ἦν γὰρ τηνικαῦτα ἐς Μεσσηνίους Ἀχαιοῖς ἔγκλημα, Λυκόρταν σὺν τῇ στρατιᾷ ὁ Φιλοποίμην ἀποστέλλει δῃώσοντα τῶν Μεσσηνίων τὴν χώραν· αὐτὸς δὲ τρίτῃ μάλιστα ὕστερον ἡμέρᾳ πυρετῷ τε ἐχόμενος πολλῷ καὶ πρόσω βεβιωκὼς ἑβδομήκοντα ἐτῶν, ὅμως ἠπείγετο μετασχεῖν Λυκόρτᾳ τοῦ ἔργου· ἱππέας δὲ καὶ πελταστὰς ἦγεν ὅσον ἑξήκοντα.
6 3. Λυκόρτας μὲν δὴ καὶ ὁ σὺν αὐτῷ στρατὸς ἀνέστρεφον ἤδη τηνικαῦτα ἐς τὴν οἰκείαν, οὔτε ἐργασάμενοι μέγα Μεσσηνίους οὐδὲν οὔτε αὐτοὶ παθόντες· Φιλοποίμενα δέ, ἐβλήθη γὰρ ἐν τῇ μάχῃ τὴν κεφαλὴν καὶ ἀπέπεσεν ἀπὸ τοῦ ἵππου, ζῶντα ἐς Μεσσήνην ἄγουσιν αὐτόν. Συνελθόντων δὲ αὐτίκα ἐς ἐκκλησίαν, διάφοροι παρὰ πολὺ καὶ οὐ πάντων κατὰ ταὐτὰ ἐγίνοντο αἱ γνῶμαι.
7 Δεινοκράτης δὲ καὶ ὅσοι τῶν Μεσσηνίων ἦσαν δυνατοὶ χρήμασι, παρεκελεύοντο ἀποκτεῖναι Φιλοποίμενα· οἱ δὲ τοῦ δήμου περιποιῆσαι τὰ μάλιστα εἶχον σπουδήν, πλέον τι ἢ παντὸς τοῦ Ἑλληνικοῦ πατέρα ὀνομάζοντες. Δεινοκράτης δὲ καὶ ἀκόντων Μεσσηνίων ἔμελλεν ἄρα
8 Φιλοποίμενα ἀναιρήσειν ἐσπέμψας φάρμακον. Λυκόρτας δὲ μετ' οὐ πολὺ ἀθροίσας ἔκ τε Ἀρκαδίας καὶ παρὰ Ἀχαιῶν δύναμιν ἐστράτευσεν ἐπὶ Μεσσήνην, καὶ ὁ δῆμος αὐτίκα ὁ τῶν Μεσσηνίων προσεχώρησε τοῖς Ἀρκάσι, καὶ οἱ Φιλοποίμενι αἰτίαν θανάτου παρασχόντες ἁλόντες πλὴν Δεινοκράτους ὑπέσχον τιμωρίαν οἱ ἄλλοι· Δεινοκράτης δὲ ἀφίησιν αὐτοχειρίᾳ τὴν ψυχήν. κατάγουσι δὲ καὶ ἐς Μεγάλην πόλιν τοῦ Φιλοποίμενος τὰ ὀστᾶ οἱ Ἀρκάδες.

LII. Καὶ ἤδη τὸ μετὰ τοῦτο ἐς ἀνδρῶν ἀγαθῶν φο- 705

ρὰν ἔληξεν ἡ Ἑλλάς. 2. Μιλτιάδης μὲν γὰρ ὁ Κίμωνος
τούς τε ἐς Μαραθῶνα ἀποβάντας τῶν βαρβάρων κρα-
τήσας μάχῃ καὶ τὸν Μήδων ἐπισχὼν στόλον ἐγένετο εὐ-
εργέτης πρῶτος κοινῇ τῆς Ἑλλάδος, Φιλοποίμην δὲ ὁ
Κραύγιδος ἔσχατος. οἱ δὲ πρότερον Μιλτιάδου λαμπρὰ
ἔργα ἀποδειξάμενοι, Κόδρος τε ὁ Μελάνθου καὶ ὁ Σπαρ-
τιάτης Πολύδωρος καὶ Ἀριστομένης ὁ Μεσσήνιος καὶ εἰ
δή τις ἄλλος, πατρίδας ἕκαστοι τὰς αὑτῶν καὶ οὐκ
ἀθρόαν φανοῦνται τὴν Ἑλλάδα ὠφελήσαντες. Μιλτιά- 2
δου δὲ ὕστερον Λεωνίδας ὁ Ἀναξανδρίδου καὶ Θεμιστο-
κλῆς ὁ Νεοκλέους ἀπώσαντο ἐκ τῆς Ἑλλάδος Ξέρξην, ὁ
μὲν ταῖς ναυμαχίαις ἀμφοτέραις, Λεωνίδας δὲ ἀγῶνι
τῷ ἐν Θερμοπύλαις. Ἀριστείδην δὲ τὸν Λυσιμάχου καὶ
Παυσανίαν τὸν Κλεομβρότου Πλαταιᾶσιν ἡγησαμένους,
τὸν μὲν τὰ ὕστερον ἀφείλετο ἀδικήματα εὐεργέτην μὴ
ὀνομασθῆναι τῆς Ἑλλάδος, Ἀριστείδην δέ, ὅτι ἔταξε
φόρους τοῖς τὰς νήσους ἔχουσιν Ἕλλησι· πρὸ Ἀριστεί-
δου δὲ ἦν ἅπαν τὸ Ἑλληνικὸν ἀτελὲς φόρων. Ξάνθιππος 3
δὲ ὁ Ἀρίφρονος καὶ Κίμων, ὁ μὲν ὁμοῦ Λεωτυχίδῃ τῷ
βασιλεύοντι ἐν Σπάρτῃ τὸ Μήδων ναυτικὸν ἔφθειρεν
ἐν Μυκάλῃ, Κίμωνι δὲ πολλὰ καὶ ἄξια ζήλου κατειργα-
σμένα ἐστὶν ὑπὲρ τῶν Ἑλλήνων. τοὺς δὲ ἐπὶ τοῦ Πελο-
ποννησιακοῦ πρὸς Ἀθηναίους πολέμου, καὶ μάλιστα
αὐτῶν τοὺς εὐδοκιμήσαντας, φαίη τις ἂν αὐτόχειρας
καὶ ὅτι ἐγγύτατα καταποντιστὰς εἶναι σφᾶς τῆς Ἑλλά-
δος. κεκακωμένον δὲ ἤδη τὸ Ἑλληνικὸν Κόνων ὁ Τιμο- 4
θέου καὶ Ἐπαμεινώνδας ἀνεκτήσατο ὁ Πολύμνιδος, ὁ
μὲν ἐκ τῶν νήσων καὶ ὅσα ἐγγυτάτω θαλάσσης, Ἐπα-
μεινώνδας δὲ ἐκ τῶν πόλεων τῶν ἀπὸ θαλάσσης ἄνω
Λακεδαιμονίων τὰς φρουρὰς καὶ ἁρμοστὰς ἐκβαλόντες
706 καὶ δεκαδαρχίας καταπαύσαντες· Ἐπαμεινώνδας δὲ καὶ
πόλεσιν οὐκ ἀφανέσι, Μεσσήνῃ καὶ Μεγάλῃ πόλει τῇ

5 Ἀρκάδων, λογιμωτέραν τὴν Ἑλλάδα ἐποίησεν. Εἶναι δὲ ἁπάντων Ἑλλήνων καὶ Λεωσθένην τίθεμαι καὶ Ἄρατον εὐεργέτας· ὁ μέν γε τὸ Ἑλλήνων μισθοφορικὸν τὸ ἐν Πέρσαις περὶ πέντε που μυριάδας ἐπὶ θάλασσαν καταβάντας ναυσὶν ἐς τὴν Ἑλλάδα ἀνέσωσε καὶ ἄκοντος Ἀλεξάνδρου· τὰ δὲ ἐς Ἄρατον ἐδήλωσεν ἤδη μοι τοῦ λόγου τὰ ἐς Σικυωνίους.

6 3. Τὸ δὲ ἐπίγραμμά ἐστιν ἐπὶ τῷ Φιλοποίμενι τὸ ἐν Τεγέᾳ·

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ἑλλάδα, πολλὰ μὲν ἀλκαῖς
πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
Ἀρκάδος αἰχμητᾶ Φιλοποίμενος, ᾧ μέγα κῦδος
ἕσπετ' ἐνὶ πτολέμῳ δούρατος ἀγεμόνι.
μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξομέναν δ' ἄρατο δουλοσύναν.
ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱόν
στᾶσεν ἀμώμητον κράντορ' ἐλευθερίας.

LIII. Τοῦτο μὲν δὴ ἐνταῦθά ἐστιν ἐπίγραμμα· τῷ δὲ Ἀπόλλωνι οἱ Τεγεᾶται τῷ Ἀγυιεῖ τὰ ἀγάλματα ἐπ' αἰτίᾳ φασὶν ἱδρύσασθαι τοιᾷδε. Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐπὶ πᾶσαν λέγουσι χώραν τιμωρεῖσθαι τῶν τότε ἀνθρώπων ὅσοι Λητοῦς, ἡνίκα εἶχεν ἐν τῇ γαστρί, πλανωμένης καὶ ἀφικομένης ἐς τὴν γῆν ἐκείνην οὐδένα ἐποιή-
2 σαντο αὐτῆς λόγον. ὡς δὲ ἄρα καὶ ἐς τὴν Τεγεατῶν ἐληλυθέναι τοὺς θεούς, ἐνταῦθα υἱὸν Τεγεάτου Σκέφρον προσελθόντα τῷ Ἀπόλλωνι ἐν ἀπορρήτῳ διαλέγεσθαι πρὸς αὐτόν· Λειμὼν δέ, ἦν δὲ καὶ ὁ Λειμὼν οὗτος Τεγεάτου τῶν παίδων, ὑπονοήσας ἔγκλημα ἔχειν ἐς ἑαυτὸν τὰ ὑπὸ Σκέφρου λεγόμενα, ἀποκτίννυσιν ἐπι-
3 δραμὼν τὸν ἀδελφόν. καὶ Λειμῶνα μὲν τοξευθέντα ὑπὸ 707
Ἀρτέμιδος περιῆλθεν αὐτίκα ἡ δίκη τοῦ φόνου· Τεγεάτης δὲ καὶ Μαιρὰ τὸ μὲν παραυτίκα Ἀπόλλωνι καὶ

Ἀρτέμιδι θύουσιν, ὕστερον δὲ ἐπιλαβούσης ἀκαρπίας
ἰσχυρᾶς ἦλθε μάντευμα ἐκ Δελφῶν Σκέφρον θρηνεῖν.
καὶ ἄλλα τε ἐν τοῦ Ἀγυιέως τῇ ἑορτῇ δρῶσιν ἐς τιμὴν
τοῦ Σκέφρου, καὶ ἡ τῆς Ἀρτέμιδος ἱέρεια διώκει τινὰ
ἅτε αὐτὴ τὸν Λειμῶνα ἡ Ἄρτεμις. 2. Λέγουσι δὲ καὶ 4
ὅσοι Τεγεάτου τῶν παίδων ἐλείποντο, μετοικῆσαι σφᾶς
ἑκουσίως ἐς Κρήτην, Κύδωνα καὶ Ἀρχήδιον καὶ Γόρ-
τυνα· καὶ ἀπὸ τούτων φασὶν ὀνομασθῆναι τὰς πόλεις
Κυδωνίαν καὶ Γόρτυνά τε καὶ Κατρέα. Κρῆτες δὲ οὐχ
ὁμολογοῦντες τῷ Τεγεατῶν λόγῳ Κύδωνα μὲν Ἀκακαλ-
λίδος θυγατρὸς Μίνω καὶ Ἑρμοῦ, Κατρέα δέ φασιν εἶ-
ναι Μίνω, τὸν δὲ Γόρτυνα Ῥαδαμάνθυος. Ἐς δὲ αὐτὸν 5
Ῥαδάμανθυν Ὁμήρου μέν ἐστιν ἐν Πρωτέως πρὸς Μενέ-
λαον λόγοις ὡς ἐς τὸ πεδίον ἥξοι Μενέλαος τὸ Ἠλύσιον,
πρότερον δὲ ἔτι Ῥαδάμανθυν ἐνταῦθα ἥκειν· Κιναίθων
δὲ ἐν τοῖς ἔπεσιν ἐποίησεν ὡς Ῥαδάμανθυς μὲν Ἡφαί-
στου, Ἥφαιστος δὲ εἴη Τάλω, Τάλων δὲ εἶναι Κρητὸς
παῖδα. οἱ μὲν δὴ Ἑλλήνων λόγοι διάφοροι τὰ πλέονα
καὶ οὐχ ἥκιστα ἐπὶ τοῖς γένεσίν εἰσι· 3. Τεγεάταις δὲ 6
τοῦ Ἀγυιέως τὰ ἀγάλματα τέσσαρά εἰσιν ἀριθμόν, ὑπὸ
φυλῆς ἓν ἑκάστης ἱδρυμένον. ὀνόματα δὲ αἱ φυλαὶ παρ-
έχονται Κλαρεῶτις, Ἱπποθοῖτις, Ἀπολλωνιᾶτις, Ἀθα-
νεᾶτις· καλοῦνται δὲ ἀπὸ τοῦ κλήρου ὃν τοῖς παισὶν
Ἀρκὰς ἐποίησεν ὑπὲρ τῆς χώρας, καὶ ἀπὸ Ἱππόθου τοῦ
Κερκυόνος.

Ἔστι δὲ καὶ Δήμητρος ἐν Τεγέᾳ καὶ Κόρης ναός, ἃς 7
ἐπονομάζουσι Καρποφόρους, πλησίον δὲ Ἀφροδίτης
καλουμένης Παφίας· ἱδρύσατο αὐτὴν Λαοδίκη, γεγο-
νυῖα μέν, ὡς καὶ πρότερον ἐδήλωσα, ἀπὸ Ἀγαπήνορος
708 ὃς ἐς Τροίαν ἡγήσατο Ἀρκάσιν, οἰκοῦσα δὲ ἐν Πάφῳ.
τούτου δέ ἐστιν οὐ πόρρω Διονύσου τε ἱερὰ δύο καὶ
Κόρης βωμὸς καὶ Ἀπόλλωνος ναὸς καὶ ἄγαλμα ἐπίχρυ-

8 σου· Χειρίσοφος δὲ ἐποίησε, Κρὴς μὲν γένος, ἡλικίαν δὲ αὐτοῦ καὶ τὸν διδάξαντα οὐκ ἴσμεν. ἡ δὲ δίαιτα ἡ ἐν Κνώσῳ Δαιδάλῳ παρὰ Μίνῳ συμβᾶσα ἐπὶ μακρότερον δόξαν τοῖς Κρησὶ καὶ ἐπὶ ξοάνων ποιήσει παρεσκεύασε. παρὰ δὲ τῷ Ἀπόλλωνι ὁ Χειρίσοφος ἕστηκε λίθου πεποιημένος.

9 Καλοῦσι δὲ οἱ Τεγεᾶται καὶ ἑστίαν Ἀρκάδων κοινήν. ἐνταῦθά ἐστιν ἄγαλμα Ἡρακλέους· πεποίηται δέ οἱ ἐπὶ τοῦ μηροῦ τραῦμα ἀπὸ τῆς μάχης ἣν πρῶτος Ἱπποκόωντος τοῖς παισὶν ἐμαχέσατο. 4. Τὸ δὲ χωρίον τὸ ὑψηλόν, ἐφ' οὗ καὶ οἱ βωμοὶ Τεγεάταις εἰσὶν οἱ πολλοί, καλεῖται μὲν Διὸς Κλαρίου, δῆλα δὲ ὡς ἐγένετο ἡ ἐπίκλησις τῷ θεῷ τοῦ κλήρου τῶν παίδων ἕνεκα τῶν Ἀρ-
10 κάδος. Ἄγουσι δὲ ἑορτὴν αὐτόθι Τεγεᾶται κατὰ ἔτος· καί σφισιν ἐπιστρατεῦσαι Λακεδαιμονίους ποτὲ ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς λέγουσι, καί, νείφειν γὰρ τὸν θεόν, τοὺς μὲν ῥιγοῦν καὶ ὄντας ἐν τοῖς ὅπλοις κάμνειν, αὐτοὶ δὲ ἐκείνων κρύφα πῦρ καῦσαι, καὶ ὡς οὐκ ἠνωχλοῦντο ὑπὸ τοῦ κρυμοῦ, τὰ ὅπλα ἐνδύντες ἐξελθεῖν τε ἐπὶ τοὺς Λακεδαιμονίους καὶ σχεῖν ἐν τῷ ἔργῳ πλέον φασίν. 5. Ἐθεασάμην δὲ καὶ ἄλλα ἐν Τεγέᾳ τοσάδε, Ἀλέου οἰκίαν καὶ Ἐχέμου μνῆμα καὶ ἐπειργασμένην ἐς στήλην τὴν Ἐχέμου πρὸς τὸν Ὕλλον μάχην.

11 Ἐκ Τεγέας δὲ ἰόντι ἐς τὴν Λακωνικὴν ἔστι μὲν βωμὸς ἐν ἀριστερᾷ τῆς ὁδοῦ Πανός, ἔστι δὲ καὶ Λυκαίου Διός· λείπεται δὲ καὶ θεμέλια ἱερῶν. οὗτοι μὲν δή εἰσιν οἱ βωμοὶ σταδίοις δύο ἀπωτέρω τοῦ τείχους, προελθόντι δὲ ἀπ' αὐτῶν μάλιστά που σταδίους ἑπτὰ ἱερὸν Ἀρτέμιδος ἐπίκλησιν Λιμνάτιδος καὶ ἄγαλμά ἐστιν ἐβένου ξύλου· τρόπος δὲ τῆς ἐργασίας ὁ Αἰγιναῖος καλούμενος ὑπὸ Ἑλλήνων. τούτου δὲ ὅσον δέκα ἀπωτέρω σταδίοις Ἀρτέμιδος Κνακεάτιδός ἐστι ναοῦ τὰ ἐρείπια.

709 LIV. *Λακεδαιμονίοις δὲ καὶ Τεγεάταις ὅροι τῆς γῆς
ὁ ποταμός ἐστιν ὁ Ἀλφειός. τούτου τὸ ὕδωρ ἄρχεται μὲν
ἐν Φυλάκῃ, κάτεισι δὲ οὐ πόρρω τῆς πηγῆς καὶ ἄλλο ὕδωρ
ἐς αὐτὸν ἀπὸ πηγῶν μεγέθει μὲν οὐ μεγάλων, πλεόνων
δὲ ἀριθμόν· καὶ διὰ τοῦτο τῷ χωρίῳ Σύμβολα γέγονεν
ὄνομα.* 2. *Φαίνεται δὲ ὁ Ἀλφειὸς παρὰ τοὺς ἄλλους ποτα-* 2
*μοὺς φύσιν τινὰ ἰδίαν παρεχόμενος τοιάνδε· ἀφανίζεσθαί
τε γὰρ κατὰ γῆς ἐθέλει πολλάκις καὶ αὖθις ἀναφαίνε-
σθαι. προελθὼν μέν γε ἐκ Φυλάκης καὶ τῶν καλουμένων
Συμβόλων ἐς τὸ πεδίον κατέδυ τὸ Τεγεατικόν· ἀνατείλας
δὲ ἐν Ἀσέᾳ καὶ τὸ ῥεῦμα ἀναμίξας τῷ Εὐρώτᾳ τὸ δεύ-
τερον ἤδη κάτεισιν ἐς τὴν γῆν· ἀνασχὼν δὲ ἔνθα Πηγὰς* 3
*ὀνομάζουσιν οἱ Ἀρκάδες, καὶ παρὰ γῆν τε τὴν Πισαίαν
καὶ παρὰ Ὀλυμπίαν ἐξελθών, ἐκδίδωσιν ὑπὲρ Κυλλή-
νης, ἐπινείου τοῦ Ἠλείων, ἐς τὴν θάλασσαν. ἔμελλε δὲ
ἄρα μηδὲ Ἀδρίας ἐπισχήσειν αὐτὸν τοῦ πρόσω· διανη-
ξάμενος δὲ καὶ τοῦτον, μέγα οὕτω καὶ βίαιον πέλαγος,
ἐν Ὀρτυγίᾳ τῇ πρὸ Συρακουσῶν ἐπιδείκνυσιν Ἀλφειός
τε ὢν καὶ πρὸς Ἀρέθουσαν τὸ ὕδωρ ἀνακοινούμενος.*
3. *Ἡ δὲ εὐθεῖα ἐπὶ Θυρέαν τε καὶ κώμας τὰς ἐν τῇ* 4
*Θυρεάτιδι ἐκ Τεγέας παρείχετο ἐς συγγραφὴν Ὀρέστου
τοῦ Ἀγαμέμνονος μνῆμα, καὶ ὑφελέσθαι Σπαρτιάτην
τὰ ὀστᾶ αὐτόθεν οἱ Τεγεᾶται λέγουσι· καθ' ἡμᾶς δὲ
οὐκέτι πυλῶν ἐντὸς ἐγίνετο ὁ τάφος. ῥεῖ δὲ καὶ Γαράτης
ποταμὸς κατὰ τὴν ὁδόν. διαβάντι δὲ τὸν Γαράτην καὶ
προελθόντι σταδίους δέκα Πανός ἐστιν ἱερὸν καὶ πρὸς
αὐτῷ δρῦς, ἱερὰ καὶ αὕτη τοῦ Πανός.*
4. *Ἡ δὲ ἐς Ἄργος ἐκ Τεγέας ὀχήματι ἐπιτηδειοτάτη* 5
*καὶ τὰ μάλιστά ἐστι λεωφόρος. ἔστι δὲ ἐπὶ τῆς ὁδοῦ
πρῶτα μὲν ναὸς καὶ ἄγαλμα Ἀσκληπιοῦ· μετὰ δὲ ἐκτρα-
πεῖσιν ἐς ἀριστερὰ ὅσον στάδιον Ἀπόλλωνος ἐπίκλησιν
Πυθίου καταλελυμένον ἐστὶν ἱερὸν καὶ ἐρείπια ἐς ἅπαν.*

*Κατὰ δὲ τὴν εὐθεῖαν αἵ τε δρῦς εἰσὶ πολλαὶ καὶ Δήμη- 710
τρος ἐν τῷ ἄλσει τῶν δρυῶν ναὸς ἐν Κορυθεῦσι καλου-
μένης· πλησίον δὲ ἄλλο ἐστὶν ἱερὸν Διονύσου Μύστου.
6 5. Τὸ ἀπὸ τούτου δὲ ἄρχεται τὸ ὄρος τὸ Παρθένιον· ἐν
δὲ αὐτῷ τέμενος δείκνυται Τηλέφου, καὶ ἐνταῦθα παῖδα
ἐκκείμενόν φασιν αὐτὸν ὑπὸ ἐλάφου τραφῆναι. ἀπω-
τέρω δὲ ὀλίγον Πανός ἐστιν ἱερόν, ἔνθα Φιλιππίδῃ φα-
νῆναι τὸν Πᾶνα καὶ εἰπεῖν τὰ πρὸς αὐτὸν Ἀθηναῖοί τε
7 καὶ κατὰ ταὐτὰ Τεγεᾶται λέγουσι. Παρέχεται δὲ τὸ
Παρθένιον καὶ ἐς λύρας ποίησιν χελώνας ἐπιτηδειοτά-
τας, ἃς οἱ περὶ τὸ ὄρος ἄνθρωποι καὶ αὐτοὶ λαμβάνειν
δεδοίκασι καὶ ξένους οὐ περιορῶσιν αἱροῦντας· ἱερὰς
γὰρ σφᾶς εἶναι τοῦ Πανὸς ἥγηνται. ὑπερβαλόντι δὲ τὴν
κορυφὴν τοῦ ὄρους ἔστιν ἐν τοῖς ἤδη γεωργουμένοις
Τεγεατῶν ὅρος καὶ Ἀργείων, κατὰ Ὑσιὰς τὰς ἐν τῇ Ἀρ-
γολίδι.*

*Αἵδε μὲν Πελοποννήσου μοῖραι καὶ πόλεις τε ἐν
ταῖς μοίραις καὶ ἐν ἑκάστῃ πόλει τὰ ἀξιολογώτατά ἐστιν
ἐς μνήμην.*

ΒΟΙΩΤΙΚΑ.

I. *Ἀθηναίοις δὲ ἡ Βοιωτία καὶ κατὰ ἄλλα τῆς Ἀτ- 711
τικῆς ἐστὶν ὅμορος, πρὸς δὲ Ἐλευθερῶν οἱ Πλαταιεῖς.
Βοιωτοὶ δὲ τὸ μὲν πᾶν ἔθνος ἀπὸ Βοιωτοῦ τὸ ὄνομα
ἔσχηκεν, ὃν Ἰτώνου παῖδα καὶ νύμφης [δὴ] Μελανίπ-
πης, Ἴτωνον δὲ Ἀμφικτύονος εἶναι λέγουσι· καλοῦν-
ται δὲ κατὰ πόλεις ἀπό τε ἀνδρῶν καὶ τὰ πλείω γυναι-
κῶν.* 2. *Οἱ δὲ Πλαταιεῖς τὸ ἐξ ἀρχῆς, ἐμοὶ δοκεῖν, εἰ-
σὶν αὐτόχθονες· ὄνομα δέ σφισιν ἀπὸ Πλαταίας, ἣν 712
2 θυγατέρα εἶναι (Ἀσωποῦ) τοῦ ποταμοῦ νομίζουσιν. Ὅτι*

μὲν δὴ καὶ οὗτοι τὸ ἀρχαῖον ἐβασιλεύοντο, δῆλά ἐστι·
βασιλεῖαι γὰρ πανταχοῦ τῆς Ἑλλάδος καὶ οὐ δημοκρα-
τίαι πάλαι καθεστήκεσαν. τῶν δὲ βασιλέων ἄλλον μὲν
οὐδένα οἱ Πλαταιεῖς ἴσασι, μόνον δὲ Ἀσωπὸν καὶ ἔτι
πρότερον Κιθαιρῶνα· καὶ τὸν μὲν ἀφ᾽ αὐτοῦ θέσθαι
τῷ ὄρει τὸ ὄνομα, τὸν δὲ τῷ ποταμῷ λέγουσι. δοκῶ δὲ
καὶ τὴν Πλάταιαν, ἀφ᾽ ἧς κέκληται [καὶ] ἡ πόλις, βασι-
λέως Ἀσωποῦ καὶ οὐ τοῦ ποταμοῦ παῖδα εἶναι.

Πλαταιεῦσι δὲ πρὸ μὲν τῆς μάχης ἣν Ἀθηναῖοι Μα- 3
ραθῶνι ἐμαχέσαντο οὐδὲν ὑπῆρχεν ἐς δόξαν· μετασχόν-
τες δὲ τοῦ Μαραθῶνι ἀγῶνος, ὕστερον καταβεβηκότος
ἤδη Ξέρξου καὶ ἐς τὰς ναῦς ἐτόλμησαν μετ᾽ Ἀθηναίων
ἐσβῆναι, Μαρδόνιον δὲ τὸν Γωβρύου Ξέρξῃ στρατη-
γοῦντα ἠμύναντο ἐν τῇ σφετέρᾳ. 3. Δὶς δὲ σφᾶς κατέ-
λαβε γενέσθαι τε ἀναστάτους καὶ αὖθις ἐς Βοιωτίαν
καταχθῆναι. ἐπὶ μὲν γὰρ τοῦ πολέμου τοῦ Πελοποννη- 4
σίοις πρὸς Ἀθηναίους γενομένου Λακεδαιμόνιοι πολιορ-
κίᾳ Πλάταιαν ἐξεῖλον· ἀνοικισθείσης δὲ ἐπὶ τῆς εἰρήνης
ἣν πρὸς βασιλέα τῶν Περσῶν γενέσθαι τοῖς Ἕλλησιν
ἔπραξεν Ἀνταλκίδας ἀνὴρ Σπαρτιάτης, καὶ τῶν Πλα-
ταιέων κατελθόντων ἐξ Ἀθηνῶν, τοὺς δὲ αὖθις ἔμελ-
λεν ἐπιλήψεσθαι κακὸν δεύτερον. ἐκ μέν γε τοῦ ἐμφα-
νοῦς πόλεμος πρὸς τοὺς Θηβαίους οὐκ ἦν συνεστηκώς,
ἀλλὰ οἱ Πλαταιεῖς μένειν τὴν εἰρήνην σφίσιν ἔφασαν,
ὅτι τὴν Καδμείαν Λακεδαιμονίοις κατασχοῦσιν οὔτε βου-
λεύματος οὔτε ἔργου μετεσχήκεσαν. Θηβαῖοι δὲ ἀπέ- 5
φαινον τήν τε εἰρήνην Λακεδαιμονίους εἶναι τοὺς πρά-
ξαντας, καὶ ὕστερον παραβάντων ἐκείνων λελύσθαι καὶ
ἅπασιν ἠξίουν τὰς σπονδάς. Οὐκ ἀνύποπτα οὖν ἡγού-
μενοι οἱ Πλαταιεῖς τὰ ἐκ τῶν Θηβαίων διὰ φυλακῆς εἶ-
713 χον ἰσχυρᾶς τὴν πόλιν, καὶ ἐς τοὺς ἀγρούς, ὁπόσοι ἀπω-
τέρω τοῦ ἄστεως ἦσαν, οὐδὲ ἐς τούτους ἀνὰ πᾶσαν ἥρ-

χοντο ἡμέραν, ἀλλά, ἠπίσταντο γὰρ τοὺς Θηβαίους ὡς
πανδημεὶ καὶ ἅμα ἐπὶ πλεῖστον εἰώθεσαν βουλεύεσθαι,
παρεφύλασσον τὰς ἐκκλησίας αὐτῶν, καὶ ἐν τῷ τοσούτῳ
καθ' ἡσυχίαν ἐφεώρων τὰ ἑαυτῶν καὶ οἱ ἔσχατοι γεωρ-
6 γοῦντες. Νεοκλῆς δὲ ὃς τότε βοιωταρχῶν ἔτυχεν ἐν Θή-
βαις, οὐ γὰρ αὐτὸν οἱ Πλαταιεῖς ἐλελήθεσαν ἐπὶ τῇ
τέχνῃ, προεῖπε τῶν Θηβαίων ἕκαστόν τινα ἰέναι πρὸς
τὴν ἐκκλησίαν ὁμοῦ τοῖς ὅπλοις, καὶ σφᾶς αὐτίκα οὐ
τὴν εὐθεῖαν ἀπὸ τῶν Θηβῶν τὴν πεδιάδα, τὴν δὲ ἐπὶ
Ὑσιὰς ἦγε πρὸς Ἐλευθερῶν τε καὶ τῆς Ἀττικῆς, ᾗ μηδὲ
σκοπὸς ἐτέτακτο ὑπὸ τῶν Πλαταιέων, γενήσεσθαι δὲ
περὶ τὰ τείχη περὶ μεσοῦσαν μάλιστα ἔμελλε τὴν ἡμέ-
7 ραν. Πλαταιεῖς δὲ ἄγειν Θηβαίους νομίζοντες ἐκκλη-
σίαν ἐς τοὺς ἀγροὺς ἀποκεκλειμένοι τῶν πυλῶν ἦσαν.
Πρὸς δὲ τοὺς ἐγκαταληφθέντας ἐποιήσαντο οἱ Θηβαῖοι
σπονδάς, ἀπελθεῖν σφᾶς πρὸ ἡλίου δύντος ἄνδρας μὲν
σὺν ἑνί, γυναῖκας δὲ δύο ἱμάτια ἑκάστην ἔχουσαν. Συν-
έβη δὲ ἐναντία τοῖς Πλαταιεῦσιν ἐν τῷ τότε ἡ τύχη ἢ
ὡς ὑπὸ Ἀρχιδάμου καὶ Λακεδαιμονίων τὸ πρότερον
ἥλωσαν· Λακεδαιμόνιοι μέν γε αὐτοὺς ἐξεπολιόρκησαν
ἀπείργοντες διπλῷ τείχει μὴ ἐξελθεῖν τοῦ ἄστεως, Θη-
βαῖοι δὲ ἐν τῷ τότε ἀφελόμενοι μὴ ἐσελθεῖν σφᾶς ἐς τὸ
8 τεῖχος. Ἐγένετο δὲ ἡ ἅλωσις Πλαταίας ἡ δευτέρα μάχης
μὲν τρίτῳ τῆς ἐν Λεύκτροις ἔτει πρότερον, Ἀστείου δὲ
Ἀθήνησιν ἄρχοντος. καὶ ἡ μὲν πόλις ὑπὸ τῶν Θηβαίων
καθῃρέθη πλὴν τὰ ἱερά, τοῖς δὲ Πλαταιεῦσιν ὁ τρόπος
τῆς ἁλώσεως σωτηρίαν παρέσχεν ἐν ἴσῳ πᾶσιν· ἐκπε- 714
σόντας δὲ σφᾶς ἐδέξαντο αὖθις οἱ Ἀθηναῖοι. Φιλίππου
δέ, ὡς ἐκράτησεν ἐν Χαιρωνείᾳ, φρουράν τε ἐσαγαγόν-
τος ἐς Θήβας καὶ ἄλλα ἐπὶ καταλύσει τῶν Θηβαίων
πράσσοντος, οὕτω καὶ οἱ Πλαταιεῖς ὑπ' αὐτοῦ κατή-
χθησαν.

II. Γῆς δὲ τῆς Πλαταιίδος ἐν τῷ Κιθαιρῶνι ὀλίγον τῆς εὐθείας ἐκτραπεῖσιν ἐς δεξιὰ Ὑσιῶν καὶ Ἐρυθρῶν ἐρείπιά ἐστι. πόλεις δέ ποτε τῶν Βοιωτῶν ἦσαν, καὶ νῦν ἔτι ἐν τοῖς ἐρειπίοις τῶν Ὑσιῶν ναός ἐστιν Ἀπόλλωνος ἡμίεργος καὶ φρέαρ ἱερόν· πάλαι δὲ ἐκ τοῦ φρέατος κατὰ τὸν Βοιωτῶν λόγον ἐμαντεύοντο πίνοντες.
2. Ἐπανελθοῦσι δὲ ἐς τὴν λεωφόρον ἔστιν αὖθις ἐν δε- 2
ξιᾷ Μαρδονίου λεγόμενον μνῆμα εἶναι. καὶ ὅτι μὲν εὐθὺς ἦν μετὰ τὴν μάχην ἀφανὴς ὁ Μαρδονίου νεκρός, ἔστιν ὡμολογημένον· τὸν δὲ θάψαντα οὐ κατὰ ταὐτά, ὅστις ἦν, λέγουσι. φαίνεται δὲ Ἀρτόντης ὁ Μαρδονίου πλεῖστα μὲν δοὺς Διονυσοφάνει δῶρα ἀνδρὶ Ἐφεσίῳ, δοὺς μέντοι καὶ ἄλλοις Ἰώνων ὡς οὐδὲ ἐκείνοις ἀμελὲς γενόμενον ταφῆναι Μαρδόνιον. αὕτη μὲν ἀπ' Ἐλευθερῶν ἐς Πλάταιαν ἄγει.

3. Τοῖς δὲ ἐκ Μεγάρων ἰοῦσι πηγή τέ ἐστιν ἐν δεξιᾷ 3
καὶ προελθοῦσιν ὀλίγον πέτρα· καλοῦσι δὲ τὴν μὲν Ἀκταίωνος κοίτην, ἐπὶ ταύτῃ καθεύδειν φασὶ τῇ πέτρᾳ τὸν Ἀκταίωνα ὁπότε κάμοι θηρεύων, ἐς δὲ τὴν πηγὴν ἐνιδεῖν λέγουσιν αὐτὸν λουμένης Ἀρτέμιδος ἐν τῇ πηγῇ. Στησίχορος δὲ ὁ Ἱμεραῖος ἔγραψεν ἐλάφου περιβαλεῖν δέρμα Ἀκταίωνι τὴν θεόν, παρασκευάζουσάν οἱ τὸν ἐκ τῶν κυνῶν θάνατον, ἵνα δὴ μὴ γυναῖκα Σεμέλην λάβοι.
ἐγὼ δὲ ἄνευ θεοῦ πείθομαι νόσον λύσσαν τοῦ Ἀκταίω- 4
νος ἐπιλαβεῖν τοὺς κύνας· μανέντες δὲ καὶ οὐ διαγινώσκοντες διαφορήσειν ἔμελλον πάντα τινὰ ὅτῳ περιτύχοιεν. Καθότι δὲ τοῦ Κιθαιρῶνος Πενθεῖ τῷ Ἐχίονος ἐγένετο ἡ συμφορά, ἢ Οἰδίποδα ὅπῃ τεχθέντα ἐξέθεσαν, οἶδεν οὐδείς, καθάπερ γε ἴσμεν τὴν Σχιστὴν
715 ὁδὸν τὴν ἐπὶ Φωκέων, ἐφ' ᾗ τὸν πατέρα Οἰδίπους ἀπέκτεινεν. [ὁ δὲ Κιθαιρὼν τὸ ὄρος Διὸς ἱερὸν Κιθαιρω-

νίου ἐστίν] ἃ δὴ καὶ ἐς πλέον ἐπέξειμι, ἐπειδὰν ἐς αὐτὰ ὁ λόγος καθήκῃ μοι.

5 4. Κατὰ δὲ τὴν ἔσοδον μάλιστα τὴν ἐς Πλάταιαν τάφοι τῶν πρὸς Μήδους μαχεσαμένων εἰσί. τοῖς μὲν οὖν λοιποῖς ἐστιν Ἕλλησι μνῆμα κοινόν· Λακεδαιμονίων δὲ καὶ Ἀθηναίων τοῖς πεσοῦσιν ἰδίᾳ τέ εἰσιν οἱ τάφοι, καὶ ἐλεγεῖά ἐστι Σιμωνίδου γεγραμμένα ἐπ' αὐτοῖς. οὐ πόρρω δὲ ἀπὸ τοῦ κοινοῦ τῶν Ἑλλήνων Διός ἐστιν Ἐλευθερίου βωμός. τούτους μὲν δὴ χαλκοῦ, τοῦ Διὸς δὲ τόν τε βωμὸν καὶ τὸ ἄγαλμα ἐποίησαν λευκοῦ
6 λίθου. Ἄγουσι δὲ καὶ νῦν ἔτι ἀγῶνα διὰ ἔτους πέμπτου, τὰ Ἐλευθέρια, ἐν ᾧ μέγιστα γέρα πρόκειται δρόμου· θέουσι δὲ ὡπλισμένοι πρὸ τοῦ βωμοῦ. τρόπαιον δὲ ὃ τῆς μάχης τῆς Πλαταιᾶσιν ἀνέθεσαν οἱ Ἕλληνες, πεντεκαίδεκα σταδίοις μάλιστα ἕστηκεν ἀπωτέρω τῆς πόλεως.

7 5. Ἐν αὐτῇ δὲ τῇ πόλει προϊοῦσιν ἀπὸ τοῦ βωμοῦ καὶ τοῦ ἀγάλματος ἃ τῷ Διὶ πεποίηται τῷ Ἐλευθερίῳ, Πλαταίας ἐστὶν ἡρῷον· καί μοι τὰ ἐς αὐτὴν ἤδη, τὰ λεγόμενα καὶ ὁποῖα αὐτὸς εἴκαζον, ἔστιν εἰρημένα. Πλαταιεῦσι δὲ ναός ἐστιν Ἥρας, θέας ἄξιος μεγέθει τε καὶ ἐς τῶν ἀγαλμάτων τὸν κόσμον. ἐσελθοῦσι μὲν Ῥέα τὸν πέτρον κατειλημένον σπαργάνοις, οἷα δὴ τὸν παῖδα ὃν ἔτεκε, Κρόνῳ κομίζουσά ἐστι· τὴν δὲ Ἥραν Τελείαν καλοῦσι, πεποίηται δὲ ὀρθὸν μεγέθει ἄγαλμα μέγα· λίθου δὲ ἀμφότερα τοῦ Πεντελησίου, Πραξιτέλους δέ ἐστιν ἔργα. ἐνταῦθα καὶ ἄλλο Ἥρας ἄγαλμα καθήμενον Καλλίμαχος ἐποίησε· Νυμφευομένην δὲ τὴν θεὸν ἐπὶ λόγῳ τοιῷδε ὀνομάζουσιν.

III. Ἥραν ἐφ' ὅτῳ δὴ πρὸς τὸν Δία ὠργισμένην ἐς Εὔβοιάν φασιν ἀναχωρῆσαι, Δία δέ, ὡς οὐκ ἔπειθεν
αὐτήν, παρὰ Κιθαιρῶνα λέγουσιν ἐλθεῖν δυναστεύοντα 716
ἐν Πλαταιαῖς τότε· εἶναι γὰρ τὸν Κιθαιρῶνα οὐδενὸς

σοφίαν ὕστερον. οὗτος οὖν κελεύει τὸν Δία ἄγαλμα ξύλου ποιησάμενον ἄγειν ἐπὶ βοῶν ζεύγους ἐγκεκαλυμμένον, λέγειν δὲ ὡς ἄγοιτο γυναῖκα Πλάταιαν τὴν Ἀσωποῦ. καὶ ὁ μὲν ἔπρασσε κατὰ τὴν παραίνεσιν τοῦ Κιθαι- 2
ρῶνος· Ἥρα δὲ ἐπέπυστό τε αὐτίκα καὶ αὐτίκα ἀφίκετο. ὡς δὲ ἐπλησίαζε τῇ ἁμάξῃ καὶ τοῦ ἀγάλματος τὴν ἐσθῆτα περιέρρηξεν, ἥσθη τε τῇ ἀπάτῃ ξόανον εὑροῦσα ἀντὶ νύμφης γυναικός, καὶ διαλλαγὰς ποιεῖται πρὸς τὸν Δία. 2. Ἐπὶ ταύταις ταῖς διαλλαγαῖς Δαίδαλα ἑορτὴν ἄγουσιν, ὅτι οἱ πάλαι τὰ ξόανα ἐκάλουν δαίδαλα. ἐκάλουν δέ, ἐμοὶ δοκεῖν, πρότερον ἔτι ἢ Δαίδαλος ὁ Παλαμάονος ἐγένετο Ἀθήνησι· τούτῳ δὲ ὕστερον ἀπὸ τῶν δαιδάλων ἐπίκλησιν γενέσθαι δοκῶ καὶ οὐκ ἐκ γενετῆς τεθῆναι τὸ ὄνομα. 3. Δαίδαλα οὖν ἄγουσιν οἱ Πλαταιεῖς ἑορτὴν 3
δι' ἔτους ἑβδόμου μέν, ὡς ἔφασκεν ὁ τῶν ἐπιχωρίων ἐξηγητής, ἀληθεῖ μέντοι λόγῳ δι' ἐλάσσονος καὶ οὐ τοσούτου χρόνου· ἐθελήσαντες δὲ ἀπὸ Δαιδάλων ἐς Δαίδαλα ἕτερα ἀναριθμῆσαι τὸν μεταξὺ χρόνον ἐς τὸ ἀκριβέστατον οὐκ ἐγενόμεθα οἷοί τε. Ἄγουσι δὲ οὕτω τὴν ἑορτήν. δρυμός ἐστιν Ἀλαλκομενῶν οὐ πόρρω· μέγιστα 4
τῶν ἐν Βοιωτίᾳ στελέχη δρυῶν ἐστὶν ἐνταῦθα. ἐς τοῦτον οἱ Πλαταιεῖς ἀφικόμενοι τὸν δρυμὸν προτίθενται μοίρας κρεῶν ἑφθῶν. ὄρνιθες δὲ οἱ μὲν ἄλλοι σφίσιν ἥκιστά εἰσι δι' ὄχλου, τῶν κοράκων δέ, οὗτοι γάρ σφισιν ἐπιφοιτῶσιν, ἔχουσιν ἀκριβῆ τὴν φρουράν· τὸν δὲ αὐτῶν ἁρπάσαντα κρέας, ἐφ' ὅτῳ τῶν δένδρων καθεδεῖται, φυλάσσουσιν. ἐφ' οὗ δ' ἂν καθεσθῇ, τεμόντες ποιοῦσιν ἀπὸ τούτου τὸ δαίδαλον· δαίδαλον γὰρ δὴ καὶ τὸ ξόανον αὐτὸ ὀνομάζουσι. 4. Ταύτην μὲν ἰδίᾳ 5
οἱ Πλαταιεῖς ἑορτὴν ἄγουσι, Δαίδαλα μικρὰ ὀνομάζοντες· Δαιδάλων δὲ ἑορτὴν τῶν μεγάλων καὶ οἱ Βοιωτοί σφισι συνεορτάζουσι, δι' ἑξηκοστοῦ δὲ ἄγουσιν ἔτους·

ἐκλιπεῖν γὰρ τοσοῦτον χρόνον τὴν ἑορτήν φασιν, ἡνίκα 717
οἱ Πλαταιεῖς ἔφευγον. ξόανα δὲ τεσσαρεσκαίδεκα ἕτοιμά
σφισίν ἐστι κατ' ἐνιαυτὸν ἕκαστον παρασκευασθέντα
6 ἐν Δαιδάλοις τοῖς μικροῖς. Ταῦτα ἀναιροῦνται κλήρῳ
Πλαταιεῖς, Κορωναῖοι, Θεσπιεῖς, Ταναγραῖοι, Χαιρω-
νεῖς, Ὀρχομένιοι, Λεβαδεῖς, Θηβαῖοι· διαλλαγῆναι γὰρ
καὶ οὗτοι Πλαταιεῦσιν ἠξίωσαν καὶ συλλόγου μετασχεῖν
κοινοῦ καὶ ἐς Δαίδαλα θυσίαν ἀποστέλλειν, ὅτε Κάσ-
σανδρος ὁ Ἀντιπάτρου τὰς Θήβας ἀνῴκισε. τῶν δὲ πο-
λισμάτων ὁπόσα ἐστὶν ἐλάσσονος λόγου, συντέλειαν αἱ-
7 ροῦνται. τὸ δὲ ἄγαλμα κοσμήσαντες * * παρὰ τὸν Ἀσω-
πὸν καὶ ἀναθέντες ἐπὶ ἅμαξαν, γυναῖκα ἐφιστᾶσι νυμ-
φεύτριαν· οἱ δὲ αὖθις κληροῦνται καθ' ἥντινα τάξιν
τὴν πομπὴν ἀνάξουσι· τὸ δ' ἐντεῦθεν τὰς ἁμάξας ἀπὸ
τοῦ ποταμοῦ πρὸς ἄκρον τὸν Κιθαιρῶνα ἐλαύνουσιν.
εὐτρέπισται δέ σφισιν ἐπὶ τῇ κορυφῇ τοῦ ὄρους βωμός.
ποιοῦσι δὲ τρόπῳ τοιῷδε τὸν βωμόν· ξύλα τετράγωνα
ἁρμόζοντες πρὸς ἄλληλα συντιθέασι κατὰ ταὐτὰ καὶ εἰ
λίθων ἐποιοῦντο οἰκοδομίαν, ἐξάραντες δὲ ἐς ὕψος φρύ-
8 γανα ἐπιφέρουσιν. Αἱ μὲν δὴ πόλεις καὶ τὰ τέλη θή-
λειαν θύσαντες τῇ Ἥρᾳ βοῦν ἕκαστοι καὶ ταῦρον τῷ
Διί, τὰ ἱερεῖα οἴνου καὶ θυμιαμάτων πλήρη καὶ τὰ δαί-
δαλα ὁμοῦ καθαγίζουσιν ἐπὶ τοῦ βωμοῦ, ἰδιῶται δὲ
ὁπόσα δὴ θύουσιν οἱ πλούσιοι· τοῖς δὲ οὐχ ὁμοίως δυ-
ναμένοις τὰ λεπτότερα τῶν προβάτων θύειν καθέστηκε,
καθαγίζειν δὲ τὰ ἱερεῖα ὁμοίως πάντα. σὺν δέ σφισι καὶ
αὐτὸν τὸν βωμὸν ἐπιλαβὸν τὸ πῦρ ἐξανήλωσε· μεγίστην
δὲ ταύτην φλόγα καὶ ἐκ μακροτάτου σύνοπτον οἶδα ἀρ-
9 θεῖσαν. 5. Ὑπὸ δὲ τῆς κορυφῆς ἐφ' ᾗ τὸν βωμὸν ποι-
οῦνται, πέντε που μάλιστα καὶ δέκα ὑποκαταβάντι στα- 718
δίους νυμφῶν ἐστὶν ἄντρον Κιθαιρωνίδων, Σφραγί-

διον μὲν ὀνομαζόμενον, μαντεύεσθαι δὲ τὰς νύμφας τὸ
ἀρχαῖον αὐτόθι ἔχει λόγος.

IV. Πλαταιεῦσι δὲ Ἀθηνᾶς ἐπίκλησιν Ἀρείας ἐστὶν
ἱερόν· ᾠκοδομήθη δὲ ἀπὸ λαφύρων ἃ τῆς μάχης σφίσιν
Ἀθηναῖοι τῆς Μαραθῶνι ἀπένειμαν. Τὸ μὲν δὴ ἄγαλμα
ξόανόν ἐστιν ἐπίχρυσον, πρόσωπον δέ οἱ καὶ χεῖρες
ἄκραι καὶ πόδες λίθου τοῦ Πεντελησίου εἰσί. μέγεθος
μὲν οὐ πολὺ δή τι ἀποδεῖ τῆς ἐν ἀκροπόλει χαλκῆς, ἣν
καὶ αὐτὴν Ἀθηναῖοι τοῦ Μαραθῶνι ἀπαρχὴν ἀγῶνος
ἀνέθηκαν· Φειδίας δὲ καὶ Πλαταιεῦσιν ἦν ὁ τῆς Ἀθη-
νᾶς τὸ ἄγαλμα ποιήσας. Γραφαὶ δέ εἰσιν ἐν τῷ ναῷ 2
Πολυγνώτου μὲν Ὀδυσσεὺς τοὺς μνηστῆρας ἤδη κατ-
ειργασμένος, Ὀνασία δὲ Ἀδράστου καὶ Ἀργείων ἐπὶ Θή-
βας ἡ προτέρα στρατεία. αὗται μὲν δή εἰσιν ἐπὶ τοῦ
προνάου τῶν τοίχων αἱ γραφαί, κεῖται δὲ τοῦ ἀγάλμα-
τος πρὸς τοῖς ποσὶν εἰκὼν Ἀριμνήστου· ὁ δὲ Ἀρίμνη-
στος ἔν τε τῇ πρὸς Μαρδόνιον μάχῃ καὶ ἔτι πρότερον
ἐς Μαραθῶνα Πλαταιεῦσιν ἡγήσατο.

2. Ἔστι δὲ καὶ Δήμητρος ἐπίκλησιν Ἐλευσινίας 3
ἱερὸν ἐν Πλαταιαῖς καὶ Λήϊτου μνῆμα· τῶν δὲ ἡγεμό-
νων οἳ Βοιωτοὺς ἐς Τροίαν ἤγαγον, μόνος ἀνέστρεψεν
οἴκαδε οὗτος ὁ Λήϊτος. Τὴν δὲ κρήνην τὴν Γαργαφίαν
Μαρδόνιος καὶ ἡ ἵππος συνέχεεν ἡ Περσῶν, ὅτι τὸ Ἑλ-
λήνων στράτευμα τὸ ἀντικαθήμενόν σφισιν ἀπ' αὐτῆς
ἔπινεν· ὕστερον μέντοι τὸ ὕδωρ ἀνεσώσαντο οἱ Πλα-
ταιεῖς.

3. Ἐκ Πλαταίας δὲ ἰοῦσιν ἐς Θήβας ποταμός ἐστιν 4
Ὠερόη· θυγατέρα δὲ εἶναι τὴν Ὠερόην τοῦ Ἀσωποῦ
λέγουσι. πρὶν δὲ ἢ διαβῆναι τὸν Ἀσωπόν, παρ' αὐτὸ
τὸ ῥεῦμα ἀποτραπεῖσιν ἐς τὰ κάτω καὶ προελθοῦσιν ὅσον
τεσσαράκοντα στάδια ἔστιν ἐρείπια Σκώλου· Δήμητρος
δὲ καὶ Κόρης ἐν τοῖς ἐρειπίοις οὐκ ἐξειργασμένος ὁ ναός,

ἡμίσεα δὲ καὶ ταῖς θεαῖς ἐστὶ τὰ ἀγάλματα. ἀποκρίνει δὲ καὶ νῦν ἔτι ἀπὸ τῆς Θηβαίων τὴν Πλαταιίδα ὁ Ἀσωπός.

V. Γῆν δὲ τὴν Θηβαΐδα οἰκῆσαι πρῶτον λέγουσιν 719
Ἔκτηνας, βασιλέα δὲ εἶναι τῶν Ἐκτήνων ἄνδρα αὐτόχθονα Ὤγυγον· καὶ ἀπὸ τούτου τοῖς πολλοῖς τῶν ποιητῶν ἐπίκλησις ἐς τὰς Θήβας ἐστὶν Ὠγύγιαι. καὶ τούτους μὲν ἀπολέσθαι λοιμώδει νόσῳ φασίν, ἐσοικίσασθαι δὲ μετὰ τοὺς Ἔκτηνας ἐς τὴν χώραν Ὕαντας καὶ Ἄονας, Βοιώτια, ἐμοὶ δοκεῖν, γένη καὶ οὐκ ἐπηλύδων ἀνθρώπων. Κάδμου δὲ καὶ τῆς Φοινίκων στρατιᾶς ἐπελθούσης μάχῃ νικηθέντες οἱ μὲν Ὕαντες ἐς τὴν νύκτα τὴν ἐπερχομένην ἐκδιδράσκουσι, τοὺς δὲ Ἄονας ὁ Κάδμος γενομένους ἱκέτας καταμεῖναι καὶ ἀναμιχθῆναι τοῖς Φοί-
2 νιξιν εἴασε. Τοῖς μὲν οὖν Ἄοσι κατὰ κώμας ἔτι ἦσαν αἱ οἰκήσεις· Κάδμος δὲ τὴν πόλιν τὴν καλουμένην ἔτι καὶ ἐς ἡμᾶς Καδμείαν ᾤκισεν. αὐξηθείσης δὲ ὕστερον τῆς πόλεως, οὕτω τὴν Καδμείαν ἀκρόπολιν συνέβη τῶν κάτω γενέσθαι Θηβῶν. Κάδμῳ δὲ γάμος τε ἐπιφανὴς ὑπῆρξεν, εἰ δὴ θυγατέρα Ἀφροδίτης καὶ Ἄρεως κατὰ λόγον τὸν Ἑλλήνων ἔσχε· καὶ αἱ θυγατέρες εἰλήφασιν αὐτῷ φήμην, Σεμέλη μὲν τεκεῖν ἐκ Διός, Ἰνὼ δὲ θεῶν
3 εἶναι τῶν θαλασσίων. Ἐπὶ μὲν δὴ Κάδμου μέγιστον μετά γε αὐτὸν Κάδμον ἠδύναντο οἱ Σπαρτοί, Χθόνιος καὶ Ὑπερήνωρ καὶ Πέλωρος καὶ Οὐδαῖος· Ἐχίονα δὲ ὡς προέχοντα κατ' ἀνδραγαθίαν γαμβρὸν ἠξίωσεν ὁ Κάδμος ποιήσασθαι. τοὺς δὲ ἄνδρας τούτους, οὐ γάρ τι ἠδυνάμην ἐς αὐτοὺς παρευρεῖν, ἕπομαι τῷ μύθῳ Σπαρτοὺς διὰ τὸν τρόπον ὅντινα ἐγένοντο ὀνομασθῆναι. Κάδμου δὲ ἐς Ἰλλυριοὺς καὶ Ἰλλυριῶν ἐς τοὺς καλουμένους Ἐγχελέας μετοικήσαντος, Πολύδωρος ὁ Κάδμου τὴν ἀρχὴν
4 ἔσχε. 2. Πενθεὺς δὲ ὁ Ἐχίονος ἴσχυε μὲν καὶ αὐτὸς

720 κατὰ γένους ἀξίωμα καὶ φιλίᾳ τοῦ βασιλέως, ὧν δὲ ἐς
τὰ λοιπὰ ὑβριστὴς καὶ ἀσεβὴς Διονύσου δίκην ἔσχεν ἐκ
τοῦ θεοῦ. Πολυδώρου δὲ ἦν Λάβδακος· ἔμελλε δὲ ἄρα
αὐτόν, ὥς οἱ παρίστατο ἡ τελευτή, παῖδα ἔτι ἀπολεί-
ψειν, καὶ ἐπιτρέπει τόν τε υἱὸν καὶ τὴν ἀρχὴν Νυκτεῖ.
Τὰ δὲ ἐφεξῆς μοι τοῦ λόγου προεδήλωσεν ἡ Σικυωνία 5
συγγραφή, τοῦ τε Νυκτέως τὸν θάνατον, ὅντινα γένοιτο
τρόπον, καὶ ὡς ἐς Λύκον ἀδελφὸν Νυκτέως ἥ τε ἐπιμέ-
λεια τοῦ παιδὸς περιῆλθε καὶ ἡ Θηβαίων δυναστεία.
Λύκος δὲ παρέδωκε μὲν αὐξηθέντι Λαβδάκῳ τὴν ἀρχήν·
γενομένης δὲ οὐ μετὰ πολὺ καὶ τούτῳ τῆς τελευτῆς, ὁ
δὲ ἐπετρόπευσεν αὖθις Λάϊον Λαβδάκου παῖδα.

3. Λύκου δὲ ἐπιτροπεύοντος δεύτερον κατίασιν Ἀμ- 6
φίων καὶ Ζῆθος δύναμιν ἀγείραντες. καὶ Λάϊον μὲν
ὑπεκκλέπτουσιν οἷς ἦν ἐπιμελὲς μὴ γενέσθαι τὸ Κάδμου
γένος ἐς τοὺς ἔπειτα ἀνώνυμον, Λύκου δὲ οἱ τῆς Ἀντιό-
πης παῖδες τῇ μάχῃ κρατοῦσιν. ὡς δὲ ἐβασίλευσαν, τὴν
πόλιν τὴν κάτω προσῴκισαν τῇ Καδμείᾳ καὶ Θήβας ὄνο-
μα ἔθεντο κατὰ συγγένειαν τὴν Θήβης. μαρτυρεῖ δέ 7
μοι τῷ λόγῳ καὶ Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ·

οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο
πύργωσάν τ', ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο
ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.

4. Ὅτι δὲ Ἀμφίων ᾖδε καὶ τὸ τεῖχος ἐξειργάζετο πρὸς
τὴν λύραν, οὐδένα ἐποιήσατο λόγον ἐν τοῖς ἔπεσι. δόξαν
δὲ ἔσχεν Ἀμφίων ἐπὶ μουσικῇ τήν τε ἁρμονίαν τὴν Λυ-
δῶν κατὰ κῆδος τὸ Ταντάλου παρ' αὐτῶν μαθών, καὶ
721 χορδὰς ἐπὶ τέσσαρσι ταῖς πρότερον τρεῖς ἀνευρών. Ὁ 8
δὲ τὰ ἔπη τὰ ἐς Εὐρώπην ποιήσας φησὶν Ἀμφίονα χρή-
σασθαι λύρᾳ πρῶτον Ἑρμοῦ διδάξαντος. πεποίηκε δὲ
καὶ λίθων καὶ θηρίων ** ὅτι καὶ ταῦτα ᾄδων ἦγε. Μυρὼ
δὲ Βυζαντία ποιήσασα ἔπη καὶ ἐλεγεῖα Ἑρμῇ βωμόν φη-

σιν ἱδρύσασθαι πρῶτον Ἀμφίονα καὶ ἐπὶ τούτῳ λύραν
παρ' αὐτοῦ λαβεῖν. λέγεται δὲ καὶ ὡς ἐν Ἅιδου δίκην
δίδωσιν Ἀμφίων ὧν ἐς Λητὼ καὶ τοὺς παῖδας καὶ αὐτὸς
9 ἀπέρριψε· κατὰ δὲ τὴν τιμωρίαν τοῦ Ἀμφίονος ἔστι
ποιήσεως Μινυάδος, ἔχει δὲ ἐς Ἀμφίονα κοινῶς καὶ ἐς
τὸν Θρᾷκα Θάμυριν. 5. Ὡς δὲ τὸν οἶκον τὸν Ἀμφίονος
καὶ Ζήθου τὸν μὲν ἡ νόσος ἡ λοιμώδης ἠρήμωσε, Ζήθῳ
δὲ τὸν παῖδα ἀπέκτεινεν ἡ τεκοῦσα κατὰ δή τινα ἁμαρτίαν, ἐτεθνήκει δὲ ὑπὸ λύπης καὶ αὐτὸς ὁ Ζῆθος, οὕτω
Λάϊον ἐπὶ βασιλείᾳ κατάγουσιν οἱ Θηβαῖοι.

10 Λαΐῳ δὲ βασιλεύοντι καὶ γυναῖκα ἔχοντι Ἰοκάστην
μάντευμα ἦλθεν ἐκ Δελφῶν ἐκ τοῦ παιδός οἱ τὴν τελευτήν, εἰ τέκοι τινὰ Ἰοκάστη, γενήσεσθαι. καὶ ὁ μὲν ἐπὶ
τούτῳ τὸν Οἰδίποδα ἐκτίθησιν· ὁ δὲ καὶ τὸν πατέρα
ἀποκτενεῖν ἔμελλεν, ὡς ηὐξήθη, καὶ τὴν μητέρα ἔγημε.
παῖδας δὲ ἐξ αὐτῆς οὐ δοκῶ οἱ γενέσθαι, μάρτυρι Ὁμήρῳ χρώμενος, ὃς ἐποίησεν ἐν Ὀδυσσείᾳ,

11 Μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην,
ἣ μέγα ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο
γημαμένη ᾧ υἱεῖ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
γῆμεν· ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισι.

Πῶς οὖν ἐποίησαν ἀνάπυστα ἄφαρ, εἰ δὴ τέσσαρες ἐξ
Ἰοκάστης ἐγένοντο παῖδες τῷ Οἰδίποδι; ἐξ Εὐρυγανείας 722
δὲ τῆς Ὑπέρφαντος ἐγεγόνεσαν. δηλοῖ δὲ καὶ ὁ τὰ ἔπη
ποιήσας ἃ Οἰδιπόδια ὀνομάζουσι· καὶ Ὀνασίας Πλαταιᾶσιν ἔγραψε κατηφῆ τὴν Εὐρυγάνειαν ἐπὶ τῇ μάχῃ
12 τῶν παίδων. 6. Πολυνείκης δὲ περιόντος μὲν καὶ ἄρχοντος Οἰδίποδος ὑπεξῆλθεν ἐκ Θηβῶν δέει μὴ τελεσθεῖεν ἐπὶ σφίσιν αἱ κατᾶραι τοῦ πατρός· ἀφικόμενος δὲ ἐς Ἄργος καὶ θυγατέρα Ἀδράστου λαβὼν κατῆλθεν ἐς Θήβας μετάπεμπτος ὑπὸ Ἐτεοκλέους μετὰ τὴν τελευτὴν Οἰδίποδος. κατελθὼν δὲ ἐς διαφορὰν προήχθη τῷ

Ἐτεοκλεῖ, καὶ οὕτω τὸ δεύτερον ἔφυγε. δεηθεὶς δὲ
Ἀδράστου δοῦναί οἱ δύναμιν τὴν κατάξουσαν, τήν τε
στρατιὰν ἀπόλλυσι καὶ πρὸς τὸν Ἐτεοκλέα αὐτὸς μονο-
μαχεῖ κατὰ πρόκλησιν. καὶ οἱ μὲν μονομαχοῦντες ἀπο- 13
θνήσκουσιν, ἐς δὲ Λαοδάμαντα τὸν Ἐτεοκλέους καθη-
κούσης τῆς βασιλείας Κρέων ὁ Μενοικέως ἐδυνάστευεν
ἐπιτροπεύων τὸν παῖδα. 7. Ἤδη δὲ Λαοδάμαντος ηὐ-
ξημένου καὶ ἔχοντος τὴν ἀρχήν, δεύτερον τότε ἄγουσι
τὴν στρατιὰν ἐπὶ τὰς Θήβας. ἀντεστρατοπεδευμένων δὲ
καὶ τῶν Θηβαίων περὶ Γλισᾶντα, ὡς ἐς χεῖρας συνῆλ-
θον, Αἰγιαλέα μὲν τὸν Ἀδράστου Λαοδάμας ἀποκτίν-
νυσι, κρατησάντων δὲ τῇ μάχῃ τῶν Ἀργείων Λαοδάμας
σὺν τοῖς ἐθέλουσιν ἕπεσθαι Θηβαίων ὑπὸ τὴν ἐπιοῦσαν
νύκτα ἀπεχώρησεν ἐς Ἰλλυριούς. Τὰς δὲ Θήβας ἑλόντες 14
οἱ Ἀργεῖοι παραδιδόασι Θερσάνδρῳ Πολυνείκους παιδί.
Ὡς δὲ τοῖς σὺν Ἀγαμέμνονι ἐς Τροίαν στρατεύουσιν ἡ
διαμαρτία τοῦ πλοῦ γίνεται καὶ ἡ πληγὴ περὶ Μυσίαν,
ἐνταῦθα καὶ τὸν Θέρσανδρον κατέλαβεν (ἀποθανεῖν)
ὑπὸ Τηλέφου μάλιστα Ἑλλήνων ἀγαθὸν γενόμενον ἐν
τῇ μάχῃ, καί οἱ τὸ μνῆμα ἐς Καΐκου πεδίον ἐλαύνοντί
723 ἐστιν ἐν Ἐλαίᾳ πόλει, λίθος ὁ ἐν τῷ ὑπαίθρῳ τῆς ἀγο-
ρᾶς· καὶ ἐναγίζειν οἱ ἐπιχώριοί φασιν αὐτῷ. 8. Τελευ- 15
τήσαντος δὲ Θερσάνδρου καὶ δεύτερα ἐπί τε Ἀλέξανδρον
καὶ ἐς Ἴλιον ἀθροιζομένου στόλου Πηνέλεων ἄρχοντα
εἵλοντο, ὅτι οὐκ ἐν ἡλικίᾳ πω Τισαμενὸς ἦν ὁ Θερσάν-
δρου. Πηνέλεω δὲ ἀποθανόντος ὑπὸ Εὐρυπύλου τοῦ
Τηλέφου Τισαμενὸν βασιλέα αἱροῦνται, Θερσάνδρου
τε ὄντα καὶ Δημωνάσσης τῆς Ἀμφιαράου. Τῶν δὲ Ἐρι-
νύων τῶν Λαΐου καὶ Οἰδίποδος Τισαμενῷ μὲν οὐκ ἐγέ-
νετο μήνιμα, Αὐτεσίωνι δὲ τῷ Τισαμενοῦ, ὥστε καὶ
παρὰ τοὺς Δωριέας μετῴκησε τοῦ θεοῦ χρήσαντος. Αὐ- 16
τεσίωνος δὲ ἀπελθόντος, οὕτω βασιλέα εἵλοντο Δαμα-

σίχθονα Ὀφέλτου τοῦ Πηνέλεω. τούτου δὲ ἦν τοῦ Δαμασίχθονος Πτολεμαῖος, τοῦ δὲ Ξάνθος, ὃν Ἀνδρόπομπος μονομαχήσαντά οἱ δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνει. τὸ δὲ ἐντεῦθεν διὰ πλειόνων πολιτεύεσθαι μηδὲ ἀπ' ἀνδρὸς ἑνὸς ἠρτῆσθαι τὰ πάντα ἄμεινον ἐφαίνετο τοῖς Θηβαίοις.

VI. Τῶν δέ σφισιν ἐν ἀγῶσι πολέμου γενομένων εὐτυχημάτων καὶ ὡς ἑτέρως τοσάδε φανερώτατα ὄντα εὕρισκον. ἐκρατήθησαν ὑπὸ Ἀθηναίων μάχῃ Πλαταιεῦσιν ἀμυνάντων, ὅτε σφᾶς ἐπέλαβεν ὑπὲρ τῶν ὅρων πολεμῆσαι τῆς χώρας. προσέπταισαν δὲ καὶ δεύτερον Ἀθηναίοις ἀντιταξάμενοι περὶ Πλάταιαν, ἡνίκα δοκοῦσιν
2 ἑλέσθαι τὰ βασιλέως Ξέρξου πρὸ τῶν Ἑλληνικῶν. Τῆς δὲ αἰτίας ταύτης δημοσίᾳ σφίσιν οὐ μέτεστιν, ὅτι ἐν ταῖς Θήβαις ὀλιγαρχία καὶ οὐχὶ ἡ πάτριος πολιτεία τηνικαῦτα ἴσχυεν· εἰ γοῦν Πεισιστράτου τυραννοῦντος ἔτι ἢ τῶν παίδων Ἀθήνησιν ἀφίκετο ἐπὶ τὴν Ἑλλάδα ὁ βάρβαρος, οὐκ ἔστιν ὅπως οὐ καὶ Ἀθηναίους κατέλαβεν ἂν ἔγκλη-
3 μα μηδισμοῦ. ὕστερον μέντοι καὶ Θηβαίοις νίκη κατ' 724
Ἀθηναίων ἐπὶ Δηλίῳ τῷ Ταναγραίων ἐγένετο, καὶ Ἱπποκράτης τε ὁ Ἀρίφρονος, στρατηγῶν Ἀθηναίοις, καὶ τῆς ἄλλης στρατιᾶς τὸ πολὺ ἔπεσε. Λακεδαιμονίοις δὲ παραυτίκα μὲν ἀπελθόντος τοῦ Μήδου καὶ ἄχρι τοῦ Πελοποννησίων πρὸς Ἀθηναίους πολέμου τὰ ἐκ Θηβῶν εἶχεν ἐπιτηδείως· διαπολεμηθέντος δὲ τοῦ πολέμου καὶ Ἀθηναίοις καταλυθέντος τοῦ ναυτικοῦ, μετ' οὐ πολὺ Θηβαῖοι μετὰ Κορινθίων ἐς τὸν πρὸς Λακεδαιμονίους
4 πόλεμον προήχθησαν. Κρατηθέντες δὲ μάχῃ περὶ Κόρινθόν τε καὶ ἐν Κορωνείᾳ, νικῶσιν αὖθις ἐν Λεύκτροις ἐπιφανεστάτην νίκην, ὁπόσας γενομένας Ἕλλησιν ἴσμεν κατὰ Ἑλλήνων· καὶ δεκαδαρχίας τε ἃς Λακεδαιμόνιοι κατέστησαν ἐν ταῖς πόλεσιν ἔπαυσαν, καὶ ἁρμοστὰς τοὺς

Σπαρτιάτας ἐκβάλλουσιν. Ὕστερον δὲ καὶ τὸν Φωκι-
κὸν πόλεμον, ὀνομαζόμενον δὲ ὑπὸ Ἑλλήνων ἱερόν, συν-
εχῶς δέκα ἔτεσιν ἐπολέμησαν. 2. Εἴρηται δέ μοι καὶ 5
ἐν τῇ Ἀτθίδι συγγραφῇ τὸ ἐν Χαιρωνείᾳ σφάλμα συμ-
φορὰν γενέσθαι τοῖς πᾶσιν Ἕλλησι· Θηβαίους δὲ καὶ
ἐς πλέον κατέλαβεν, οἷς γε καὶ ἐσήχθη ἐς τὴν πόλιν
φρουρά. Φιλίππου δὲ ἀποθανόντος καὶ ἐς Ἀλέξανδρον
ἡκούσης τῆς Μακεδόνων ἀρχῆς, Θηβαίοις ἐπῆλθεν ἐξε-
λεῖν τὴν φρουράν· ποιήσασι δὲ ταῦτα προεσήμαινεν αὐ-
τίκα ὁ θεὸς τὸν ἐπιόντα ὄλεθρον, καί σφισιν ἐν Δήμη-
τρος ἱερῷ Θεσμοφόρου σημεῖα ἐγένετο ἐναντία ἢ πρὸ
τοῦ ἔργου τοῦ ἐν Λεύκτροις· τότε μὲν γὰρ τοῦ ἱεροῦ 6
τὰς θύρας ὑφάσματι ἀράχναι λευκῷ, κατὰ δὲ τὴν Ἀλε-
ξάνδρου καὶ Μακεδόνων ἔφοδον μέλανι ἐξύφηναν. λέ-
γεται δὲ καὶ Ἀθηναίοις ὖσαι τέφραν ὁ θεὸς ἐνιαυτῷ
πρότερον πρὶν ἢ τὸν πόλεμον τὸν ἐπαχθέντα ὑπὸ Σύλλα
τὰ μεγάλα σφίσιν ἐνεγκεῖν παθήματα.

VII. Τότε δὲ τοὺς Θηβαίους γενομένους ἀναστάτους
ὑπὸ Ἀλεξάνδρου καὶ διαπεσόντας ἐς Ἀθήνας ὕστερον
Κάσσανδρος ὁ Ἀντιπάτρου κατήγαγεν. ἐς δὲ τῶν Θη-
βῶν τὸν οἰκισμὸν προθυμότατοι μὲν ἐγένοντο Ἀθηναῖοι,
725 συνεπελάβοντο δὲ καὶ Μεσσήνιοι καὶ Ἀρκάδων οἱ Με-
γάλην πόλιν ἔχοντες. 2. Δοκεῖ δέ μοι τὰς Θήβας οἰκί- 2
σαι ὁ Κάσσανδρος κατὰ ἔχθος Ἀλεξάνδρου μάλιστα·
ἐπεξῆλθε δὲ καὶ τὸν πάντα οἶκον Ἀλεξάνδρου φθείρων,
ὃς Ὀλυμπιάδα γε παρέβαλε καταλεῦσαι τοῖς ἐπ' αὐτὴν
Μακεδόνων παρωξυσμένοις, καὶ τοὺς παῖδας Ἀλεξάν-
δρου, τόν τε ἐκ Βαρσίνης Ἡρακλέα, καὶ Ἀλέξανδρον
τὸν ἐκ Ῥωξάνης, ἀπέκτεινεν ὑπὸ φαρμάκων. Οὐ μὴν
οὐδὲ αὐτὸς χαίρων τὸν βίον κατέστρεψεν· ἐπλήσθη γὰρ
ὑδέρῳ, καὶ ἀπ' αὐτοῦ ζῶντι ἐγένοντο εὐλαί. 3. Τῶν 3
δέ οἱ παίδων Φίλιππον μὲν τὸν πρεσβύτατον, ὡς μετ'

οὐ πολὺ παρέλαβε τὴν ἀρχήν, ἀπήγαγεν ὑπολαβοῦσα
νόσος φθινώδης, Ἀντίπατρος δὲ ὁ μετ᾽ ἐκεῖνον Θεσσα-
λονίκην τὴν μητέρα ἀποκτίννυσι, Φιλίππου τε οὖσαν
τοῦ Ἀμύντου καὶ Νικασιπόλιδος· ἀπέκτεινε δὲ Ἀλεξάν-
δρῳ νέμειν πλέον εὐνοίας αἰτιασάμενος. Ὁ δὲ Ἀλέξαν-
δρος ἦν νεώτατος τῶν Κασσάνδρου παίδων· ἐπαγαγό-
μενος δὲ Δημήτριον τὸν Ἀντιγόνου καθεῖλε μὲν δι᾽ ἐκεί-
νου καὶ ἐτιμωρήσατο τὸν ἀδελφὸν Ἀντίπατρον, ἀνεφάνη
4 μέντοι φονέα ἐξευρηκὼς ἑαυτῷ καὶ οὐ σύμμαχον. Κασ-
σάνδρῳ μὲν ὅστις δὴ θεῶν τὴν δίκην ἔμελλεν ἀποδώ-
σειν· 4. Θηβαίοις δὲ ἐπὶ μὲν Κασσάνδρου πᾶς ὁ ἀρ-
χαῖος περίβολος ἀνῳκίσθη, ἔδει δὲ ἄρα καὶ ὕστερον κα-
κῶν σφᾶς μεγάλων γεύσασθαι. Μιθριδάτῃ γὰρ κατα-
στάντι ἐς τὸν πρὸς Ῥωμαίους πόλεμον προσεχώρησαν
Θηβαῖοι κατ᾽ ἄλλο, ἐμοὶ δοκεῖν, οὐδέν, τοῦ δὲ Ἀθη-
ναίων δήμου φιλίᾳ. Σύλλα δὲ ἐσβαλόντος ἐς τὴν Βοιω-
τίαν δεῖμα ἔσχε τοὺς Θηβαίους, καὶ ἐγνωσιμάχησάν τε
αὐτίκα καὶ ἐτράποντο αὖθις ἐς τὴν Ῥωμαίων φιλίαν.
5 Σύλλας δὲ ἐς αὐτοὺς ἐχρῆτο ὅμως τῷ θυμῷ, καὶ ἄλλα
τε ἐξεῦρεν ἐπὶ λύμῃ τῶν Θηβαίων, καὶ τὴν ἡμίσειαν
ἀπετέμετο αὐτῶν τῆς χώρας κατὰ πρόφασιν τοιαύτην.
ἡνίκα ἤρχετο τοῦ πρὸς Μιθριδάτην πολέμου, χρημάτων
ἐσπάνιζε· συνέλεξεν οὖν ἔκ τε Ὀλυμπίας ἀναθήματα 726
καὶ τὰ ἐξ Ἐπιδαύρου καὶ τὰ ἐκ Δελφῶν, ὁπόσα ὑπελί-
6 ποντο οἱ Φωκεῖς. ταῦτα μὲν δὴ διένειμε τῇ στρατιᾷ,
τοῖς θεοῖς δὲ ἀντέδωκεν ἀντὶ τῶν χρημάτων γῆς τὴν ἡμί-
σειαν τῆς Θηβαΐδος. Τὴν μὲν δὴ ἀφαίρετον χώραν ὕστε-
ρον Ῥωμαίων χάριτι ἀνεσώσαντο οἱ Θηβαῖοι, τὰ δὲ ἄλλα
ἐς τὸ ἀσθενέστατον ἀπ᾽ ἐκείνου προήχθησαν· καί σφι-
σιν ἡ μὲν κάτω πόλις πᾶσα ἔρημος ἦν ἐπ᾽ ἐμοῦ πλὴν τὰ
ἱερά, τὴν δὲ ἀκρόπολιν οἰκοῦσι Θήβας καὶ οὐ Καδμείαν
καλουμένην.

VIII. Διαβεβηκότι δὲ ἤδη τὸν Ἀσωπὸν καὶ τῆς πό-
λεως δέκα μάλιστα ἀφεστηκότι σταδίους Ποτνιῶν ἐστὶν
ἐρείπια καὶ ἐν αὐτοῖς ἄλσος Δήμητρος καὶ Κόρης. τὰ
δὲ ἀγάλματα ἐπὶ τῷ ποταμῷ τῷ παρὰ τὰς Ποτνιὰς * *
τὰς θεὰς ὀνομάζουσιν. Ἐν χρόνῳ δὲ εἰρημένῳ δρῶσι
καὶ ἄλλα ὁπόσα καθέστηκέ σφισι, καὶ ἐς τὰ μέγαρα κα-
λούμενα ἀφιᾶσιν ὗς τῶν νεογνῶν· τοὺς δὲ ὗς τούτους
ἐς τὴν ἐπιοῦσαν τοῦ ἔτους ὥραν ἐν Δωδώνῃ φασὶν ἐπι
* * λόγῳ τῷδε ἄλλος πού τις πεισθήσεται. ἐνταῦθα καὶ
Διονύσου ναός ἐστιν Αἰγοβόλου. θύοντες γὰρ τῷ θεῷ 2
προήχθησάν ποτε ὑπὸ μέθης ἐς ὕβριν, ὥστε καὶ τοῦ
Διονύσου τὸν ἱερέα ἀποκτείνουσιν· ἀποκτείναντας δὲ
αὐτίκα ἐπέλαβε νόσος λοιμώδης, καί σφισιν ἀφίκετο
ἴαμα ἐκ Δελφῶν τῷ Διονύσῳ θύειν παῖδα ὡραῖον· ἔτεσι
δὲ οὐ πολλοῖς ὕστερον τὸν θεόν φασιν αἶγα ἱερεῖον ὑπ-
αλλάξαι σφίσιν ἀντὶ τοῦ παιδός. Δείκνυται δὲ ἐν Ποτνι-
727 αῖς καὶ φρέαρ· τὰς δὲ ἵππους τὰς ἐπιχωρίους τοῦ ὕδα-
τος πιούσας τούτου μανῆναι λέγουσιν.

2. Ἐκ δὲ τῶν Ποτνιῶν ἰοῦσιν ἐς Θήβας ἔστιν ἐν 3
δεξιᾷ περίβολος τῆς ὁδοῦ οὐ μέγας καὶ κίονες ἐν αὐτῷ·
διαστῆναι δὲ Ἀμφιαράῳ τὴν γῆν ταύτῃ νομίζουσιν, ἐπι-
λέγοντες καὶ τάδε ἔτι, μήτε ὄρνιθας ἐπὶ τῶν κιόνων
καθέζεσθαι τούτων, μήτε πόαν τὴν ἐνταῦθα μήτε ἥμε-
ρον ζῷον μήτε τῶν ἀγρίων νέμεσθαι.

3. Θηβαίοις δὲ ἐν τῷ περιβόλῳ τοῦ ἀρχαίου τεί- 4
χους ἑπτὰ ἀριθμὸν ἦσαν πύλαι, μένουσι δὲ καὶ ἐς ἡμᾶς
ἔτι. τεθῆναι δὲ τὰ ὀνόματα ἐπυνθανόμην σφίσιν ἀπό τε
Ἠλέκτρας ἀδελφῆς Κάδμου, καὶ Προιτίσιν ἀπὸ ἀνδρὸς
τῶν ἐπιχωρίων· ἡλικίαν δὲ Προίτου καὶ τὸ ἀνωτέρω
γένος χαλεπα ἦν εὑρεῖν. τὰς δὲ Νηΐστας ὀνομασθῆναί
φασιν ἐπὶ τῷδε· ἐν ταῖς χορδαῖς νήτην καλοῦσιν ἐξ αὐ-
τῶν· ταύτην οὖν τὴν χορδὴν Ἀμφίονα ἐπὶ ταῖς πύλαις

ταύταις ἀνευρεῖν λέγουσιν. ἤδη δὲ ἤκουσα καὶ ὡς Ζή-
θου τοῦ ἀδελφοῦ τοῦ Ἀμφίονος τῷ παιδὶ ὄνομα Νῆϊς
γένοιτο, ἀπὸ τούτου δὲ τοῦ Νήϊδος τὰς πύλας κληθῆναι
5 ταύτας. πύλας δὲ Κρηναίας, τὰς δὲ Ὑψίστας ἐπὶ λόγῳ
τοιῷδε ὀνομάζουσι *** πρὸς δὲ ταῖς Ὑψίσταις Διὸς ἱερὸν 728
ἐπίκλησίν ἐστιν Ὑψίστου. τὰς δὲ ἐπὶ ταύταις πύλας ὀνο-
μάζουσιν Ὠγυγίας. τελευταῖαι δέ εἰσιν Ὁμολωΐδες·
ἐφαίνετο δὲ εἶναί μοι καὶ τὸ ὄνομα νεώτατον ταῖς πύ-
6 λαις ταύταις, αἱ δὲ Ὠγύγιαι τὸ ἀρχαιότατον. Τὰς δὲ
Ὁμολωΐδας κληθῆναί φασιν ἐπὶ τοιῷδε. ἡνίκα ὑπὸ Ἀρ-
γείων μάχῃ πρὸς Γλισᾶντι ἐκρατήθησαν, τότε ὁμοῦ Λαο-
δάμαντι τῷ Ἐτεοκλέους ὑπεξίασιν οἱ πολλοί. τούτων
οὖν μοῖρα τὴν μὲν ἐς τοὺς Ἰλλυριοὺς πορείαν ἀπώκνησε,
τραπόμενοι δὲ ἐς Θεσσαλοὺς καταλαμβάνουσιν Ὁμόλην,
ὀρῶν τῶν Θεσσαλικῶν καὶ εὔγεων μάλιστα καὶ ὕδασιν
7 ἐπιρρεομένην. Θερσάνδρου δὲ τοῦ Πολυνείκους ἀνα-
καλεσαμένου σφᾶς ἐπὶ τὰ οἰκεῖα, τὰς πύλας διὰ ὧν τὴν
κάθοδον ἐποιοῦντο ἀπὸ τῆς Ὁμόλης ὀνομάζουσιν Ὁμο-
λωΐδας. Ἐρχομένῳ δὲ ἐκ Πλαταίας ἔσοδος ἐς τὰς Θή-
βας κατὰ πύλας ἐστὶν Ἠλέκτρας, καὶ ταύτῃ Καπανέα
τὸν Ἱππόνου βιαιοτέρας ποιούμενον πρὸς τὸ τεῖχος τὰς
προσβολὰς βληθῆναι κεραυνῷ λέγουσι.

IX. Τὸν δὲ πόλεμον τοῦτον, ὃν ἐπολέμησαν Ἀρ-
γεῖοι, νομίζω πάντων ὅσοι πρὸς Ἕλληνας ἐπὶ τῶν κα-
λουμένων ἡρώων ἐπολεμήθησαν ὑπὸ Ἑλλήνων, γενέσθαι
λόγου μάλιστα ἄξιον. ὁ μέν γε Ἐλευσινίων πρὸς Ἀθη-
ναίους τοὺς ἄλλους, ὡσαύτως δὲ καὶ Θηβαίων πρὸς Μι-
νύας, τήν τε ἔφοδον δι' ὀλίγου τῶν ἐπιστρατευσαμέ-
νων καὶ ἐν μάχῃ παρέσχοντο μιᾷ τὴν κρίσιν, ἐς ὁμολο-
2 γίας τε αὐτίκα ἐτράποντο καὶ σπονδάς. Ὁ δὲ Ἀργείων
στρατὸς ἐς Βοιωτίαν τε μέσην ἀφίκετο ἐκ μέσης Πελο-
ποννήσου, καὶ ὁ Ἄδραστος ἐξ Ἀρκαδίας καὶ παρὰ Μεσ-

σηνίων συμμαχικὰ ἤθροισεν. Ὡσαύτως δὲ καὶ τοῖς Θηβαίοις μισθοφορικὰ ἦλθε παρὰ Φωκέων καὶ ἐκ τῆς Μι-
729 νυάδος χώρας οἱ Φλεγύαι. γενομένης δὲ πρὸς τῷ Ἰσμηνίῳ μάχης ἐκρατήθησαν οἱ Θηβαῖοι τῇ συμβολῇ, καὶ ὡς
ἐτράποντο, καταφεύγουσιν ἐς τὸ τεῖχος· ἅτε δὲ οὐκ 3
ἐπισταμένων τῶν Πελοποννησίων μάχεσθαι πρὸς [τὸ] τεῖχος, ποιουμένων δὲ θυμῷ μᾶλλον ἢ σὺν ἐπιστήμῃ τὰς προσβολάς, πολλοὺς μὲν ἀπὸ τοῦ τείχους βάλλοντες φονεύουσιν αὐτῶν οἱ Θηβαῖοι, κρατοῦσι δὲ ὕστερον καὶ τοὺς ἄλλους ἐπεξελθόντες τεταραγμένοις, ὡς τὸ σύμπαν στράτευμα πλὴν Ἀδράστου φθαρῆναι. ἐγένετο δὲ καὶ αὐτοῖς τὸ ἔργον οὐκ ἄνευ κακῶν μεγάλων, καὶ ἀπ᾽ ἐκείνου τὴν σὺν ὀλέθρῳ τῶν κρατησάντων Καδμείαν ὀνο-
μάζουσι νίκην. 2. Ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον ὁμοῦ 4
Θερσάνδρῳ στρατεύουσιν ἐπὶ τὰς Θήβας οὓς Ἐπιγόνους καλοῦσιν Ἕλληνες. δῆλοι δέ εἰσι καὶ τούτοις οὐ τὸ Ἀργολικὸν μόνον, οὐδὲ οἱ Μεσσήνιοι καὶ Ἀρκάδες ἠκολουθηκότες, ἀλλὰ καὶ ἔτι ἐκ Κορίνθου καὶ Μεγαρέων ἐπικληθέντες ἐς τὴν συμμαχίαν. ἤμυναν δὲ καὶ Θηβαίοις οἱ πρόσοικοι, καὶ μάχη πρὸς Γλισᾶντι ἀπὸ ἀμφοτέρων
ἐγένετο ἰσχυρά. Τῶν δὲ Θηβαίων οἱ μὲν αὐτίκα ὡς 5
ἡττήθησαν, ὁμοῦ Λαοδάμαντι ἐκδιδράσκουσιν, οἱ δὲ ὑπολειφθέντες πολιορκίᾳ παρέστησαν. 3. Ἐποιήθη δὲ ἐς τὸν πόλεμον τοῦτον καὶ ἔπη Θηβαΐς. τὰ δὲ ἔπη ταῦτα Καλλῖνος, ἀφικόμενος αὐτῶν ἐς μνήμην, ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι· Καλλίνῳ δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταὐτὰ ἔγνωσαν. Ἐγὼ δὲ τὴν ποίησιν ταύτην μετά γε Ἰλιάδα καὶ τὰ ἔπη τὰ ἐς Ὀδυσσέα ἐπαινῶ μάλιστα. Πολέμου μὲν δὴ ὃν Ἀργεῖοι καὶ Θηβαῖοι τῶν Οἰδίποδος παίδων ἕνεκα ἐπολέμησαν, ἐς τοσόνδε ἔστω μνήμη.

X. Πολυάνδριον δὲ οὐ μακρὰν ἀπὸ τῶν πυλῶν ἐστί·
κεῖνται δὲ ὁπόσους κατέλαβεν ἀποθανεῖν Ἀλεξάνδρῳ
καὶ Μακεδόσιν ἀντιτεταγμένους. οὐ πόρρω δὲ ἀποφαί-
νουσι χωρίον ἔνθα Κάδμον λέγουσιν, ὅτῳ πιστά, τοῦ
δράκοντος, ὃν ἀπέκτεινεν ἐπὶ τῇ κρήνῃ, τοὺς ὀδόντας
σπείραντος, ἄνδρας δὲ ἀπὸ τῶν ὀδόντων ἀνεῖναι τὴν γῆν. 730
2 2. Ἔστι δὲ λόφος ἐν δεξιᾷ τῶν πυλῶν ἱερὸς Ἀπόλ-
λωνος· καλεῖται δὲ ὅ τε λόφος καὶ ὁ θεὸς Ἰσμήνιος, πα-
ραρρέοντος τοῦ ποταμοῦ ταύτῃ τοῦ Ἰσμηνίου. πρῶτα
μὲν δὴ λίθου κατὰ τὴν ἔσοδόν ἐστιν Ἀθηνᾶ καὶ Ἑρμῆς,
ὀνομαζόμενοι Πρόναοι· ποιῆσαι δὲ αὐτὸν Φειδίας, τὴν
δὲ Ἀθηνᾶν λέγεται Σκόπας· μετὰ δὲ ὁ ναὸς ᾠκοδόμηται.
τὸ δὲ ἄγαλμα μεγέθει τε ἴσον τῷ ἐν Βραγχίδαις ἐστὶ καὶ
τὸ εἶδος οὐδὲν διαφόρως ἔχον· ὅστις δὲ τῶν ἀγαλμάτων
τούτων τὸ ἕτερον εἶδε καὶ τὸν εἰργασμένον ἐπύθετο, οὐ
μεγάλη οἱ σοφία καὶ τὸ ἕτερον θεασαμένῳ Κανάχου ποί-
ημα ὂν ἐπίστασθαι. διαφέρουσι δὲ τοσόνδε· ὁ μὲν γὰρ
3 ἐν Βραγχίδαις χαλκοῦ, ὁ δὲ Ἰσμήνιός ἐστι κέδρου. 3. Ἔστι
δ᾽ ἐνταῦθα λίθος ἐφ᾽ ᾧ Μαντώ φασι τὴν Τειρεσίου κα-
θέζεσθαι. οὗτος μὲν πρὸ τῆς ἐσόδου κεῖται, καί οἱ τὸ
ὄνομά ἐστι καὶ ἐς ἡμᾶς ἔτι Μαντοῦς δίφρος· ἐν δεξιᾷ δὲ
τοῦ ναοῦ λίθου πεποιημένας εἰκόνας Ἡνιόχης εἶναι, τὴν
δὲ Πύρρας λέγουσι, θυγατέρας δὲ αὐτὰς εἶναι Κρέον-
τος, ὃς ἐδυνάστευεν ἐπιτροπεύων Λαοδάμαντα τὸν Ἐτε-
4 οκλέους. 4. Τόδε γε καὶ ἐς ἐμὲ ἔτι γινόμενον οἶδα ἐν
Θήβαις· τῷ Ἀπόλλωνι τῷ Ἰσμηνίῳ παῖδα οἴκου τε δοκί-
μου, καὶ αὐτὸν εὖ μὲν εἴδους, εὖ δὲ ἔχοντα καὶ ῥώμης,
ἱερέα ἐνιαύσιον ποιοῦσιν· ἐπίκλησις δέ ἐστίν οἱ δαφνα-
φόρος· στεφάνους γὰρ φύλλων δάφνης φοροῦσιν οἱ
παῖδες. Εἰ μὲν οὖν πᾶσιν ὁμοίως καθέστηκεν ἀναθεῖναι
δαφνηφορήσαντας χαλκοῦν τῷ θεῷ τρίποδα, οὐκ ἔχω
δηλῶσαι· δοκῶ δὲ οὐ πᾶσιν εἶναι νόμον· οὐ γὰρ δὴ πολ-

λοὺς ἑώρων αὐτόθι ἀνακειμένους· οἱ δ᾽ οὖν εὐδαιμονέστεροι τῶν παίδων ἀνατιθέασιν. Ἐπιφανὴς δὲ μάλιστα ἐπί τε ἀρχαιότητι καὶ τοῦ ἀναθέντος τῇ δόξῃ τρίπους ἐστὶν Ἀμφιτρύωνος ἀνάθημα ἐπὶ Ἡρακλεῖ δαφνηφορήσαντι.

5. Ἀνωτέρω δὲ τοῦ Ἰσμηνίου τὴν κρήνην ἴδοις ἂν 5
ἥντινα Ἄρεώς φασιν ἱερὰν εἶναι καὶ δράκοντα ὑπὸ τοῦ Ἄρεως ἐπιτετάχθαι φύλακα τῇ πηγῇ. πρὸς ταύτῃ τῇ κρήνῃ τάφος ἐστὶ Καάνθου· Μελίας δὲ ἀδελφὸν καὶ
731 Ὠκεανοῦ παῖδα εἶναι Κάανθον λέγουσι, σταλῆναι δὲ ὑπὸ τοῦ πατρὸς ζητήσοντα ἡρπασμένην τὴν ἀδελφήν. ὡς δὲ Ἀπόλλωνα εὑρὼν ἔχοντα τὴν Μελίαν οὐκ ἐδύνατο ἀφελέσθαι, πῦρ ἐτόλμησεν ἐς τὸ τέμενος ἐνεῖναι τοῦ Ἀπόλλωνος τοῦτο ὃ νῦν καλοῦσιν Ἰσμήνιον· καὶ αὐτὸν
ὁ θεός, καθά φασιν οἱ Θηβαῖοι, τοξεύει. Καάνθου μὲν 6
ἐνταῦθά ἐστι μνῆμα, Ἀπόλλωνι δὲ παῖδας ἐκ Μελίας γενέσθαι λέγουσι Τήνερον καὶ Ἰσμήνιον· Τηνέρῳ μὲν Ἀπόλλων μαντικὴν δίδωσι, τοῦ δὲ Ἰσμηνίου τὸ ὄνομα ἔσχεν ὁ ποταμός. οὐ μὴν οὐδὲ τὰ πρότερα ἦν ἀνώνυμος, εἰ δὴ καὶ Λάδων ἐκαλεῖτο πρὶν Ἰσμήνιον γενέσθαι τὸν Ἀπόλλωνος.

XI. Ἐν ἀριστερᾷ δὲ τῶν πυλῶν ἃς ὀνομάζουσιν Ἠλέκτρας, οἰκίας ἐστὶν ἐρείπια ἔνθα οἰκῆσαί φασιν Ἀμφιτρύωνα διὰ τὸν Ἠλεκτρύωνος θάνατον φεύγοντα ἐκ Τίρυνθος. καὶ τῆς Ἀλκμήνης ἐστὶν ἔτι ὁ θάλαμος ἐν τοῖς ἐρειπίοις δῆλος. οἰκοδομῆσαι δὲ αὐτὸν τῷ Ἀμφιτρύωνι Τροφώνιόν φασι καὶ Ἀγαμήδην, καὶ ἐπίγραμμα ἐπ᾽ αὐτῷ ἐπιγραφῆναι τόδε·

Ἀμφιτρύων ὅτ᾽ ἔμελλ᾽ ἀγαγέσθαι δεῦρο γυναῖκα
Ἀλκμήνην, θάλαμόν γ᾽ εἰλίξατο τοῦτον ἑαυτῷ,
Ἀγχάσιος δ᾽ ἐποίησε Τροφώνιος ἠδ᾽ Ἀγαμήδης.

Τοῦτο μὲν ἐνταῦθα οἱ Θηβαῖοι γραφῆναι λέγουσιν· ἐπι- 2

δεικνύουσι δὲ Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἱμεραῖος καὶ Πανύασις ἐν τοῖς ἔπεσιν ἐποίησαν. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν, ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτιννύναι, πρότερον δὲ ἄρα ὕπνος ἐπέλαβεν αὐτὸν ὑπὸ τοῦ λίθου τῆς πληγῆς· Ἀθηνᾶν δὲ εἶναι τὴν ἐπαφεῖσάν οἱ τὸν λίθον τοῦτον, ὅντινα Σωφρονιστῆρα ὀνομάζουσιν.
3 2. Ἐνταῦθά εἰσιν ἐπὶ τύπου γυναικῶν εἰκόνες· ἀμυ- 732
δρότερα ἤδη τὰ ἀγάλματα. ταύτας καλοῦσιν οἱ Θηβαῖοι Φαρμακίδας, πεμφθῆναι δὲ ὑπὸ τῆς Ἥρας φασὶν ἐμπόδια εἶναι ταῖς ὠδῖσιν Ἀλκμήνης. αἱ μὲν δὴ ἐπεῖχον Ἀλκμήνην μὴ τεκεῖν· Τειρεσίου δὲ θυγατρὶ Ἱστορίδι σόφισμα ἔπεισιν ἐς τὰς Φαρμακίδας, ἐς ἐπήκοον αὐτῶν ὀλολύξαι· τετοκέναι γὰρ τὴν Ἀλκμήνην. οὕτω τὰς μὲν ἀπατηθείσας ἀπελθεῖν, τὴν δὲ Ἀλκμήνην τεκεῖν φασίν.
4 Ἐνταῦθα Ἡράκλειόν ἐστιν, ἄγαλμα δὲ τὸ μὲν λίθου λευκοῦ Πρόμαχος καλούμενον, ἔργον δὲ Ξενοκρίτου καὶ Εὐβίου Θηβαίων· τὸ δὲ ξόανον τὸ ἀρχαῖον Θηβαῖοί τε εἶναι Δαιδάλου νενομίκασι καὶ αὐτῷ μοι παρίστατο ἔχειν οὕτω. 3. Τοῦτον ἀνέθηκεν αὐτός, ὡς λέγεται, Δαίδαλος ἐκτίνων εὐεργεσίας χάριν. ἡνίκα γὰρ ἔφευγεν ἐκ Κρήτης πλοῖα οὐ μεγάλα αὐτῷ καὶ τῷ παιδὶ Ἰκάρῳ ποιησάμενος, πρὸς δὲ καὶ ταῖς ναυσίν, ὃ μή πω τοῖς τότε ἐξεύρητο, ἱστία ἐπιτεχνησάμενος, ὡς τοῦ Μίνω ναυτικοῦ τὴν εἰρεσίαν φθάνοιεν ἐπιφόρῳ τῷ ἀνέμῳ χρώμενοι,
5 τότε αὐτὸς μὲν σώζεται Δαίδαλος, Ἰκάρῳ δὲ κυβερνῶντι ἀμαθέστερον ἀνατραπῆναι τὴν ναῦν λέγουσιν· ἀποπνιγέντα δὲ ἐξήνεγκεν ὁ κλύδων ἐς τὴν ὑπὲρ Σάμου νῆσον ἔτι οὖσαν ἀνώνυμον. Ἐπιτυχὼν δὲ Ἡρακλῆς γνωρίζει τὸν νεκρόν, καὶ ἔθαψεν ἔνθα καὶ νῦν ἔτι αὐτῷ χῶμα οὐ μέγα ἐπὶ ἄκρας ἐστὶν ἀνεχούσης ἐς τὸ Αἰγαῖον. ἀπὸ δὲ

*τοῦ Ἰκάρου τούτου ὄνομα ἥ τε νῆσος καὶ ἡ περὶ αὐτὴν
θάλασσα ἔσχηκε.* 4. *Θηβαίοις δὲ τὰ ἐν τοῖς ἀετοῖς Πρα-* 6
*ξιτέλης ἐποίησε τὰ πολλὰ τῶν δώδεκα καλουμένων
ἄθλων· καί σφισι τὰ ἐς τὰς ὄρνιθας ἐνδεῖ τὰς ἐπὶ Στυμ-
φήλῳ, καὶ ὡς ἐκάθηρεν Ἡρακλῆς τὴν Ἠλείαν χώραν·*
733 *ἀντὶ τούτων δὲ ἡ πρὸς Ἀνταῖον πάλη πεποίηται. Θρα-
σύβουλος δὲ ὁ Λύκου καὶ Ἀθηναίων οἱ σὺν αὐτῷ τυραν-
νίδα τὴν τῶν τριάκοντα καταλύσαντες, ὁρμηθεῖσι γὰρ
σφισιν ἐκ Θηβῶν ἐγένετο ἡ κάθοδος, Ἀθηνᾶν καὶ Ἡρα-
κλέα κολοσσοῦ ἐπὶ λίθου τύπου τοῦ Πεντέλησιν, ἔργα
δὲ Ἀλκαμένους, ἀνέθηκαν ἐς τὸ Ἡράκλειον.*

Τοῦ δὲ Ἡρακλείου γυμνάσιον ἔχεται καὶ στάδιον, 7
ἀμφότερα ἐπώνυμα τοῦ θεοῦ. 5. *Ὑπὲρ δὲ τὸν Σωφρο-
νιστῆρα λίθον βωμός ἐστιν Ἀπόλλωνος ἐπίκλησιν Σπο-
δίου, πεποίηται δὲ ἀπὸ τῆς τέφρας τῶν ἱερείων. μαν-
τικὴ δὲ καθέστηκεν αὐτόθι ἀπὸ κληδόνων, ᾗ δὴ καὶ
Σμυρναίους μάλιστα Ἑλλήνων χρωμένους οἶδα· ἔστι
γὰρ καὶ Σμυρναίοις ὑπὲρ τὴν πόλιν κατὰ τὸ ἐκτὸς τοῦ
τείχους Κληδόνων ἱερόν.*

XII. *Τῷ δὲ Ἀπόλλωνι Θηβαῖοι τῷ Σποδίῳ ταύρους
ἔθυον τὸ ἀρχαῖον· καί ποτε παρούσης σφίσι τῆς ἑορτῆς
ἥ τε ὥρα κατήπειγε τῆς θυσίας καὶ οἱ πεμφθέντες ἐπὶ
τὸν ταῦρον οὐχ ἧκον· οὕτω δὴ παρατυχούσης ἁμάξης
τὸν ἕτερον τῶν βοῶν τῷ θεῷ θύουσι, καὶ ἀπ' ἐκείνου
ἐργάτας βοῦς θύειν νομίζουσι. Λέγεται δὲ καὶ ὅδε ὑπ'
αὐτῶν λόγος, ὡς ἀπιόντι ἐκ Δελφῶν Κάδμῳ τὴν ἐπὶ
Φωκέων βοῦς γένοιτο ἡγεμὼν τῆς πορείας, τὴν δὲ βοῦν
ταύτην παρὰ βουκόλων εἶναι τῶν Πελάγοντος ὠνητήν·
ἐπὶ δὲ ἑκατέρᾳ τῆς βοὸς πλευρᾷ σημεῖον ἐπεῖναι λευκόν,
εἰκασμένον κύκλῳ τῆς σελήνης, ὁπότε εἴη πλήρης. ἔδει* 2
*δὲ ἄρα Κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἐνταῦθα οἰ-
κῆσαι κατὰ τοῦ θεοῦ τὴν μαντείαν, ἔνθα ἡ βοῦς ἔμελλε*

καμοῦσα ὀκλάσειν· ἀποφαίνουσιν οὖν καὶ τοῦτο το χωρίον. 2. Ἐνταῦθα ἔστι μὲν ἐν ὑπαίθρῳ βωμὸς καὶ 734
ἄγαλμα (Ἀθηνᾶς)· ἀναθεῖναι δὲ αὐτὸ Κάδμον λέγουσι. τοῖς οὖν νομίζουσιν ἐς γῆν ἀφικέσθαι Κάδμον τὴν Θηβαΐδα Αἰγύπτιον καὶ οὐ Φοίνικα ὄντα, ἔστιν ἐναντίον τῷ λόγῳ τῆς Ἀθηνᾶς ταύτης τὸ ὄνομα, ὅτι Ὄγγα κατὰ γλῶσσαν τὴν Φοινίκων καλεῖται καὶ οὐ Σάϊς κατὰ τὴν
3 Αἰγυπτίων φωνήν. 3. Φασὶ δὲ οἱ Θηβαῖοι, καθότι τῆς ἀκροπόλεως ἀγορά σφισιν ἐφ' ἡμῶν πεποίηται, Κάδμου τὸ ἀρχαῖον οἰκίαν εἶναι· θαλάμων δὲ ἀποφαίνουσι τοῦ μὲν Ἁρμονίας ἐρείπια καὶ ὃν Σεμέλης φασὶν εἶναι· τοῦτον δὲ καὶ ἐς ἡμᾶς ἔτι ἄβατον φυλάσσουσιν ἀνθρώποις. Ἑλλήνων δὲ τοῖς ἀποδεχομένοις ᾄσαι Μούσας ἐς τὸν Ἁρμονίας γάμον τὸ χωρίον ἐστὶν ἐπὶ τῆς ἀγορᾶς ἔνθα
4 δή φασι τὰς θεὰς ᾄσαι. Λέγεται δὲ καὶ τόδε, ὡς ὁμοῦ τῷ κεραυνῷ βληθέντι ἐς τὸν Σεμέλης θάλαμον πέσοι ξύλον ἐξ οὐρανοῦ· Πολύδωρον δὲ τὸ ξύλον τοῦτο χαλκῷ λέγουσιν ἐπικοσμήσαντα Διόνυσον καλέσαι Κάδμον. πλησίον δὲ Διονύσου ἄγαλμα, καὶ τοῦτο Ὀνασιμήδης ἐποίησε δι' ὅλου πλῆρες ὑπὸ τοῦ χαλκοῦ· τὸν βωμὸν δὲ οἱ παῖδες εἰργάσαντο οἱ Πραξιτέλους.

5 4. Ἀνδριάς τέ ἐστι Προνόμου ἀνδρὸς αὐλήσαντος ἐπαγωγότατα ἐς τοὺς πολλούς. τέως μέν γε ἰδέας αὐλῶν τρεῖς ἐκτῶντο οἱ αὐληταί, καὶ τοῖς μὲν αὔλημα ηὔλουν τὸ Δώριον, διάφοροι δὲ αὐτοῖς ἐς ἁρμονίαν τὴν Φρύγιον ἐπεποίηντο οἱ αὐλοί, τὸ δὲ καλούμενον Λύδιον ἐν αὐλοῖς 735
ηὐλεῖτο ἀλλοίοις. Πρόνομος δὲ ἦν ὃς πρῶτος ἐπενόησεν αὐλοὺς ἐς ἅπαν ἁρμονίας εἶδος ἔχοντας ἐπιτηδείως, πρῶτος δὲ διάφορα ἐς τοσοῦτο μέλη ὑπ' αὐλοῖς ηὔλησε
6 τοῖς αὐτοῖς. Λέγεται δὲ ὡς καὶ τοῦ προσώπου τῷ σχήματι καὶ τῇ τοῦ παντὸς κινήσει σώματος περισσῶς δή τι ἔτερπε τὰ θέατρα· καί οἱ καὶ ᾆσμα πεποιημένον ἐστὶ

προσόδιον ἐς Δῆλον τοῖς ἐπ' Εὐρίπῳ Χαλκιδεῦσι. τοῦ-
τόν τε οὖν ἐνταῦθα οἱ Θηβαῖοι καὶ Ἐπαμεινώνδαν τὸν
Πολύμνιδος ἀνέθεσαν.

XIII. Τῷ δ' Ἐπαμεινώνδᾳ τὰ μὲν τῶν προγόνων
ὑπῆρχεν ἐς γένους δόξαν, ὁ δέ οἱ πατὴρ χρημάτων ἕνεκα
μέσου ἀνδρὸς ἀπέδει Θηβαίου· διδάγματα δὲ αὐτοῖς τά
τε ἐπιχώρια ἔμαθεν ἐς τὸ ἀκριβέστατον, καὶ ὡς ἤδη
μειράκιον ἦν, ἐφοίτησεν ὡς Λῦσιν, ἄνδρα γένος μὲν
Ταραντῖνον, ἐπιστάμενον δὲ τοὺς Πυθαγόρου τοῦ Σα-
μίου λόγους. λέγεται δὲ ὁ Ἐπαμεινώνδας, ἡνίκα ἐπο-
λέμουν Λακεδαιμόνιοι Μαντινεῦσι, πεμφθῆναι σὺν
ἄλλοις ἀνδράσιν ἐκ Θηβῶν Λακεδαιμονίοις ἀμύνειν·
ἔχοντα δὲ τραύματα ἐν τῇ μάχῃ Πελοπίδαν ἐξέσωσεν ἐς
ἅπαν ἀφικόμενος κινδύνου. Χρόνῳ δὲ ὕστερον κατὰ 2
πρεσβείαν ἐς Σπάρτην ἥκοντα Ἐπαμεινώνδαν, ὅτε Λα-
κεδαιμόνιοι συντίθεσθαι τοῖς Ἕλλησιν ἔφασαν εἰρήνην
τὴν ἐπὶ Ἀνταλκίδου καλουμένην, τηνικαῦτα Ἐπαμει-
νώνδαν ἤρετο Ἀγησίλαος, εἰ κατὰ πόλιν ὀμνύναι Βοιω-
τοὺς ἐάσουσιν ὑπὲρ τῆς εἰρήνης· οὐ πρότερόν γε, εἶπεν,
ὦ Σπαρτιᾶται, πρὶν ἢ καὶ τοὺς περιοίκους ὀμνύοντας
κατὰ πόλιν ἴδωμεν τοὺς ὑμετέρους. 2. Ὡς δὲ ὁ Λακε- 3
δαιμονίων καὶ Θηβαίων ἐξῆρτο ἤδη πόλεμος καὶ οἱ Λα-
κεδαιμόνιοι δυνάμει καὶ αὐτῶν καὶ τῶν συμμάχων ἐπὶ
τοὺς Θηβαίους ᾔεσαν, Ἐπαμεινώνδας μὲν ἔχων τοῦ
στρατοῦ μοῖραν ἀντεκάθητο ὑπὲρ τῆς Κηφισίδος λίμνης
ὡς ποιησομένων ταύτῃ Πελοποννησίων τὴν ἐσβολήν,
736 Κλεόμβροτος δὲ ὁ Λακεδαιμονίων βασιλεὺς ἐπὶ Ἀμβρώ-
σου τρέπεται τῆς Φωκέων· ἀποκτείνας δὲ Χαιρέαν, ὃς
φυλάσσειν διετέτακτο τὰς παρόδους, καὶ ἄλλους τοὺς
σὺν αὐτῷ Θηβαίους, ὑπερέβη, καὶ ἐς Λεῦκτρα ἀφικνεῖ-
ται τὰ Βοιώτια. Ἐνταῦθα καὶ αὐτῷ Κλεομβρότῳ καὶ 4
Λακεδαιμονίων τῷ κοινῷ σημεῖα ἐγένετο ἐκ τοῦ θεοῦ.

τοῖς βασιλεῦσιν αὐτῶν ἐς τὰς ἐξόδους πρόβατα εἵπετο θεοῖς τε εἶναι θυσίας καὶ πρὸ τῶν ἀγώνων καλλιερεῖν. ταῖς δὲ ποίμναις ἡγεμόνες τῆς πορείας ἦσαν αἶγες· κατοιάδας οἱ ποιμένες ὀνομάζουσιν αὐτάς. τότε οὖν ὁρμήσαντες ἐς τὴν ποίμνην λύκοι τοῖς μὲν προβάτοις ἐγίνοντο οὐδὲν βλάβος, οἱ δὲ τὰς αἶγας τὰς κατοιάδας ἔκτεινον.

5 *3. Ἐλέγετο δὲ καὶ μήνιμα ἐς τοὺς Λακεδαιμονίους ἐκ τῶν θυγατέρων εἶναι τῶν Σκεδάσου. Σκεδάσῳ γὰρ περὶ Λεῦκτρα οἰκοῦντι θυγατέρες Μολπία γίνεται καὶ Ἱππώ· ταύτας ἐς ὥραν ἤδη προηκούσας Λακεδαιμονίων ἄνδρες βιάζονται παρὰ θέμιδα Φρουραρχίδας καὶ Παρθένιος. καὶ αἵ τε παρθένοι παραυτίκα, οὐ γάρ σφισιν ἀνεκτὰ ἐφαίνετο εἶναι τὰ τῆς ὕβρεως, ἀπάγχουσιν αὑτάς· καὶ ὁ Σκέδασος, ὡς ἐς Λακεδαίμονα ἐλθόντι οὐδεμία ἐγένετο αὐτῷ δίκη, οὕτως ἐς τὰ Λεῦκτρα ἐπανήκων αὑτὸν*
6 *διεργάζεται. Τότε δὲ ὁ Ἐπαμεινώνδας Σκεδάσῳ καὶ ταῖς παισὶν ἐνήγιζέ τε καὶ εὔχετο, ὡς οὐ μᾶλλον ὑπὲρ σωτηρίας Θηβαίων ἢ καὶ τιμωρίας ἐκείνων τὸν ἀγῶνα ἐσόμενον. Τῶν δὲ βοιωταρχούντων οὐ κατὰ ταὐτὰ ἐγίνοντο αἱ γνῶμαι, διεστηκυῖαι δὲ πολὺ ἀπ' ἀλλήλων· Ἐπαμεινώνδᾳ μὲν γὰρ ἤρεσκε καὶ Μάλγιδι καὶ Ξενοκράτει κατὰ τάχος πρὸς τοὺς Λακεδαιμονίους ποιεῖσθαι μάχην, Δαμοκλείδας δὲ καὶ Δαμόφιλος καὶ Σιμάγγελος συμβάλλειν μὲν οὐκ εἴων, ἐκέλευον δὲ ὑπεκθεμένους ἐς τὴν Ἀττικὴν γυναῖκας καὶ παῖδας ὡς πολιορκησομένους*
7 *αὐτοὺς παρασκευάζεσθαι. Τῶν μὲν δὴ ἓξ ἐς τοσοῦτον ἦν κεχωρισμένα τὰ βουλεύματα· προσγενομένης δὲ ψή-* 737
φου τοῖς περὶ τὸν Ἐπαμεινώνδαν τοῦ ἑβδόμου τῶν Βοιωταρχῶν, ὃς ἐφρούρει μὲν τὴν κατὰ τὸν Κιθαιρῶνα ἐσβολήν, ὄνομα δὲ ἦν οἱ Βακχυλίδης, τούτου τοῦ ἀνδρός, ὡς ἐπανῆλθεν ἐς τὸ στρατόπεδον, προσθεμένου τοῖς περὶ τὸν Ἐπαμεινώνδαν, τότε καὶ πᾶσιν ἐδέδοκτο

ἀγῶνι διακρίνεσθαι. Τῷ δὲ Ἐπαμεινώνδᾳ καὶ ἐς ἄλλους 8
Βοιωτῶν ὕποπτα ἦν, ἐς δὲ τοὺς Θεσπιεῖς καὶ περισσό-
τερον· δείσας οὖν μὴ σφᾶς παρὰ τὸ ἔργον προδῶσιν,
ἀποχώρησιν παρεῖχεν ἀπὸ στρατοπέδου τοῖς ἐθέλουσιν
οἴκαδε· καὶ οἱ Θεσπιεῖς τε ἀπαλλάσσονται πανδημεὶ καὶ
εἴ τισιν ἄλλοις Βοιωτῶν ὑπῆν δύσνοια ἐς τοὺς Θηβαίους.
4. Ὡς δὲ ἐς χεῖρας συνήεσαν, ἐνταῦθα οἱ σύμμαχοι τῶν 9
Λακεδαιμονίων, ἅτε αὐτοῖς καὶ τὸν πρὸ τοῦ χρόνον οὐκ
ἀρεσκόμενοι, τὸ ἔχθος μάλιστα ἐπεδείκνυντο, οὔτε κατὰ
χώραν μένειν ἐθέλοντες, ἐνδιδόντες δὲ ὅπῃ σφίσιν οἱ
πολέμιοι προσφέροιντο. Αὐτοὺς δὲ Λακεδαιμονίους καὶ
Θηβαίους ἐξ ἴσου καθίστη τοὺς μὲν ἐμπειρία τε ἡ προ-
ϋπάρχουσα, καὶ ἅμα αἰδουμένους μὴ καταλῦσαι τῆς
Σπάρτης τὸ ἀξίωμα, Θηβαῖοι δὲ ὑπὲρ τῆς πατρίδος καὶ
πρὸ γυναικῶν καὶ παίδων τὸν κίνδυνον ἐφεστηκότα
ἑώρων. Ὡς δὲ ἄλλοι τε Λακεδαιμονίων τῶν ἐν τέλει 10
καὶ ὁ βασιλεὺς ἐτεθνήκει Κλεόμβροτος, ἐνταῦθα τοὺς
Σπαρτιάτας καὶ ταλαιπωρουμένους ἐπελάμβανεν ἀνάγκη
μὴ ἐνδιδόναι· παρὰ γὰρ τοῖς Λακεδαιμονίοις αἴσχιστον
ἐδέδοκτο εἶναι βασιλέως νεκρὸν ἐπὶ ἀνδράσι πολεμίοις
γενόμενον περιοφθῆναι.

Θηβαίοις μὲν ἡ νίκη κατείργαστο ἐπιφανεστάτη πα- 11
σῶν, ὁπόσας κατὰ Ἑλλήνων ἀνείλοντο Ἕλληνες· Λακε-
δαιμόνιοι δὲ ἐς τὴν ὑστεραίαν τοὺς τεθνεῶτας διενο-
οῦντο ὡς θάψοντες, καὶ ἀποστέλλουσι κήρυκα ἐς τοὺς
Θηβαίους. Ἐπαμεινώνδας δὲ ἐπιστάμενος ὡς ἐπικρύπ-
τεσθαι τὰς συμφορὰς ἀεί ποτε οἱ Λακεδαιμόνιοι πεφύ-
κασιν, ἔφασκεν ἀναίρεσιν τῶν νεκρῶν προτέροις αὐτῶν
διδόναι τοῖς συμμάχοις, ἐπὶ δὲ ἐκείνοις ἀνελομένοις
οὕτω καὶ τοὺς Λακεδαιμονίους ἠξίου θάπτειν τοὺς αὐ-
τῶν. ὡς δὲ τῶν συμμάχων οἱ μὲν οὐδὲ ἀρχὴν ἀνῃροῦντο 12
738 ἅτε οὐ τεθνεῶτός σφισιν οὐδενός, τῶν δὲ ὀλίγον ἐφαί-

νετο εἶναι τὸ διεφθαρμένον, οὕτω Λακεδαιμόνιοί τε ἔθαπτον τοὺς αὑτῶν, καὶ ἤδη Σπαρτιάτας ἐξελήλεγκτο εἶναι τοὺς κειμένους. Ἀπέθανον δὲ Θηβαίων καὶ ὅσοι παρέμειναν Βοιωτῶν ἑπτὰ καὶ τεσσαράκοντα ἄνδρες, Λακεδαιμονίων δὲ αὐτῶν πλείους ἢ χίλιοι.

XIV. *Τὸ μὲν δὴ παραυτίκα ὁ Ἐπαμεινώνδας μετὰ τὴν μάχην Πελοποννησίων τοῖς λοιποῖς ἀπιέναι προειπὼν ἐπὶ τὰ οἰκεῖα, Λακεδαιμονίους ἐν τοῖς Λεύκτροις εἶχεν ἀπειλημμένους· ὡς δὲ ἤκουε τοὺς ἐκ τῆς πόλεως Σπαρτιάτας βοηθήσοντας τοῖς σφετέροις ἐς Λεῦκτρα ἰέναι πανδημεί, δίδωσιν οὕτω τοῖς ἀνδράσιν ἀπελθεῖν ὑποσπόνδους, ἔφη τε ἄμεινον ἔσεσθαι τὸν πόλεμόν σφι-*
2 *σιν ἐκ Βοιωτῶν ἐς τὴν Λακεδαίμονα ἀπώσασθαι. Θεσπιεῦσι δὲ ὑφορωμένοις τήν τε ἐξ ἀρχῆς ἐκ τῶν Θηβαίων δυσμένειαν καὶ τὴν ἐν τῷ παρόντι αὐτῶν τύχην, τὴν μὲν πόλιν ἔδοξεν ἐκλιπεῖν, ἀναφεύγειν δὲ ἐς Κερησσόν. ἔστι δὲ ἐχυρὸν χωρίον ὁ Κερησσὸς [ἐς τὴν] Θεσπιέων, ἐς ὃ καὶ πάλαι ποτὲ ἀνεσκευάσαντο κατὰ τὴν ἐπιστρατείαν τὴν Θεσσαλῶν. Οἱ δὲ Θεσσαλοὶ τότε, ὡς ἑλεῖν τὸν Κερησσόν σφισι πειρωμένοις ἐφαίνετο ἐλπίδος κρεῖσ-*
3 *σον, ἀφίκοντο ἐς Δελφοὺς παρὰ τὸν θεόν, καὶ αὐτοῖς γίνεται μάντευμα τοιόνδε·*

Λεῦκτρά τέ μοι σκιόεντα μέλει καὶ Ἀλήσιον οὖδας,
καί μοι τὼ Σκεδάσου μέλετον δυσπενθέε κούρα.
ἔνθα μάχη πολύδακρυς ἐπέρχεται· οὐδέ τις αὐτήν
φράσσεται ἀνθρώπων, πρὶν κούριον ἀγλαὸν ἥβην
Δωριέες ὀλέσωσ', ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.
τουτάκι δ' ἔστι Κερησσὸς ἁλώσιμος, ἄλλοτε δ' οὐχί. 739

4 2. *Τότε δὲ ὁ Ἐπαμεινώνδας ὡς τοὺς Θεσπιεῖς καταφεύγοντας ἐς τὸν Κερησσὸν ἐξεῖλε, πρὸς τὰ ἐν Πελοποννήσῳ παραυτίκα ἔσπευδεν ἅτε καὶ τῶν Ἀρκάδων προθύμως μεταπεμπομένων. ἐλθὼν δὲ Ἀργείους μὲν προσ-*

ελάβετο ἑκουσίους συμμάχους, Μαντινέας δὲ κατὰ κώμας
ὑπὸ Ἀγησιπόλιδος διῳκισμένους ἐς τὴν ἀρχαίαν συνή-
γαγεν αὖθις πόλιν· τὰ δὲ πολίσματα τὰ Ἀρκάδων ὁπόσα
εἶχεν ἀσθενῶς, καταλῦσαι πείσας τοὺς Ἀρκάδας, πα-
τρίδα ἐν κοινῷ σφίσιν ᾤκισεν, ἣ Μεγάλη καὶ ἐς ἡμᾶς
ἔτι καλεῖται πόλις. Ὁ μὲν δὴ χρόνος βοιωταρχοῦντι Ἐπα- 5
μεινώνδᾳ διήνυστο, τεθνάναι δὲ ἐτέτακτο ἐπιλαβόντα
ἄνδρα τῆς ἀρχῆς. ὁ οὖν Ἐπαμεινώνδας ὑπεριδὼν ὡς οὐκ
ὄντα ἐν καιρῷ τὸν νόμον ἐβοιωτάρχει· καὶ ἀφικόμενος
τῷ στρατῷ πρὸς τὴν Σπάρτην, ὡς οὐκ ἀντεπῆγεν Ἀγη-
σίλαος μαχούμενος, οὕτω πρὸς τὸν οἰκισμὸν τρέπεται
Μεσσήνης, καὶ οἰκιστὴς Μεσσηνίοις τοῖς νῦν ἐστιν Ἐπα-
μεινώνδας· καί μοι τὰ ἐς τὸν οἰκισμὸν ἐδήλωσε τὰ ἐς
αὐτοὺς ἔχοντα Μεσσηνίους. 3. Ἐν τούτῳ δὲ οἱ τῶν Θη- 6
βαίων σύμμαχοι κατέτρεχον διασκεδασθέντες χώραν τὴν
Λακωνικὴν καὶ ἥρπαζον τὰ ἐξ αὐτῆς. τοῦτο Ἐπαμει-
νώνδᾳ παρέστησεν ὀπίσω Θηβαίους ἐς Βοιωτίαν ἀπα-
γαγεῖν. καὶ ὡς προϊὼν τῷ στρατῷ κατὰ Λέχαιον ἐγίνετο
καὶ διεξιέναι τῆς ὁδοῦ τὰ στενὰ καὶ δύσβατα ἔμελλεν,
Ἰφικράτης ὁ Τιμοθέου πελταστὰς καὶ ἄλλην Ἀθηναίων
ἔχων δύναμιν ἐπιχειρεῖ τοῖς Θηβαίοις. Ἐπαμεινώνδας 7
δὲ τοὺς ἐπιθεμένους τρέπεται καὶ πρὸς αὐτὸ ἀφικόμενος
Ἀθηναίων τὸ ἄστυ, ὡς ἐπεξιέναι μαχουμένους τοὺς
Ἀθηναίους ἐκώλυεν Ἰφικράτης, ὁ δὲ αὖθις ἐς τὰς Θήβας
ἀπήλαυνε. 4. Καὶ δίκην μὲν ἔφυγεν ὑπὲρ θανάτου, διότι
ἐβοιωτάρχησεν ἐξήκοντος ἤδη τοῦ χρόνου· λέγονται δὲ
οἱ δικάζειν λαχόντες οὐδὲ ἀρχὴν περὶ αὐτοῦ θέσθαι τὴν
ψῆφον.

740 XV. Μετὰ δὲ ταῦτα ἐν Θεσσαλίᾳ δυναστεύων Ἀλέ-
ξανδρος Πελοπίδαν ἐλθόντα, ἀφίκετο δὲ ὡς παρὰ ἄνδρα
ἰδίᾳ τε εὔνουν αὐτῷ καὶ Θηβαίων φίλον τῷ κοινῷ, πα-
ραγενόμενον δὴ τὸν Πελοπίδαν ὁ Ἀλέξανδρος δήσας

εἶχεν ὑπὸ ἀπιστίας τε καὶ ὕβρεως. Θηβαῖοι δὲ ἐπεξιέναι παραυτίκα ἐπὶ τὸν Ἀλέξανδρον ὥρμηντο. Ἡγεμόνας μὲν τῆς ἐξόδου Κλεομένην καὶ Ὕπατον ἐποιήσαντο βοιωταρχοῦντας ἐν τῷ τότε· Ἐπαμεινώνδᾳ δὲ συνέβαινεν
2 *ἐν τοῖς στρατευομένοις τετάχθαι. γεγονυίας δὲ ἐκτὸς Πυλῶν οἱ τῆς δυνάμεως, ἐπιτίθεταί σφισιν ἐν δυσχωρίαις λοχήσας ὁ Ἀλέξανδρος. ὡς δὲ ἐφαίνετο ἄπορα εἶναι τὰ τῆς σωτηρίας, οὕτω δὴ ὅ τε λοιπὸς στρατὸς ἡγεμόνα ποιοῦνται τὸν Ἐπαμεινώνδαν καὶ οἱ βοιωτάρχαι παραχωροῦσιν ἑκουσίως τῆς ἀρχῆς. Ἀλέξανδρος δὲ οὔτε ἔτι ἐθάρρει τὸν πόλεμον, στρατηγοῦντα ὁρῶν τοῖς ἐναντίοις Ἐπαμεινώνδαν, καὶ ἑκὼν Πελοπίδαν ἀφίησιν.*
3 2. *Ἐν ὅσῳ δὲ ἀπῆν ὁ Ἐπαμεινώνδας, Ὀρχομενίους Θηβαῖοι ποιοῦσιν ἀναστάτους ἐκ τῆς χώρας· συμφορὰν δὲ τὴν ἀνάστασιν τοῖς Ὀρχομενίοις ἐνόμιζεν ὁ Ἐπαμεινώνδας, καὶ οὔ ποτ' ἂν ἐξεργασθῆναι τόλμημα τοιοῦτον*
4 *αὐτοῦ γε παρόντος ἔφασκεν ὑπὸ Θηβαίων. Ὡς δὲ βοιωταρχεῖν αὖθις ᾕρητο καὶ στρατῷ Βοιωτῶν ἀφίκετο αὖθις ἐς Πελοπόννησον, ἐκράτησε μὲν περὶ Λέχαιον Λακεδαιμονίους μάχῃ, σὺν δέ σφισιν Ἀχαιῶν Πελληνέας καὶ Ἀθηναίων οὓς Χαβρίας ἦγεν ἐξ Ἀθηνῶν. Θηβαίοις δὲ ἦν καθεστηκὸς τοὺς μὲν ἄλλους ὁπόσους αἰχμαλώτους ἕλοιεν ἀφιέναι χρημάτων, τοὺς δὲ ἐκ Βοιωτῶν φεύγοντας ζημιοῦν θανάτῳ. Πόλισμα οὖν ἑλὼν Σικυωνίων Φοιβίαν, ἔνθα ἦσαν τὸ πολὺ οἱ Βοιώτιοι φυγάδες, στιγμὴν ἀφίησι τοὺς ἐγκαταληφθέντας, ἄλλην σφίσιν* 741
5 *ἣν ἔτυχε πατρίδα ἐπονομάζων ἑκάστῳ.* 3. *Ὡς δὲ ἀφίκετο πρὸς Μαντίνειαν τῇ στρατιᾷ, νικῶν καὶ τότε ὑπὸ ἀνδρὸς ἀπέθανεν Ἀθηναίου, καὶ Ἀθήνησιν ἐν ἵππων μάχῃ τὸν Ἐπαμεινώνδαν ὁ ἀνὴρ οὗτος γέγραπται φονεύων Γρύλος ὁ Ξενοφῶντος, Ξενοφῶντος δὲ τοῦ Κύρῳ ὁδοῦ*

μετασχόντος ἐπὶ βασιλέα Ἀρταξέρξην καὶ ὀπίσω τοῖς Ἕλλησιν ἐπὶ θάλασσαν ἡγησαμένου.

Τῷ δὲ ἀνδριάντι τοῦ Ἐπαμεινώνδου καὶ ἐλεγεῖα 6
ἔπεστιν ἄλλα τε ἐς αὐτὸν λέγοντα, καὶ ὅτι Μεσσήνης γένοιτο οἰκιστὴς καὶ τοῖς Ἕλλησιν ὑπάρξειεν ἐλευθερία δι᾽ αὐτοῦ. καὶ οὕτως ἔχει τὰ ἐλεγεῖα·

Ἡμετέραις βουλαῖς Σπάρτη μὲν ἐκείρατο δόξαν,
 Μεσσήνη δ᾽ ἱερὴ τέκνα χρόνῳ δέχεται.
Θήβης δ᾽ ὅπλοισιν Μεγάλη πόλις ἐστεφάνωται,
 αὐτόνομος δ᾽ Ἑλλὰς πᾶσ᾽ ἐν ἐλευθερίῃ.

τούτῳ μὲν τοσαῦτα ἦν ἐς δόξαν.

XVI. Οὐ πόρρω δέ ἐστι ναὸς Ἄμμωνος· καὶ τὸ ἄγαλμα ἀνέθηκε μὲν Πίνδαρος, Καλάμιδος δέ ἐστιν ἔργον. Ἀπέπεμψε δὲ ὁ Πίνδαρος καὶ Λιβύης ἐς Ἀμμωνίους τῷ Ἄμμωνι ὕμνον· οὗτος καὶ ἐς ἐμὲ ἦν ὁ ὕμνος ἐν τριγώνῳ στήλῃ παρὰ τὸν βωμὸν ὃν Πτολεμαῖος ὁ Λάγου τῷ Ἄμμωνι ἀνέθηκε. Θηβαίοις δὲ μετὰ τοῦ Ἄμμωνος τὸ ἱερὸν οἰωνοσκοπεῖόν τε Τειρεσίου καλούμενον καὶ πλησίον
Τύχης ἐστὶν ἱερόν· φέρει μὲν δὴ Πλοῦτον παῖδα· ὡς δὲ 2
Θηβαῖοι λέγουσι, χεῖρας μὲν τοῦ ἀγάλματος καὶ πρόσωπον Ξενοφῶν εἰργάσατο Ἀθηναῖος, Καλλιστόνικος δὲ τὰ λοιπὰ ἐπιχώριος. Σοφὸν μὲν δὴ καὶ τούτοις τὸ βούλευμα, ἐσθεῖναι Πλοῦτον ἐς τὰς χεῖρας ἅτε μητρὶ ἢ τροφῷ τῇ Τύχῃ, σοφὸν δὲ οὐχ ἧσσον Κηφισοδότου· καὶ
742 γὰρ οὗτος τῆς Εἰρήνης τὸ ἄγαλμα Ἀθηναίοις Πλοῦτον ἔχουσαν πεποίηκεν.

2. Ἀφροδίτης δὲ Θηβαίοις ξόανά ἐστιν οὕτω δὴ 3
ἀρχαῖα ὥστε καὶ ἀναθήματα Ἁρμονίας εἶναί φασιν [αὐτά], ἐργασθῆναι δὲ αὐτὰ ἀπὸ τῶν ἀκροστολίων ἃ ταῖς Κάδμου ναυσὶν ἦν ξύλου πεποιημένα. καλοῦσι δὲ Οὐρανίαν, τὴν δὲ αὐτῶν Πάνδημον, καὶ Ἀποστροφίαν

τὴν τρίτην· ἔθετο δὲ τῇ Ἀφροδίτῃ τὰς ἐπωνυμίας ἡ
4 Ἁρμονία, τὴν μὲν Οὐρανίαν ἐπὶ ἔρωτι καθαρῷ καὶ
ἀπηλλαγμένῳ πόθου σωμάτων, Πάνδημον δὲ ἐπὶ ταῖς
μίξεσι, τρίτα δὲ Ἀποστροφίαν, ἵνα ἐπιθυμίας τε ἀνόμου
καὶ ἔργων ἀνοσίων ἀποστρέφῃ τὸ γένος τῶν ἀνθρώπων·
πολλὰ γὰρ τὰ μὲν ἐν βαρβάροις ἠπίστατο ἡ Ἁρμονία,
τὰ δὲ καὶ παρ' Ἕλλησιν ἤδη τετολμημένα, ὁποῖα καὶ
ὕστερον ἐπὶ τῇ Ἀδώνιδος μητρὶ καὶ ἐς Φαίδραν τε τὴν
5 Μίνω καὶ ἐς τὸν Θρᾷκα Τηρέα ᾄδεται. 3. Τὸ δὲ τῆς
Δήμητρος ἱερὸν τῆς Θεσμοφόρου Κάδμου καὶ τῶν ἀπο-
γόνων οἰκίαν ποτὲ εἶναι λέγουσι· Δήμητρος δὲ ἄγαλμα
ὅσον ἐς στέρνα ἐστὶν ἐν τῷ φανερῷ. καὶ ἀσπίδες ἐνταῦθα
ἀνάκεινται χαλκαῖ· Λακεδαιμονίων δὲ ὁπόσοι τῶν ἐν
τέλει περὶ Λεῦκτρα ἐτελεύτησαν, φασὶν εἶναι.

6 4. Πρὸς δὲ ταῖς καλουμέναις πύλαις Προιτίσι θέα-
τρον ᾠκοδόμηται, καὶ ἐγγυτάτω τοῦ θεάτρου Διονύσου
ναός ἐστιν ἐπίκλησιν Λυσίου· Θηβαίων γὰρ αἰχμαλώ-
τους ἄνδρας ἐχομένους ὑπὸ Θρᾳκῶν, ὡς ἀγόμενοι κατὰ
τὴν Ἁλιαρτίαν ἐγίνοντο, ἔλυσεν ὁ θεός, καὶ ἀποκτεῖναί
σφισι τοὺς Θρᾷκας παρέδωκεν ὑπνωμένους. Ἐνταῦθα
οἱ Θηβαῖοι τὸ ἕτερον τῶν ἀγαλμάτων φασὶν εἶναι Σεμέ-
λης· ἐνιαυτοῦ δὲ ἅπαξ ἑκάστου τὸ ἱερὸν ἀνοιγνύναι
7 φασὶν ἐν ἡμέραις τακταῖς. καὶ οἰκίας τῆς Λύκου τὰ ἐρεί-
πια καὶ Σεμέλης μνῆμά ἐστιν· Ἀλκμήνης δὲ οὐ μνῆμα, 743
γενέσθαι δὲ αὐτὴν ὡς ἀπέθανε λίθον φασὶν ἐξ ἀνθρώ-
που, καὶ Μεγαρεῦσι τὰ ἐς αὐτὴν οὐχ ὁμολογοῦσι· διά-
φορα δὲ καὶ τὰ λοιπὰ ὡς τὸ πολὺ ἀλλήλοις λέγουσιν
Ἕλληνες. Θηβαίοις δὲ ἐνταῦθα καὶ τὰ μνήματα πεποί-
ηται τῶν Ἀμφίονος παίδων, χωρὶς μὲν τῶν ἀρσένων,
ἰδίᾳ δὲ ταῖς παρθένοις.

XVII. Πλησίον δὲ Ἀρτέμιδος ναός ἐστιν Εὐκλείας·
Σκόπα δὲ τὸ ἄγαλμα ἔργον. ταφῆναι δὲ ἐντὸς τοῦ ἱεροῦ

θυγατέρας Ἀντιποίνου λέγουσιν, Ἀνδρόκλειάν τε καὶ Ἀλκίδα. μελλούσης γὰρ πρὸς Ὀρχομενίους γίνεσθαι μάχης Θηβαίοις καὶ Ἡρακλεῖ, λόγιόν σφισιν ἦλθεν ἔσεσθαι τοῦ πολέμου κράτος ἀποθανεῖν αὐτοχειρίᾳ θελήσαντος ὃς ἂν τῶν ἀστῶν ἐπιφανέστατος κατὰ γένους ἀξίωμα ᾖ. Ἀντιποίνῳ μὲν οὖν, τούτῳ γὰρ τὰ ἐς τοὺς προγόνους μάλιστα ὑπῆρχεν ἔνδοξα, οὐχ ἡδὺ ἦν ἀποθνήσκειν πρὸ τοῦ δήμου, ταῖς δὲ Ἀντιποίνου θυγατράσιν ἤρεσκε· διεργασάμεναι δὲ αὑτὰς τιμὰς ἀντὶ τούτων ἔχουσι. Τοῦ ναοῦ δὲ τῆς Εὐκλείας Ἀρτέμιδος λέων 2
ἐστὶν ἔμπροσθε, λίθου πεποιημένος· ἀναθεῖναι δὲ ἐλέγετο Ἡρακλῆς Ὀρχομενίους καὶ τὸν βασιλέα αὐτῶν Ἐργῖνον τὸν Κλυμένου νικήσας τῇ μάχῃ. πλησίον δὲ Ἀπόλλων τέ ἐστιν ἐπίκλησιν Βοηδρόμιος καὶ Ἀγοραῖος Ἑρμῆς καλούμενος, Πινδάρου καὶ τοῦτο ἀνάθημα. Ἀπέχει δὲ ἡ πυρὰ τῶν Ἀμφίονος παίδων ἥμισυ σταδίου μάλιστα ἀπὸ τῶν τάφων· μένει δὲ ἡ τέφρα καὶ ἐς τόδε ἔτι ἀπὸ τῆς πυρᾶς. 2. Πλησίον δὲ Ἀμφιτρύωνος δύο ἀγάλ- 3
ματα λίθινα λέγουσιν Ἀθηνᾶς ἐπίκλησιν Ζωστηρίας· λαβεῖν γὰρ τὰ ὅπλα αὐτὸν ἐνταῦθα, ἡνίκα Εὐβοεῦσι καὶ Χαλκώδοντι ἔμελλεν ἀντιτάξεσθαι. τὸ δὲ ἐνδῦναι τὰ ὅπλα ἐκάλουν ἄρα οἱ παλαιοὶ ζώσασθαι· καὶ δὴ Ὅμηρον Ἄρει τὸν Ἀγαμέμνονα ποιήσαντα ἐοικέναι τὴν ζώνην, τῶν ὅπλων τὴν σκευήν φασιν εἰκάζειν.

744 3. Ζήθῳ δὲ μνῆμα καὶ Ἀμφίονι ἐν κοινῷ γῆς χῶμά 4
ἐστιν οὐ μέγα. ὑφαιρεῖσθαι δὲ ἐθέλουσιν ἀπ' αὐτοῦ τῆς γῆς οἱ Τιθορέαν ἐν τῇ Φωκίδι ἔχοντες, ἐθέλουσι δέ, ἐπειδὰν τὸν ἐν οὐρανῷ ταῦρον ὁ ἥλιος διεξίῃ· τηνικαῦτα γὰρ ἢν ἀπ' αὐτοῦ λαβόντες γῆν τῷ Ἀντιόπης μνήματι **, Τιθορεεῦσιν οἴσει καρπὸν ἡ χώρα, Θηβαίοις δὲ οὐχ ὁμοίως. καὶ ἐπὶ τούτῳ φρουρὰν οἱ Θηβαῖοι τότε ἔχουσι

5 τοῦ μνήματος. Ταῦτα δὲ αἱ πόλεις αὗται πεπιστεύκασιν
ἐκ χρησμῶν τῶν Βάκιδος· ἔστι γὰρ καὶ τάδε ἐν τοῖς
χρησμοῖς·

ἀλλ' ὁπόταν Τιθορεὺς Ἀμφίονί τε Ζήθῳ τε
χύτλα καὶ εὐχωλὰς μειλίγματ' ἐνὶ χθονὶ χεύῃ
θελγομένου ταύροιο κλυτοῦ μένει ἠελίοιο,
καὶ τότε δὴ πεφύλαξο πόλει κακὸν οὐκ ἀλαπαδνόν
ἐρχόμενον· καρποὶ γὰρ ἀποφθινύθουσιν ἐν αὐτῇ
γαίης δασσαμένων, Φώκου δ' ἐπὶ σῆμα φερόντων.

6 Φώκου δὲ μνῆμα ὁ Βάκις εἴρηκεν ἐπὶ αἰτίᾳ τοιᾷδε. ἡ
γυνὴ τοῦ Λύκου Διόνυσον θεῶν μάλιστα ἦγεν ἐν τιμῇ·
παθούσης δὲ αὐτῆς τὰ λεγόμενα Διόνυσος νεμεσᾷ τῇ
Ἀντιόπῃ· ἐπίφθονοι δὲ ἀεί πως παρὰ θεῶν αἱ ὑπερβο-
λαὶ τῶν τιμωριῶν εἰσί. λέγουσιν Ἀντιόπην μανῆναι καὶ
ἐκστᾶσαν τῶν φρενῶν ἀνὰ πᾶσαν πλανᾶσθαι τὴν Ἑλ-
λάδα, Φῶκον δὲ τὸν Ὀρνυτίωνος τοῦ Σισύφου περι-
τίθησιν ἥτις ἦν καὶ ἔχειν γυναῖκα ἰασάμενον· καὶ δὴ ὁ
7 τάφος ἐν κοινῷ τῇ Ἀντιόπῃ καὶ Φώκῳ πεποίηται. 5. Τοὺς 745
δὲ παρὰ τὸ Ἀμφίονος μνῆμα λίθους, οἳ κάτωθεν ὑπο-
βέβληνται, μήτε ἄλλως εἰργασμένοι πρὸς τὸ ἀκριβέστα-
τον, ἐκείνας εἶναί φασι τὰς πέτρας αἳ τῇ ᾠδῇ τοῦ Ἀμ-
φίονος ἠκολούθησαν. τοιαῦτα δὲ ἕτερα λέγεται καὶ περὶ
Ὀρφέως, ὡς κιθαρῳδοῦντι ἕποιτο αὐτῷ τὰ θηρία.

XVIII. Ἐκ Θηβῶν δὲ ὁδὸς ἐς Χαλκίδα κατὰ πύλας
ταύτας ἐστὶ τὰς Προιτίδας. τάφος δὲ ἐπὶ τῇ λεωφόρῳ
δείκνυται Μελανίππου, Θηβαίων ἐν τοῖς μάλιστα ἀγα-
θοῦ τὰ πολεμικά· καὶ ἡνίκα ἐπεστράτευσαν οἱ Ἀργεῖοι,
Τυδέα ὁ Μελάνιππος οὗτος καὶ ἀδελφῶν τῶν Ἀδράστου
Μηκιστέα ἀπέκτεινε, καί οἱ καὶ αὐτῷ τὴν τελευτὴν ὑπὸ
2 Ἀμφιαράῳ γενέσθαι λέγουσι. 2. Τούτου δὲ ἐγγύτατα
τρεῖς εἰσὶν ἀργοὶ λίθοι· Θηβαίων δὲ οἱ τὰ ἀρχαῖα μνη-
μονεύοντες Τυδέα φασὶν ἐνταῦθα εἶναι τὸν κείμενον,

ταφῆναι δὲ αὐτὸν ὑπὸ Μαίονος· καὶ ἐς μαρτυρίαν τοῦ
λόγου παρέσχον τῶν ἐν Ἰλιάδι ἔπος,

Τυδέος ὃν Θήβησι χυτὴ κατὰ γαῖα καλύπτει.

3. Ἑξῆς δέ ἐστι τῶν Οἰδίποδος παίδων μνήματα, τὰ 3
δ' ἐπ' αὐτοῖς δρώμενα οὐ θεασάμενος πιστὰ ὅμως ὑπεί-
ληφα εἶναι. φασὶ γὰρ καὶ ἄλλοις οἱ Θηβαῖοι τῶν καλου-
μένων ἡρώων καὶ τοῖς παισὶν ἐναγίζειν τοῖς Οἰδίποδος·
τούτοις δὲ ἐναγιζόντων αὐτῶν τὴν φλόγα, ὡσαύτως δὲ
καὶ τὸν ἀπ' αὐτῆς καπνὸν διχῇ διίστασθαι. ἐμὲ δὲ ἐπη-
γάγοντο ὧν λέγουσιν ἐς πίστιν ἰδόντα ἄλλο τοιόνδε. Ἐν 4
Μυσίᾳ τῇ ὑπὲρ Καΐκου πόλισμά ἐστι Πιονίαι, τὸν δὲ
οἰκιστὴν οἱ ἐνταῦθα Πίονιν τῶν τινὰ ἀπογόνων τῶν
Ἡρακλέους φασὶν εἶναι· μελλόντων δὲ ἐναγίζειν αὐτῷ
καπνὸς αὐτόματος ἄνεισιν ἐκ τοῦ τάφου. ταῦτα μὲν οὖν
συμβαίνοντα εἶδον, Θηβαῖοι δὲ καὶ Τειρεσίου μνῆμα
ἀποφαίνουσι, πέντε μάλιστα καὶ δέκα ἀπωτέρω στα-
δίοις ἢ Οἰδίποδος τοῖς παισίν ἐστιν ὁ τάφος· ὁμολογοῦν-
τες δὲ καὶ οὗτοι συμβῆναι Τειρεσίᾳ τὴν τελευτὴν ἐν τῇ
Ἁλιαρτίᾳ, τὸ παρὰ σφίσιν ἐθέλουσιν εἶναι κενὸν μνῆμα.

746 4. Ἔστι δὲ καὶ Ἕκτορος Θηβαίοις τάφος τοῦ Πριά- 5
μου πρὸς Οἰδιποδίᾳ καλουμένῃ κρήνῃ· κομίσαι δὲ αὐ-
τοῦ τὰ ὀστᾶ ἐξ Ἰλίου φασὶν ἐπὶ τοιῷδε μαντεύματι·

Θηβαῖοι Κάδμοιο πόλιν καταναιετάοντες,
αἴ κ' ἐθέλητε πάτραν οἰκεῖν σὺν ἀμύμονι πλούτῳ,
Ἕκτορος ὀστέα Πριαμίδου κομίσαντες ἐς οἴκους
ἐξ Ἀσίης Διὸς ἐννεσίῃς ἥρωα σέβεσθαι.

Τῇ δὲ Οἰδιποδίᾳ κρήνῃ τὸ ὄνομα ἐγένετο, ὅτι ἐς αὐτὴν 6
τὸ αἷμα ἐνίψατο Οἰδίπους τοῦ πατρῴου φόνου. πρὸς δὲ
τῇ πηγῇ τάφος ἐστὶν Ἀσφοδίκου· καὶ ὁ Ἀσφόδικος οὗ-
τος ἀπέκτεινεν ἐν τῇ μάχῃ τῇ πρὸς Ἀργείους Παρθενο-
παῖον τὸν Ταλαοῦ, καθὰ οἱ Θηβαῖοι λέγουσιν, ἐπεὶ τά

γε ἐν Θηβαΐδι ἔπη τὰ ἐς τὴν Παρθενοπαίου τελευτὴν Περικλύμενον τὸν ἀνελόντα φησὶν εἶναι.

XIX. Ἐπὶ ταύτῃ τῇ λεωφόρῳ χωρίον ἐστὶ Τευμησός· Εὐρώπην δὲ ὑπὸ Διὸς κρυφθῆναί φασιν ἐνταῦθα. ἕτερος δὲ ἐς ἀλώπεκα ἐπίκλησιν Τευμησίαν λόγος ἐστίν, ὡς ἐκ μηνίματος Διονύσου τὸ θηρίον ἐπ᾽ ὀλέθρῳ τραφείη Θηβαίων, καὶ ὡς ὑπὸ τοῦ κυνὸς ὃν Πρόκριδι τῇ Ἐρεχθέως ἔδωκεν Ἄρτεμις ἁλίσκεσθαι μέλλουσα αὐτή τε λίθος ἐγένετο ἡ ἀλώπηξ καὶ ὁ κύων οὗτος. Καὶ Ἀθηνᾶς ἐν Τευμησῷ Τελχινίας ἐστὶν ἱερόν, ἄγαλμα οὐκ ἔχον· ἐς δὲ τὴν ἐπίκλησιν αὐτῆς ἔστιν εἰκάζειν ὡς τῶν ἐν Κύπρῳ ποτὲ οἰκησάντων Τελχίνων ἀφικομένη μοῖρα ἐς Βοιωτοὺς ἱερὸν ἱδρύσατο Ἀθηνᾶς Τελχινίας.

2 2. Τευμησοῦ δὲ ἐν ἀριστερᾷ σταδίους προελθόντι ἑπτὰ Γλισᾶντός ἐστιν ἐρείπια, πρὸ δὲ αὐτῶν ἐν δεξιᾷ τῆς ὁδοῦ χῶμα οὐ μέγα, ὕλῃ τε ἀγρίᾳ σύσκιον καὶ ἡμέ- 747
ροις δένδροις. ἐτάφησαν δὲ αὐτόθι οἱ μετὰ Αἰγιαλέως ποιησάμενοι τοῦ Ἀδράστου τὴν ἐς Θήβας στρατείαν, ἄλλοι τε Ἀργείων τῶν ἐν τέλει καὶ Πρόμαχος ὁ Παρθενοπαίου· τῷ δὲ Αἰγιαλεῖ γενέσθαι τὸ μνῆμα ἐν Παγαῖς πρότερον ἔτι ἐν τῇ συγγραφῇ τῇ Μεγαρίδι ἐδήλωσα.

3 Κατὰ δὲ τὴν ἐς Γλισᾶντα εὐθεῖαν ἐκ Θηβῶν λίθοις χωρίον περιεχόμενον λογάσιν Ὄφεως καλοῦσιν οἱ Θηβαῖοι κεφαλήν, τὸν ὄφιν τοῦτον, ὅστις δὴ ἦν, ἀνασχεῖν ἐνταῦθα ἐκ τοῦ φωλεοῦ λέγοντες τὴν κεφαλήν, Τειρεσίαν δὲ ἐπιτυχόντα ἀποκόψαι μαχαίρᾳ. τὸ μὲν δὴ χωρίον τοῦτο ἐπὶ λόγῳ καλεῖται τοιῷδε. 3. Ὑπὲρ δὲ Γλισᾶντός ἐστιν ὄρος Ὕπατος καλούμενον, ἐπὶ δὲ αὐτῷ Διὸς Ὑπάτου ναὸς καὶ ἄγαλμα. τὸν δὲ ποταμὸν τὸν χείμαρρον Θερμώδοντα ὀνομάζουσιν. Ἀναστρέψαντι δὲ ἐπί τε Τευμησὸν καὶ ὁδὸν τὴν ἐς Χαλκίδα Χαλκώδοντος μνῆμά ἐστιν, ὃς ἀπέθανεν ὑπὸ Ἀμφιτρύωνος μάχης πρὸς Θη-

βαίους Εὐβοεῦσι γενομένης. 4. Ἑξῆς δὲ πόλεων ἐρεί- 4
πιά ἐστιν Ἅρματος καὶ Μυκαλησσοῦ· καὶ τῇ μὲν τὸ
ὄνομα ἐγένετο ἀφανισθέντος, ὡς οἱ Ταναγραῖοί φασιν,
ἐνταῦθα Ἀμφιαράῳ τοῦ ἅρματος, καὶ οὐχ ὅπου λέγου-
σιν οἱ Θηβαῖοι· Μυκαλησσὸν δὲ ὁμολογοῦσιν ὀνομα-
σθῆναι διότι ἡ βοῦς ἐνταῦθα ἐμυκήσατο ἡ Κάδμον καὶ
τὸν σὺν αὐτῷ στρατὸν ἄγουσα ἐς Θήβας. ὅντινα δὲ τρό-
πον ἐγένετο ἡ Μυκαλησσὸς ἀνάστατος, τὰ ἐς Ἀθηναίους
ἔχοντα ἐδήλωσέ μοι τοῦ λόγου. Πρὸς θάλασσαν δὲ τῆς 5
Μυκαλησσοῦ Δήμητρος Μυκαλησσίας ἐστὶν ἱερόν· κλείε-
σθαι δὲ αὐτὸ ἐπὶ νυκτὶ ἑκάστῃ καὶ αὖθις ἀνοίγεσθαί
φασιν ὑπὸ Ἡρακλέους, τὸν δὲ Ἡρακλέα εἶναι τῶν Ἰδαίων
καλουμένων Δακτύλων. δείκνυται δὲ αὐτόθι καὶ θαῦμα
τοιόνδε· πρὸ τοῦ ἀγάλματος τῶν ποδῶν τιθέασιν ὅσα
ἐν ὀπώρᾳ πέφυκεν ἡ γῆ φέρειν, ἃ διὰ παντὸς μένει τε-
θηλότα τοῦ ἔτους.

5. Τοῦ δὲ Εὐρίπου τὴν Εὔβοιαν κατὰ τοῦτο ἀπὸ 6
τῆς Βοιωτῶν διείργοντος, τῆς τε Δήμητρος ἐν δεξιᾷ τὸ
ἱερὸν τῆς Μυκαλησσίας καὶ ὀλίγον ἀπ' αὐτοῦ προελ-
748 θόντι ἐστὶν Αὐλίς· ὀνομασθῆναι δὲ ἀπὸ τῆς Ὠγύγου
θυγατρός φασιν αὐτήν. Ναὸς δὲ Ἀρτέμιδός ἐστιν ἐν-
ταῦθα καὶ ἀγάλματα λίθου λευκοῦ, τὸ μὲν δᾷδας φέ-
ρον, τὸ δὲ ἔοικε τοξευούσῃ. φασὶ δὲ ἐπὶ τοῦ βωμοῦ μελ-
λόντων ἐκ μαντείας τῆς Κάλχαντος Ἰφιγένειαν τῶν Ἑλ-
λήνων θύειν, τὴν θεὸν ἀντ' αὐτῆς ἔλαφον τὸ ἱερεῖον
ποιῆσαι. Πλατάνου δὲ ἧς καὶ Ὅμηρος ἐν Ἰλιάδι ἐποιή- 7
σατο μνήμην, τὸ ἔτι τοῦ ξύλου περιὸν φυλάσσουσιν ἐν
τῷ ναῷ. λέγεται δὲ ὡς ἐν Αὐλίδι πνεῦμα τοῖς Ἕλλησιν
οὐκ ἐγίνετο ἐπίφορον, φανέντος δὲ ἐξαίφνης ἀνέμου
σφίσιν οὐρίου θύειν τῇ Ἀρτέμιδι ὅ τι ἕκαστος εἶχε, θή-
λεά τε ἱερεῖα καὶ ἄρσενα ὁμοίως· καὶ ἀπ' ἐκείνου δια-
μεμένηκεν ἐν Αὐλίδι πάντα τὰ ἱερεῖα εἶναι δόκιμα. Δεί-

κυνται δὲ καὶ ἡ πηγὴ παρ' ἣν ἡ πλάτανος ἐπεφύκει, καὶ ἐπὶ λόφου πλησίον τῆς Ἀγαμέμνονος σκηνῆς οὖδὸς χαλ-
8 κοῦ. φοίνικες δὲ πρὸ τοῦ ἱεροῦ πεφύκασιν, οὐκ ἐς ἅπαν ἐδώδιμον παρεχόμενοι καρπὸν ὥσπερ ἐν τῇ Παλαιστίνῃ, τοῦ δὲ ἐν Ἰωνίᾳ τῶν φοινίκων καρποῦ πεπανώτερον. Ἄνθρωποι δὲ ἐν τῇ Αὐλίδι οἰκοῦσιν οὐ πολλοί, γῆς δέ εἰσιν οὗτοι κεραμεῖς. νέμονται Ταναγραῖοι ταύτην τε τὴν χώραν καὶ ὅση περὶ Μυκαλησσόν ἐστι καὶ Ἅρμα.

XX. Ἔστι δὲ τῆς Ταναγραίας ἐπὶ θαλάσσῃ καλούμενον Δήλιον· ἐν δὲ αὐτῷ καὶ Ἀρτέμιδος καὶ Λητοῦς ἐστὶν ἀγάλματα. 2. Ταναγραῖοι δὲ οἰκιστήν σφισι Ποίμανδρον γενέσθαι λέγουσι Χαιρησίλεω παῖδα τοῦ Ἰασίου τοῦ Ἐλευθῆρος· (τοῦτον δ') Ἀπόλλωνός τε καὶ Αἰθούσης εἶναι τῆς Ποσειδῶνος. Ποίμανδρον δὲ γυναῖκά φασιν ἀγαγέσθαι Τάναγραν θυγατέρα Αἰόλου· Κορίννῃ δέ ἐστιν ἐς αὐτὴν πεποιημένα Ἀσωποῦ παῖδα εἶναι.
2 ταύτης τοῦ βίου προελθούσης ἐπὶ μακρότατον, τοὺς περιοίκους φασὶν ἀφελόντας τὸ ὄνομα τήν τε γυναῖκα αὐτὴν καλεῖν Γραῖαν καὶ ἀνὰ χρόνον τὴν πόλιν· διαμεῖναί τε τὸ ὄνομα ἐς τοσοῦτον ὡς καὶ Ὅμηρον ἐν καταλόγῳ ποιῆσαι,

Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν. 749

χρόνῳ δὲ ὕστερον τὸ ὄνομα τὸ ἀρχαῖον ἀνεσώσαντο.
3 3. Ἔστιν Ὠρίωνος μνῆμα ἐν Τανάγρᾳ, καὶ ὄρος Κηρύκιον, ἔνθα Ἑρμῆν τεχθῆναι λέγουσι, Πόλος τε ὀνομαζόμενον χωρίον· ἐνταῦθα Ἄτλαντα καθήμενον πολυπραγμονεῖν τά τε ὑπὸ γῆν φασὶ καὶ τὰ οὐράνια, πεποιῆσθαι δὲ καὶ Ὁμήρῳ περὶ τούτου,

Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅστε θαλάσσης
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτός
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

4 4. Ἐν δὲ τοῦ Διονύσου τῷ ναῷ θέας μὲν καὶ τὸ ἄγαλμα

ἄξιον, λίθου τε ὂν Παρίου καὶ ἔργον Καλάμιδος, θαῦμα δὲ παρέχεται μεῖζον ἔτι ὁ Τρίτων. Ὁ μὲν δὴ σεμνότερος ἐς αὐτὸν λόγος τὰς γυναῖκάς φησι τὰς Ταναγραίων πρὸ τοῦ Διονύσου τῶν ὀργίων ἐπὶ θάλασσαν καταβῆναι καθαρσίων ἕνεκα, νηχομέναις δὲ ἐπιχειρῆσαι τὸν Τρίτωνα, καὶ τὰς γυναῖκας εὔξασθαι Διόνυσόν σφισιν ἀφικέσθαι βοηθόν· ὑπακοῦσαί τε δὴ τὸν θεὸν καὶ τοῦ Τρίτωνος κρατῆσαι τῇ μάχῃ. Ὁ δὲ ἕτερος λόγος ἀξιώματι 5
μὲν ἀποδεῖ τοῦ προτέρου, πιθανώτερος δέ ἐστι. φησὶ γὰρ δὴ οὗτος, ὁπόσα ἐλαύνοιτο ἐπὶ θάλασσαν βοσκήματα, ὡς ἐλόχα τε ὁ Τρίτων καὶ ἥρπαζεν· ἐπιχειρεῖν δὲ αὐτὸν καὶ τῶν πλοίων τοῖς λεπτοῖς, ἐς ὃ οἱ Ταναγραῖοι κρατῆρα οἴνου προτιθέασιν αὐτῷ. καὶ τὸν αὐτίκα ἔρχεσθαι λέγουσιν ὑπὸ τῆς ὀσμῆς, πιόντα δὲ ἐρρῖφθαι κατὰ τῆς ᾐόνος ὑπνωμένον, Ταναγραῖον δὲ ἄνδρα πελέκει παίσαντα ἀποκόψαι τὸν αὐχένα αὐτοῦ· καὶ διὰ τοῦτο οὐκ ἔπεστιν αὐτῷ κεφαλή. ὅτι δὲ μεθυσθέντα εἷλεν, ἐπὶ τούτῳ ὑπὸ Διονύσου νομίζουσιν ἀποθανεῖν αὐτόν.

750 XXI. Εἶδον δὲ καὶ ἄλλον Τρίτωνα ἐν τοῖς Ῥωμαίων θαύμασι, μεγέθει τοῦ παρὰ Ταναγραίοις ἀποδέοντα. παρέχονται δὲ ἰδέαν οἱ Τρίτωνες· ἔχουσιν ἐπὶ τῇ κεφαλῇ κόμην οἷα τὰ βατράχια τὰ ἐν ταῖς λίμναις χρόαν τε καὶ ὅτι τῶν τριχῶν οὐκ ἂν ἀποκρίναις μίαν ἀπὸ τῶν ἄλλων· τὸ δὲ λοιπὸν σῶμα φολίδι λεπτῇ πέφρικέ σφισι κατὰ ἰχθὺν ῥίνην. βράγχια δὲ ὑπὸ τοῖς ὠσὶν ἔχουσι καὶ ῥῖνα ἀνθρώπου, στόμα δὲ εὐρύτερον καὶ ὀδόντας θηρίου· τὰ δὲ ὄμματα, ἐμοὶ δοκεῖν, γλαυκά, καὶ χεῖρές εἰσιν αὐτοῖς καὶ δάκτυλοι καὶ ὄνυχες τοῖς ἐπιθέμασιν ἐμφερεῖς τῶν κόχλων· ὑπὸ δὲ τὸ στέρνον καὶ τὴν γαστέρα οὐρά σφισιν ἀντὶ ποδῶν οἷα περ τοῖς δελφῖσίν ἐστιν. 2. Εἶδον δὲ καὶ ταύρους τούς τε Αἰθιοπικούς, 2
οὓς ἐπὶ τῷ συμβεβηκότι ὀνομάζουσι ῥινόκερως, ὅτι σφί-

σιν ἐπ' ἄκρᾳ τῇ ῥινὶ ἓν ἑκάστῳ κέρας καὶ ἄλλο ὑπὲρ αὐτὸ οὐ μέγα, ἐπὶ δὲ τῆς κεφαλῆς οὐδὲ ἀρχὴν κέρατά ἐστι, καὶ τοὺς ἐκ Παιόνων· οὗτοι δὲ οἱ ἐκ Παιόνων ἔς τε τὸ ἄλλο σῶμα δασεῖς καὶ ἀμφὶ τὸ στέρνον μάλιστά εἰσι καὶ τὴν γένυν· καμήλους τε Ἰνδικὰς χρῶμα εἰκα-
3 σμένας παρδάλεσιν. 3. Ἔστι δὲ ἄλκη καλούμενον θη- 751
ρίον, εἶδος μὲν ἐλάφου καὶ καμήλου μεταξύ, γίνεται δὲ ἐν τῇ Κελτῶν γῇ. θηρίων δὲ ὧν ἴσμεν μόνην ἀνιχνεῦσαι καὶ προϊδεῖν οὐκ ἔστιν ἀνθρώπῳ· σταλεῖσι δὲ ἐς ἄγραν ἄλλων καὶ τήνδε ἐς χεῖρά ποτε δαίμων ἄγει· ὀσφρᾶται μέν γε ἀνθρώπου [καὶ] πολὺ ἔτι ἀπέχουσα, ὥς φασι, καταδύεται δὲ ἐς φάραγγας καὶ σπήλαια τὰ βαθύτατα. οἱ θηρεύοντες οὖν, ὁπότε ἐπὶ βραχύτατον, σταδίων τὴν πεδιάδα χιλίων ἢ καὶ ὄρος περιλαβόντες τὸν κύκλον μὲν οὐκ ἔστιν ὅπως διαλύσουσιν, ἐπισυνιόντες δὲ ἀεὶ τὰ ἐντὸς γινόμενα τοῦ κύκλου πάντα αἱροῦσι τά τε ἄλλα καὶ τὰς ἄλκας. εἰ δὲ μὴ τύχοι ταύτῃ φωλεύουσα, ἑτέρα γε ἄλκην ἑλεῖν ἐστὶν οὐδεμία μηχανή.
4 4. Θηρίον δὲ ἐν τῷ Κτησίου λόγῳ τῷ ἐς Ἰνδούς, μαρτιχόρα ὑπὸ τῶν Ἰνδῶν, ὑπὸ δὲ Ἑλλήνων φησὶν ἀνδροφάγον λελέχθαι, εἶναι πείθομαι τὸν τίγριν· ὀδόντας δὲ αὐτὸ τριστοίχους καθ' ἑκατέραν τὴν γένυν καὶ κέντρα ἐπὶ ἄκρας ἔχειν τῆς οὐρᾶς, τούτοις δὲ τοῖς κέντροις ἐγγύθεν ἀμύνεσθαι καὶ ἀποπέμπειν ἐς τοὺς πορρωτέρω τοξότου ἀνδρὸς οἰστῷ ἴσον, ταύτην οὐκ ἀληθῆ τὴν φήμην οἱ Ἰνδοὶ δέξασθαι δοκοῦσί μοι παρ' ἀλλήλων ὑπὸ
5 τοῦ ἄγαν ἐς τὸ θηρίον δείματος. Ἠπατήθησαν δὲ καὶ ἐς τὴν χρόαν αὐτοῦ, καὶ ὁπότε κατὰ τοῦ ἡλίου φανείη σφίσιν ὁ τίγρις τὴν αὐγήν, ἐρυθρός τ' ἐδόκει καὶ ὁμόχρους, ἢ ὑπὸ τῆς ὠκύτητος, ἢ εἰ μὴ θέοι, διὰ τὸ ἐν ταῖς ἐπιστροφαῖς συνεχές, ἄλλως τε καὶ οὐκ ἐγγύθεν γινομένης τῆς θέας. Δοκῶ δέ, εἰ καὶ Λιβύης τις ἢ τῆς Ἰν- 752

δῶν ἢ Ἀράβων γῆς ἐπέρχοιτο τὰ ἔσχατα, ἐθέλων θηρία
ὁπόσα παρ' Ἕλλησιν ἐξευρεῖν, τὰ μὲν οὐδὲ ἀρχὴν αὐτὸν
εὑρήσειν, τὰ δὲ οὐ κατὰ ταὐτὰ ἔχειν φανεῖσθαί οἱ. Οὐ 6
γὰρ δὴ ἄνθρωπος μόνον ὁμοῦ τῷ ἀέρι καὶ τῇ γῇ δια-
φόροις οὖσι διάφορον κτᾶται καὶ τὸ εἶδος, ἀλλὰ καὶ τὰ
λοιπὰ τὸ αὐτὸ ἂν πάσχοι τοῦτο, ἐπεὶ καὶ τὰ θηρία αἱ
ἀσπίδες τοῦτο μὲν ἔχουσιν αἱ Λίβυσσαι παρὰ τὰς Αἰγυ-
πτίας τὴν χρόαν, τοῦτο δὲ ἐν Αἰθιοπίᾳ μελαίνας τὰς
ἀσπίδας οὐ μεῖον ἢ καὶ τοὺς ἀνθρώπους ἡ γῆ τρέφει.
οὕτω χρὴ πάντα τινὰ μήτε ἐπίδρομον τὴν γνώμην, μήτε
ἀπίστως ἔχειν ἐς τὰ σπανιώτερα, ἐπεί τοι καὶ ἐγὼ πτε-
ρωτοὺς ὄφεις οὐ θεασάμενος πείθομαι, διότι ἀνὴρ Φρὺξ
ἤγαγεν ἐς Ἰωνίαν σκορπίον ταῖς ἀκρίσιν ὁμοιότατα πτερὰ
ἔχοντα.

XXII. Ἐν Ταναγρᾳ δὲ παρὰ τὸ ἱερὸν τοῦ Διονύσου
Θέμιδός ἐστιν, ὁ δὲ Ἀφροδίτης, καὶ ὁ τρίτος τῶν ναῶν
Ἀπόλλωνος, ὁμοῦ δὲ αὐτῷ [καὶ] Ἄρτεμίς τε καὶ Λητώ.
2. Ἐς δὲ τοῦ Ἑρμοῦ τὰ ἱερὰ τοῦ τε Κριοφόρου καὶ ὃν
Πρόμαχον καλοῦσι, τοῦ μὲν ἐς τὴν ἐπίκλησιν λέγουσιν
ὡς ὁ Ἑρμῆς σφίσιν ἀποτρέψαι νόσον λοιμώδη περὶ τὸ
τεῖχος κριὸν περιενεγκών, καὶ ἐπὶ τούτῳ Κάλαμις ἐποίη-
σεν ἄγαλμα Ἑρμοῦ φέροντα κριὸν ἐπὶ τῶν ὤμων. ὃς δ'
ἂν εἶναι τῶν ἐφήβων προκριθῇ τὸ εἶδος κάλλιστος, οὗ-
τος ἐν τοῦ Ἑρμοῦ τῇ ἑορτῇ περίεισιν ἐν κύκλῳ τοῦ τεί-
χους ἔχων ἄρνα ἐπὶ τῶν ὤμων. Τὸν δὲ Ἑρμῆν λέγουσι 2
τὸν Πρόμαχον Ἐρετριέων ναυσὶν ἐξ Εὐβοίας ἐς τὴν Τα-
ναγραίαν σχόντων τούς τε ἐφήβους ἐξαγαγεῖν ἐπὶ τὴν
μάχην, καὶ αὐτὸν ἅτε ἔφηβον στλεγγίδι ἀμυνόμενον
μάλιστα ἐργάσασθαι τῶν Εὐβοέων τροπήν. Κεῖται δὲ
ἐν τοῦ Προμάχου τῷ ἱερῷ τῆς [τε] ἀνδράχνου τὸ ὑπό-
λοιπον· τραφῆναι δὲ ὑπὸ τῷ δένδρῳ τὸν Ἑρμῆν τούτῳ
νομίζουσιν. Οὐ πόρρω δὲ θέατρόν τε καὶ πρὸς αὐτῷ

στοὰ πεποίηται. Εὖ δέ μοι Ταναγραῖοι νομίσαι τὰ ἐς 753
τοὺς θεοὺς μάλιστα δοκοῦσιν Ἑλλήνων· χωρὶς μὲν γὰρ
αἱ οἰκίαι σφίσι, χωρὶς δὲ τὰ ἱερὰ ὑπὲρ αὐτὰς ἐν καθαρῷ
3 *τέ ἐστι καὶ ἐκτὸς ἀνθρώπων.* 3. *Κορίννης δέ, ἣ μόνη*
δὴ ἐν Τανάγρᾳ ᾄσματα ἐποίησε, ταύτης ἔστι μὲν μνῆμα
ἐν περιφανεῖ τῆς πόλεως, ἔστι δὲ ἐν τῷ γυμνασίῳ γρα-
φή, ταινίᾳ τὴν κεφαλὴν ἡ Κόριννα ἀναδουμένη τῆς νί-
κης ἕνεκα ἣν Πίνδαρον ᾄσματι ἐνίκησεν ἐν Θήβαις.
φαίνεται δέ μοι νικῆσαι τῆς διαλέκτου τε ἕνεκα, ὅτι
ᾖδεν οὐ τῇ φωνῇ τῇ Δωρίδι ὥσπερ ὁ Πίνδαρος, ἀλλὰ
ὁποίᾳ συνήσειν ἔμελλον Αἰολεῖς, καὶ ὅτι ἦν γυναικῶν
τότε δὴ καλλίστη τὸ εἶδος, εἴ τι τῇ εἰκόνι δεῖ τεκμαίρε-
4 *σθαι.* 4. *Ἔστι δὲ καὶ γένη δύο ἐνταῦθα ἀλεκτρυόνων,*
οἵ τε μάχιμοι καὶ οἱ κόσσυφοι καλούμενοι. τούτων τῶν
κοσσύφων μέγεθος μὲν κατὰ τοὺς Λυδούς ἐστιν ὄρνι-
θας, χρόα δὲ ἐμφερὴς κόρακι, κάλλαια δὲ καὶ ὁ λόφος
κατὰ ἀνεμώνην μάλιστα· λευκὰ δὲ σημεῖα οὐ μεγάλα
ἐπί τε ἄκρῳ τῷ ῥάμφει καὶ ἐπὶ ἄκρας ἔχουσι τῆς οὐρᾶς.
οὗτοι μὲν τοιοῦτο παρέχονται τὸ εἶδος.
5 5. *Τῆς δὲ Βοιωτίας τὰ ἐν ἀριστερᾷ τοῦ Εὐρίπου*
Μεσσάπιον ὄρος καλούμενον καὶ ὑπ' αὐτῷ Βοιωτῶν ἐπὶ
θαλάσσης πόλις ἐστὶν Ἀνθηδών· γενέσθαι δὲ τῇ πόλει τὸ
ὄνομα οἱ μὲν ἀπὸ Ἀνθηδόνος νύμφης, οἱ δὲ Ἄνθαν δυ-
ναστεῦσαι λέγουσιν ἐνταῦθα, Ποσειδῶνός τε παῖδα καὶ
Ἀλκυόνης τῆς Ἄτλαντος. Ἀνθηδονίοις δὲ μάλιστά που
κατὰ μέσον τῆς πόλεως Καβείρων ἱερὸν καὶ ἄλσος περὶ
αὐτό ἐστι, πλησίον δὲ Δήμητρος καὶ τῆς παιδὸς ναός,
6 *καὶ ἀγάλματα λίθου λευκοῦ. Διονύσου τε ἱερὸν πε-* 754
ποίηται καὶ ἄγαλμα πρὸ τῆς πόλεως κατὰ τὸ ἐς τὴν ἤπει-
ρον. Ἐνταῦθα εἰσὶ μὲν τάφοι τῶν Ἰφιμεδείας καὶ
Ἀλωέως παίδων· γενέσθαι δέ σφισι τοῦ βίου τὴν τελευ-
τὴν ὑπὸ Ἀπόλλωνος κατὰ τὰ αὐτὰ Ὅμηρος πεποιήκασι

καὶ Πίνδαρος, ** ὡς ἐπιλάβοι τὸ χρεὼν αὐτοὺς ἐν Νάξῳ
τῇ ὑπὲρ Πάρου κειμένῃ. 6. Τούτων τε δή ἐστι τῇ Ἀν-
θηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύ-
κου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας 7
ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ
ἐσόμενα ἐς τόδε προλέγειν οἵ τε ἄλλοι πιστὰ ἥγηνται,
καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν
Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδά-
ρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων,
τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰ-
σχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε.

XXIII. Θηβαίοις δὲ πρὸ τῶν πυλῶν ἐστι τῶν Προι-
τίδων καὶ τὸ Ἰολάου καλούμενον γυμνάσιον, καὶ στά-
διον κατὰ ταὐτὰ τῷ τε ἐν Ὀλυμπίᾳ καὶ τῷ Ἐπιδαυρίων
γῆς χῶμα· ἐνταῦθα δείκνυται καὶ ἡρῷον Ἰολάου. τε-
λευτῆσαι δὲ ἐν Σαρδοῖ τόν τε Ἰόλαον αὐτὸν καὶ Ἀθη-
ναίων καὶ Θεσπιέων τοὺς συνδιαβάντας ὁμολογοῦσι καὶ
οἱ Θηβαῖοι. 2. Ὑπερβάντι δὲ τοῦ σταδίου τὰ ἐν δεξιᾷ 2
δρόμος ἵππων καὶ ἐν αὐτῷ Πινδάρου μνῆμά ἐστι. Πίν-
δαρον δὲ ἡλικίαν ὄντα νεανίσκον καὶ ἰόντα ἐς Θεσπιὰς
ὥρᾳ καύματος περὶ μεσοῦσαν μάλιστα ἡμέραν κόπος καὶ
ὕπνος ἀπ' αὐτοῦ κατελάμβανεν. Ὁ μὲν δὴ ὡς εἶχε κα-
τακλίνεται βραχὺ ὑπὲρ τῆς ὁδοῦ· μέλισσαι δὲ αὐτῷ
καθεύδοντι προσεπέτοντό τε καὶ ἔπλασσον πρὸς τὰ χείλη
τοῦ κηροῦ. ἀρχὴ μὲν Πινδάρῳ ποιεῖν ᾄσματα ἐγένετο 3
755 τοιαύτη· εὐδοκιμοῦντα δὲ αὐτὸν ἤδη ἀνὰ πᾶσαν τὴν
Ἑλλάδα ἐς πλέον δόξης ἦρεν ἡ Πυθία ἀνειποῦσα Δελ-
φοῖς, ὁπόσων ἀπήρχοντο τῷ Ἀπόλλωνι, μοῖραν καὶ Πιν-
δάρῳ τὴν ἴσην ἁπάντων νέμειν. Λέγεται δὲ καὶ ὀνεί-
ρατος ὄψιν αὐτῷ γενέσθαι προήκοντι ἐς γῆρας· ἐπιστᾶσα
ἡ Περσεφόνη οἱ καθεύδοντι οὐκ ἔφασκεν ὑμνηθῆναι
μόνη θεῶν ὑπὸ Πινδάρου, ποιήσειν μέντοι καὶ ἐς αὐ-

4 τὴν ᾆσμα Πίνδαρον ἐλθόντα ὡς αὐτήν. Τὸν μὲν αὐτίκα τὸ χρεὼν ἐπιλαμβάνει, πρὶν ἐξήκειν ἡμέραν δεκάτην ἀπὸ τοῦ ὀνείρατος· ἦν δὲ ἐν Θήβαις γυνὴ πρεσβῦτις γένους ἕνεκα προσήκουσα Πινδάρῳ καὶ τὰ πολλὰ μεμελετηκυῖα ᾄδειν τῶν ᾀσμάτων· ταύτῃ Πίνδαρος ἐνύπνιον τῇ πρεσβύτιδι ἐπιστὰς ὕμνον ᾖσεν ἐς Περσεφόνην· ἡ δὲ αὐτίκα, ὡς ἀπέλιπεν αὐτὴν ὁ ὕπνος, ἔγραψε ταῦτα, ὁπόσα τοῦ ὀνείρατος ἤκουσεν ᾄδοντος. ἐν τούτῳ τῷ ᾄσματι ἄλλαι τε ἐς τὸν Ἅιδην εἰσὶν ἐπικλήσεις καὶ ὁ χρυσήνιος, δῆλα ὡς ἐπὶ τῆς Κόρης τῇ ἁρπαγῇ.

5 3. Ἐντεῦθεν ἐς Ἀκραίφνιόν ἐστιν ὁδὸς τὰ πλείω πεδιάς. εἶναι δὲ ἐξ ἀρχῆς τε μοῖραν τῆς Θηβαΐδος τὴν πόλιν φασί, καὶ ὕστερον διαπεσόντας Θηβαίων ἐς αὐτὴν ἄνδρας εὕρισκον, ἡνίκα Ἀλέξανδρος ἐποίει τὰς Θήβας ἀναστάτους· ὑπὸ δὲ ἀσθενείας καὶ γήρως οὐδὲ ἐς τὴν Ἀττικὴν ἀποσωθῆναι δυνηθέντες ἐνταῦθα ᾤκησαν. Κεῖται μὲν τὸ πόλισμα ἐν ὄρει τῷ Πτώῳ, θέας δὲ ἄξια ἐνταῦθα Διονύσου ναός ἐστι καὶ ἄγαλμα.

6 Προελθόντι δὲ ἀπὸ τῆς πόλεως ἐν δεξιᾷ πέντε που καὶ δέκα σταδίους τοῦ Ἀπόλλωνός ἐστι τοῦ Πτώου τὸ ἱερόν. εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῶον, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι ἐπίκλησις καὶ τῷ ὄρει τὸ ὄνομα ἐγένετο, Ἄσιος ἐν τοῖς ἔπεσιν εἴρηκε. Πρὸ δὲ τῆς Ἀλεξάνδρου καὶ Μακεδόνων ἐπιστρατείας καὶ ὀλέθρου τοῦ Θηβαίων μαντεῖον ἦν αὐτόθι ἀψευδές· καί ποτε ἄνδρα Εὐρωπέα, ὄνομα δέ οἱ εἶναι Μῦν, τοῦτον ἀποσταλέντα ὑπὸ Μαρδονίου τὸν Μῦν ἐπερέσθαι τε φωνῇ τῇ σφετέρᾳ, καί οἱ χρῆσαι τὸν θεὸν οὐχ ἑλληνί- 756
σαντα οὐδὲ αὐτὸν διαλέκτῳ τῇ Καρικῇ.

7 4. Ὑπερβαλόντων δὲ τὸ ὄρος τὸ Πτῶον ἔστιν ἐπὶ θαλάσσης Βοιωτῶν πόλις Λάρυμνα· γενέσθαι δὲ αὐτῇ τὸ ὄνομά φασιν ἀπὸ Λαρύμνης τῆς Κύνου· τοὺς δὲ ἀνω-

τέρω προγόνους δηλώσει μοι τὰ ἔχοντα ἐς Λοκροὺς τοῦ λόγου. Καὶ συνετέλει δὲ ἐς Ὀποῦντα ἡ Λάρυμνα τὸ ἀρχαῖον· Θηβαίων δὲ ἐπὶ μέγα ἰσχύος προελθόντων, τηνικαῦτα ἑκουσίως μετετάξαντο ἐς Βοιωτούς. Διονύσου δὲ ἐνταῦθα ναὸς καὶ ἄγαλμα ὀρθὸν πεποίηται. Λιμὴν δέ σφισίν ἐστιν ἀγχιβαθής, καὶ τὰ ὄρη τὰ ὑπὲρ τὴν πόλιν ὑῶν παρέχεται θήραν ἀγρίων.

XXIV. Ἐξ Ἀκραιφνίου δὲ ἰόντι εὐθεῖαν ἐπὶ λίμνην τὴν Κηφισίδα, οἱ δὲ Κωπαΐδα ὀνομάζουσι τὴν αὐτήν, πεδίον καλούμενόν ἐστιν Ἀθαμάντιον· οἰκῆσαι δὲ Ἀθάμαντα ἐν αὐτῷ φασίν. Ἐς δὲ τὴν λίμνην ὅ τε ποταμὸς ὁ Κηφισὸς ἐκδίδωσιν, ἀρχόμενος ἐκ Λιλαίας τῆς Φωκέων, καὶ διαπλεύσαντί εἰσι Κῶπαι. κεῖνται δὲ αἱ Κῶπαι πόλισμα ἐπὶ τῇ λίμνῃ· 2. τούτου δὲ καὶ Ὅμηρος ἐποιήσατο ἐν καταλόγῳ μνήμην· ἐνταῦθα Δήμητρος καὶ Διονύσου καὶ Σαράπιδός ἐστιν ἱερά. Λέγουσι δὲ οἱ Βοιω- 2
τοὶ καὶ πολίσματα ἄλλα πρὸς τῇ λίμνῃ ποτέ, Ἀθήνας καὶ Ἐλευσῖνα, οἰκεῖσθαι, καὶ ὡς ὥρᾳ χειμῶνος ἐπικλύσασα ἠφάνισεν αὐτὰ ἡ λίμνη. Οἱ μὲν δὴ ἰχθῦς οἱ ἐν τῇ Κηφισίδι οὐδέν τι διάφορον ἐς ἄλλους ἰχθῦς τοὺς λιμναίους ἔχουσιν· αἱ δὲ ἐγχέλεις αὐτόθι καὶ μεγέθει μέγισται καὶ ἐσθίειν εἰσὶν ἥδισται.

3. Κωπῶν δὲ ἐν ἀριστερᾷ σταδίους προελθόντι ὡς 3
δώδεκα εἰσὶν Ὄλμωνες, Ὀλμωνέων δὲ ἑπτά που στάδια Ὕηττος ἀφέστηκε, κῶμαι νῦν τε οὖσαι καὶ εὐθὺς ἐξ ἀρχῆς· μοίρας δέ, ἐμοὶ δοκεῖν, τῆς Ὀρχομενίας εἰσὶ καὶ αὗται καὶ πεδίον τὸ Ἀθαμάντιον. Καὶ ὅσα μὲν ἐς Ὕηττον ἄνδρα Ἀργεῖον καὶ Ὄλμον τὸν Σισύφου λεγόμενα ἤκουον, προσέσται καὶ αὐτὰ τῇ Ὀρχομενίᾳ συγγραφῇ·
757 θέας δὲ ἄξιον ἐν μὲν Ὄλμωσιν οὐδ' ἐπὶ βραχύτατον παρεῖχον οὐδέν, ἐν Ὑήττῳ δὲ ναός ἐστιν Ἡρακλέους, καὶ ἰάματα εὕρασθαι παρὰ τούτου τοῖς κάμνουσιν ἔστιν,

ὄντος οὐχὶ ἀγάλματος σὺν τέχνῃ, λίθου δὲ ἀργοῦ κατὰ τὸ ἀρχαῖον.

4 4. Ὑήττου δὲ στάδια ὡς εἴκοσιν ἀπέχουσι Κύρτωνες· τὸ δὲ ἀρχαῖον ὄνομα τῷ πολίσματί φασιν εἶναι Κυρτώνην. ᾤκισται δὲ ἐπὶ ὄρους ὑψηλοῦ, καὶ Ἀπόλλωνός ἐστιν ἐνταῦθα ναός τε καὶ ἄλσος· ἀγάλματα δὲ ὀρθὰ Ἀπόλλωνος καὶ Ἀρτέμιδός ἐστιν. Ἔστι δὲ αὐτόθι καὶ ὕδωρ ψυχρὸν ἐκ πέτρας ἀνερχόμενον· νυμφῶν δὲ ἱερὸν ἐπὶ τῇ πηγῇ καὶ ἄλσος οὐ μέγα ἐστίν· ἥμερα δὲ ὁμοίως πάντα ἐν τῷ ἄλσει δένδρα.

5 5. Ἐκ δὲ Κυρτώνων ὑπερβάλλοντι τὸ ὄρος πόλισμά ἐστι Κορσεία, ὑπὸ δὲ αὐτῷ δένδρων ἄλσος οὐχ ἡμέρων· πρῖνοι τὸ πολύ εἰσιν. Ἑρμοῦ δὲ ἄγαλμα οὐ μέγα ἐν ὑπαίθρῳ τοῦ ἄλσους ἕστηκε. τοῦτο ἀπέχει Κορσείας ὅσον τε ἥμισυ σταδίου. Καταβάντων δὲ ἐς τὸ χθαμαλὸν ποταμὸς Πλατάνιος καλούμενος ἐκδίδωσιν ἐς θάλασσαν· ἐν δεξιᾷ δὲ τοῦ ποταμοῦ Βοιωτῶν ἔσχατοι ταύτῃ πόλισμα οἰκοῦσιν Ἁλὰς ἐπὶ θαλάσσῃ, ἣ τὴν Λοκρίδα ἤπειρον ἀπὸ τῆς Εὐβοίας διείργει.

XXV. Θηβαίοις δὲ τῶν πυλῶν ἐστὶν ἐγγύτατα τῶν Νηΐστῶν Μενοικέως μνῆμα τοῦ Κρέοντος· ἀπέκτεινε δὲ ἑκουσίως αὑτὸν κατὰ τὸ μάντευμα τὸ ἐκ Δελφῶν, ἡνίκα Πολυνείκης καὶ ὁ σὺν αὐτῷ στρατὸς ἀφίκοντο ἐξ Ἄργους. Τοῦ δὲ Μενοικέως ἐπιπέφυκε ῥοιὰ τῷ μνήματι· τοῦ καρποῦ δὲ ὄντος ὡραίου διαρρήξαντί σοι τὸ ἐκτὸς λοιπόν ἐστιν εὑρεῖν τὸ ἔνδον αἵματι ἐμφερές. αὕτη μὲν δὴ τεθηλὸς δένδρον ἐστὶν ἡ ῥοιά· ἄμπελον δὲ φῦναι μὲν οἱ Θηβαῖοι παρὰ σφίσι πρώτοις φασὶν ἀνθρώπων, ἀποφῆναι δὲ οὐδὲν ἔτι ἐς αὐτὴν ὑπόμνημα εἶχον.

2 2. Τοῦ δὲ Μενοικέως οὐ πόρρω τάφου τοὺς παῖδας λέγουσιν Οἰδίποδος μονομαχήσαντας ἀποθανεῖν ὑπὸ ἀλλήλων· σημεῖον δὲ τῆς μάχης αὐτῶν κίων, καὶ ἀσπὶς 758

ἔπεστιν ἐπ' αὐτῷ λίθου. Δείκνυται δέ τι χωρίον· ἐνταῦθα Ἥραν Θηβαῖοί φασιν Ἡρακλεῖ παιδὶ ἔτι ἐπισχεῖν γάλα κατὰ δή τινα ἀπάτην ἐκ Διός. καλεῖται δὲ ὁ σύμπας οὗτος (τόπος) Σῦρμα Ἀντιγόνης· ὡς γὰρ τὸν τοῦ Πολυνείκους ἄρασθαί οἱ προθυμουμένῃ νεκρὸν οὐδεμία ἐφαίνετο ῥᾳστώνη, δεύτερα ἐπενόησεν ἕλκειν αὐτόν, ἐς ὃ εἵλκυσέ τε καὶ ἐπέβαλεν ἐπὶ τοῦ Ἐτεοκλέους ἐξημμένην τὴν πυράν.

3. Διαβάντων δὲ ποταμὸν καλούμενον ἀπὸ γυναικὸς 3
τῆς Λύκου Δίρκην, ὑπὸ ταύτης δὲ ἔχει λόγος Ἀντιόπην κακοῦσθαι, καὶ δι' αὐτὸ ὑπὸ τῶν Ἀντιόπης παίδων συμβῆναι τῇ Δίρκῃ τὴν τελευτήν, διαβᾶσιν οὖν τὴν Δίρκην οἰκίας τε ἐρείπια τῆς Πινδάρου καὶ μητρὸς Δινδυμήνης ἱερόν, Πινδάρου μὲν ἀνάθημα, τέχνη δὲ τὸ ἄγαλμα Ἀριστομήδους τε καὶ Σωκράτους Θηβαίων. μιᾷ δὲ ἐφ' ἑκάστων ἐτῶν ἡμέρᾳ, καὶ οὐ πέρα, τὸ ἱερὸν ἀνοίγειν νομίζουσιν. ἐμοὶ δὲ ἀφικέσθαι τε ἐξεγεγόνει τὴν ἡμέραν ταύτην, καὶ τὸ ἄγαλμα εἶδον λίθου τοῦ Πεντέλησι καὶ αὐτὸ καὶ τὸν θρόνον.

4. Κατὰ δὲ τὴν ὁδὸν ἀπὸ τῶν πυλῶν τῶν Νηΐστῶν 4
τὸ μὲν Θέμιδός ἐστιν ἱερὸν καὶ ἄγαλμα λευκοῦ λίθου, τὸ δὲ ἐφεξῆς Μοιρῶν, τὸ δὲ Ἀγοραίου Διός· οὗτος μὲν δὴ λίθου πεποίηται, ταῖς Μοίραις δὲ οὐκ ἔστιν ἀγάλματα. καὶ ἀπωτέρω μικρὸν Ἡρακλῆς ἕστηκεν ἐν ὑπαίθρῳ Ῥινοκολούστης ἐπωνυμίαν ἔχων, ὅτι τῶν κηρύκων, ὡς οἱ Θηβαῖοι λέγουσιν, ἀπέτεμεν ἐπὶ λώβῃ τὰς ῥῖνας, οἳ παρὰ Ὀρχομενίων ἀφίκοντο ἐπὶ τοῦ δασμοῦ τὴν ἀπαίτησιν.

5. Σταδίους δὲ αὐτόθεν πέντε προελθόντι καὶ εἴ- 5
κοσι Δήμητρος Καβειρίας καὶ Κόρης ἐστὶν ἄλσος· ἐσελθεῖν δὲ τοῖς τελεσθεῖσιν ἔστι. Τούτου δὲ τοῦ ἄλσους ἑπτά που σταδίους τῶν Καβείρων τὸ ἱερὸν ἀφέστηκεν.

Οἵτινες δέ εἰσιν οἱ Κάβειροι καὶ ὁποῖά ἐστιν αὐτοῖς καὶ
τῇ μητρὶ τὰ δρώμενα, σιωπὴν ἄγοντι ὑπὲρ αὐτῶν συγ-
6 γνώμη παρὰ ἀνδρῶν φιληκόων ἔστω μοι. 6. Τοσοῦτο
δὲ δηλῶσαί με καὶ ἐς ἅπαντας ἐκώλυσεν οὐδέν, ἥντινα
λέγουσιν ἀρχὴν οἱ Θηβαῖοι γενέσθαι τοῖς δρωμένοις.
Πόλιν γάρ ποτε ἐν τούτῳ φασὶν εἶναι τῷ χωρίῳ καὶ ἄν- 759
δρας ὀνομαζομένους Καβείρους, Προμηθεῖ δὲ ἑνὶ τῶν
Καβείρων καὶ Αἰτναίῳ τῷ Προμηθέως ἀφικομένην Δή-
μητρα ἐς γνῶσιν παρακαταθέσθαι σφίσιν. ἥτις μὲν δὴ
ἦν ἡ παρακαταθήκη, καὶ τὰ ἐς αὐτὴν γινόμενα, οὐκ
ἐφαίνετο ὅσιόν μοι γράφειν· Δήμητρος δ' οὖν Καβεί-
7 ροις δῶρόν ἐστιν ἡ τελετή. Κατὰ δὲ τὴν Ἐπιγόνων
στρατείαν καὶ ἅλωσιν τῶν Θηβῶν ἀνέστησαν μὲν ὑπὸ
τῶν Ἀργείων οἱ Κάβειροι, ἐξελείφθη δὲ ἐπὶ χρόνον τινὰ
καὶ ἡ τελετή. Πελαργὴν δὲ ὕστερον τὴν Ποτνέως καὶ
Ἰσθμιάδην Πελαργῇ συνοικοῦντα καταστήσασθαι μὲν τὰ
ὄργια αὐτοῦ λέγουσιν ἐξ ἀρχῆς, μετενεγκεῖν δὲ αὐτὰ
8 ἐπὶ τὸν Ἀλεξιάρουν καλούμενον. ὅτι δὲ τῶν ὅρων ἐκτὸς
ἐμύησεν ἡ Πελαργὴ τῶν ἀρχαίων, Τηλώνδης καὶ ὅσοι
γένους τῶν Καβείρων ἐλείποντο κατῆλθον αὖθις ἐς τὴν
Καβειραίαν. Πελαργῇ μὲν δὴ κατὰ μάντευμα ἐκ Δω-
δώνης καὶ ἄλλα ἔμελλεν ἐς τιμὴν καταστήσεσθαι, καὶ ἡ
θυσία φέρον ἐν τῇ γαστρὶ ἱερεῖον. 7. Τὸ δὲ μήνιμα τὸ
ἐκ τῶν Καβείρων ἀπαραίτητόν ἐστιν ἀνθρώποις, ὡς
9 ἐπέδειξε δὴ πολλαχῇ. τὰ γὰρ δὴ δρώμενα ἐν Θήβαις
ἐτόλμησαν ἐν Ναυπάκτῳ κατὰ ταὐτὰ ἰδιῶται δρᾶσαι, καὶ
σφᾶς οὐ μετὰ πολὺ ἐπέλαβεν ἡ δίκη. ὅσοι δὲ ὁμοῦ Μαρ-
δονίῳ τῆς στρατιᾶς τῆς Ξέρξου περὶ Βοιωτίαν ἐλείφθη-
σαν, τοῖς παρελθοῦσιν αὐτῶν ἐς τὸ ἱερὸν τῶν Καβείρων
τάχα μέν που καὶ χρημάτων μεγάλων ἐλπίδι, τὸ πλέον
δέ, ἐμοὶ δοκεῖν, τῇ ἐς τὸ θεῖον ὀλιγωρίᾳ, τούτοις πα-
ραφρονῆσαί τε συνέπεσεν αὐτίκα καὶ ἀπώλοντο ἐς θά-

λασσάν τε καὶ ἀπὸ τῶν κρημνῶν ἑαυτοὺς ῥίπτοντες. Ἀλεξάνδρου δέ, ὡς ἐνίκησε τῇ μάχῃ, Θήβας τε αὐτὰς καὶ σύμπασαν τὴν Θηβαΐδα διδόντος πυρί, ἄνδρες τῶν
760 ἐκ Μακεδονίας ἐλθόντες ἐς τῶν Καβείρων τὸ ἱερὸν ἅτε
ἐν γῇ τῇ πολεμίᾳ κεραυνοῖς τε ἐξ οὐρανοῦ καὶ ἀστραπαῖς ἐφθάρησαν. οὕτω μὲν τὸ ἱερὸν τοῦτό ἐστιν ἐξ ἀρχῆς ἅγιον.

XXVI. Τοῦ Καβειρίου δὲ ἐν δεξιᾷ πεδίον ἐστὶν ἐπώνυμον Τηνέρου μάντεως, ὃν Ἀπόλλωνος παῖδα εἶναι καὶ Μελίας νομίζουσι, καὶ Ἡρακλέους ἱερὸν μέγα ἐπίκλησιν Ἱπποδέτου· τούς τε γὰρ Ὀρχομενίους φασὶν ἐς τοῦτο ἀφῖχθαι στρατιᾷ, καὶ τὸν Ἡρακλέα νύκτωρ τοὺς ἵππους
λαβόντα συνδῆσαί σφισι τοὺς ὑπὸ τοῖς ἅρμασι. 2. Προ- 2
ελθόντων δὲ τὸ ὄρος ἐστὶν ὅθεν τὴν Σφίγγα λέγουσιν ὁρμᾶσθαι ἐπ' ὀλέθρῳ τῶν ἁρπαζομένων αἴνιγμα ᾄδουσαν. Οἱ δὲ κατὰ λῃστείαν σὺν δυνάμει ναυτικῇ πλανωμένην φασὶν αὐτὴν ἐς τὴν πρὸς Ἀνθηδόνι σχεῖν θάλασσαν, καταλαβοῦσαν δὲ τὸ ὄρος τοῦτο ἁρπαγαῖς χρῆσθαι, πρὶν ἐξεῖλεν Οἰδίπους αὐτὴν ὑπερβαλόμενος πλή-
θει στρατιᾶς, ἣν ἀφίκετο ἔχων ἐκ Κορίνθου. Λέγεται 3
δὲ καὶ ὡς νόθη Λαΐου θυγάτηρ εἴη, καὶ ὡς τὸν χρησμὸν τὸν Κάδμῳ δοθέντα ἐκ Δελφῶν διδάξειεν αὐτὴν κατὰ εὔνοιαν ὁ Λάϊος· ἐπίστασθαι δὲ πλὴν τοὺς βασιλέας οὐδένα ἄλλον τὸ μάντευμα. ὁπότε οὖν τῇ Σφιγγὶ ἀμφισβητήσων τις ἀφίκοιτο τῆς ἀρχῆς, γενέσθαι γὰρ τῷ Λαΐῳ ἐκ παλλακῶν υἱούς, καὶ τὰ χρησθέντα ἐκ Δελφῶν ἐς Ἐπικάστην μόνην καὶ τοὺς ἐξ ἐκείνης ἔχειν παῖδας, τὴν οὖν Σφίγγα χρῆσθαι σοφίσμασιν ἐς τοὺς ἀδελφούς, ὡς τὸν Κάδμῳ γενόμενον χρησμὸν εἰδεῖεν ἂν Λαΐου γε
ὄντες· οὐκ ἔχοντας δὲ αὐτοὺς ἀποκρίνασθαι, θανάτῳ 4
ζημιοῦν, ἅτε οὐ προσηκόντως ἀμφισβητοῦντας γένους

τε καὶ ἀρχῆς. Οἰδίπους δὲ ἄρ᾽ ἀφίκετο ὑπὸ ὀνείρατος
δεδιδαγμένος τὸν χρησμόν.
3. Ἀπὸ δὲ τοῦ ὄρους τούτου πέντε ἀπέχει καὶ δέκα 761
σταδίους πόλεως ἐρείπια Ὀγχηστοῦ· φασὶ δὲ ἐνταῦθα
οἰκῆσαι Ποσειδῶνος παῖδα Ὀγχηστόν. ἐπ᾽ ἐμοῦ δὲ ναός
τε καὶ ἄγαλμα Ποσειδῶνος ἐλείπετο Ὀγχηστίου καὶ τὸ
6 ἄλσος, ὃ δὴ καὶ Ὅμηρος ἐπῄνεσε. 4. Τραπομένῳ δὲ
ἀπὸ τοῦ Καβειρίου τὴν ἐν ἀριστερᾷ καὶ προελθόντι ὡς
πεντήκοντα σταδίους Θέσπια ὑπὸ τὸ ὄρος τὸν Ἑλικῶνα
ᾤκισται. θυγατέρα δὲ εἶναι Θέσπιαν λέγουσιν Ἀσωποῦ,
καὶ ἀπὸ ταύτης κληθῆναι τὴν πόλιν. οἱ δὲ Θέσπιόν φα-
σιν ἐξ Ἀθηνῶν ἐλθόντα τὸ ὄνομα τῇ πόλει δοῦναι· γε-
7 γονέναι δὲ ἀπὸ Ἐρεχθέως αὐτόν. 5. Θεσπιεῦσι δὲ ἐν τῇ
πόλει Σαώτου Διός ἐστι χαλκοῦν ἄγαλμα· ἐπιλέγουσι
δὲ ὡς λυμαινομένου τὴν πόλιν ποτὲ αὐτοῖς δράκοντος
προστάξειεν ὁ θεὸς τὸν κλήρῳ τῶν ἐφήβων κατὰ ἔτος
ἕκαστον λαχόντα δίδοσθαι τῷ θηρίῳ. τῶν μὲν δὴ δια-
φθαρέντων μνημονεύειν τὰ ὀνόματα οὔ φασιν· ἐπὶ δὲ
Κλεοστράτῳ λαχόντι τὸν ἐραστὴν αὐτοῦ Μενέστρατον
8 λέγουσιν ἐπιτεχνήσασθαι. χαλκοῦν θώρακα ἐποιήσατο
ἔχοντα ἐπὶ ἑκάστῃ τῶν φολίδων ἄγκιστρον ἐς τὸ ἄνω
νεῦον· τοῦτον τὸν θώρακα ἐνδὺς παρέδωκε τῷ δρά-
κοντι ἑκουσίως αὑτόν, παραδοὺς δὲ ἀπολεῖσθαί τε καὶ
αὐτὸς ἀπολεῖν ἔμελλε τὸ θηρίον. Ἀντὶ τούτου μὲν τῷ
Διὶ γέγονεν ἐπίκλησις Σαώτης· τὸ δὲ ἄγαλμα τὸ Διο-
νύσου καὶ αὖθις Τύχης, ἑτέρωθι δὲ Ὑγιείας, * * τὴν δὲ
Ἀθηνᾶν τὴν Ἐργάνην καὶ αὐτὴν καὶ Πλοῦτόν οἱ παρ-
εστηκότα ἐποίησε * * *.

XXVII. Θεῶν δὲ οἱ Θεσπιεῖς τιμῶσιν Ἔρωτα μάλιστα
ἐξ ἀρχῆς, καί σφισιν ἄγαλμα παλαιότατόν ἐστιν ἀργὸς
λίθος. Ὅστις δὲ ὁ καταστησάμενος Θεσπιεῦσιν Ἔρωτα
θεῶν σέβεσθαι μάλιστα, οὐκ οἶδα. σέβονται δὲ οὐδέν τι

ἤσσον καὶ Ἑλλησποντίων Παριανοί, τὸ μὲν ἀνέκαθεν
ἐξ Ἰωνίας καὶ Ἐρυθρῶν ἀπῳκισμένοι, τὰ δὲ ἐφ' ἡμῶν
τελοῦντες ἐς Ῥωμαίους. 2. Ἔρωτα δὲ ἄνθρωποι μὲν οἱ 2
πολλοὶ νεώτατον θεῶν εἶναι καὶ Ἀφροδίτης παῖδα ἥγην-
762 ται. Λύκιος δὲ Ὠλήν, ὃς καὶ τοὺς ὕμνους τοὺς ἀρχαιο-
τάτους ἐποίησεν Ἕλλησιν, οὗτος ὁ Ὠλὴν ἐν Εἰλειθυίας
ὕμνῳ μητέρα Ἔρωτος τὴν Εἰλείθυιάν φησιν εἶναι. Ὠλῆ-
νος δὲ ὕστερον Πάμφως τε ἔπη καὶ Ὀρφεὺς ἐποίησαν·
καί σφισιν ἀμφοτέροις πεποιημένα ἐστὶν ἐς Ἔρωτα, ἵνα
ἐπὶ τοῖς δρωμένοις Λυκομίδαι καὶ ταῦτα ᾄδωσιν· ἐγὼ
δὲ ἐπελεξάμην *** ἀνδρὶ ἐς λόγους δᾳδουχοῦντι. καὶ
τῶν μὲν οὐ πρόσω ποιήσομαι μνήμην· Ἡσίοδον δὲ ἢ τὸν
Ἡσιόδῳ Θεογονίαν ἐσποιήσαντα οἶδα γράψαντα ὡς Χάος
πρῶτον, ἐπὶ δὲ αὐτῷ Γῆ τε καὶ Τάρταρος καὶ Ἔρως γέ-
νοιτο. Σαπφὼ δὲ ἡ Λεσβία πολλά τε καὶ οὐχ ὁμολο- 3
γοῦντα ἀλλήλοις ἐς Ἔρωτα ᾖσε. 3. Θεσπιεῦσι δὲ ὕστε-
ρον χαλκοῦν εἰργάσατο Ἔρωτα Λύσιππος, καὶ ἔτι πρό-
τερον τούτου Πραξιτέλης λίθου τοῦ Πεντέλησι. καὶ ὅσα
μὲν εἶχεν ἐς Φρύνην καὶ τὸ ἐπὶ Πραξιτέλει τῆς γυναικὸς
σόφισμα, ἑτέρωθι ἤδη μοι δεδήλωται· πρῶτον δὲ τὸ
ἄγαλμα κινῆσαι τοῦ Ἔρωτος λέγουσι Γάϊον δυναστεύ-
σαντα ἐν Ῥώμῃ, Κλαυδίου δὲ ὀπίσω Θεσπιεῦσιν ἀπο-
πέμψαντος Νέρωνα αὖθις δεύτερα ἀνάσπαστον ποιῆσαι.
Καὶ τὸν μὲν φλὸξ αὐτόθι διέφθειρε· τῶν δὲ ἀσεβη- 4
σάντων ἐς τὸν θεὸν ὁ μὲν ἀνθρώπῳ στρατιώτῃ διδοὺς
ἀεὶ τὸ αὐτὸ σύνθημα μετὰ ὑπούλου χλευασίας ἐς τοσοῦτο
προήγαγε θυμοῦ τὸν ἄνθρωπον ὥστε σύνθημα διδόντα
αὐτὸν διεργάζεται, Νέρωνι δὲ παρὲξ ἢ τὰ ἐς τὴν μητέρα
ἐστὶ καὶ ἐς γυναῖκας γαμετὰς ἐναγῆ τε καὶ ἀνέραστα
τολμήματα. Τὸν δὲ ἐφ' ἡμῶν Ἔρωτα ἐν Θεσπιαῖς ἐποίη-
σεν Ἀθηναῖος Μηνόδωρος, τὸ ἔργον τὸ Πραξιτέλους
μιμούμενος. 4. Ἐνταῦθα καὶ αὐτοῦ Πραξιτέλους Ἀφρο- 5

δίτη καὶ Φρύνης ἐστὶν εἰκών· λίθου καὶ ἡ Φρύνη καὶ 763
ἡ θεός. ἔστι δὲ καὶ ἑτέρωθι Ἀφροδίτης Μελαινίδος
ἱερόν, καὶ θέατρόν τε καὶ ἀγορὰ θέας ἄξια· ἐνταῦθα
Ἡσίοδος ἀνάκειται χαλκοῦς. Τῆς ἀγορᾶς οὐ πόρρω
Νίκη τε χαλκοῦ καὶ ναὸς Μουσῶν ἐστὶν οὐ μέγας· ἀγάλ-
ματα δὲ ἐν αὐτῷ μικρὰ λίθου πεποιημένα.
6 5. Καὶ Ἡρακλέους Θεσπιεῦσίν ἐστιν ἱερόν· ἱερᾶται
δὲ αὐτοῦ παρθένος, ἔστ' ἂν ἐπιλάβῃ τὸ χρεὼν αὐτήν.
αἴτιον δὲ τούτου φασὶν εἶναι τοιόνδε, Ἡρακλέα ταῖς θυ-
γατράσι πεντήκοντα οὔσαις ταῖς Θεστίου συγγενέσθαι
πάσαις πλὴν μιᾶς ἐν τῇ αὐτῇ νυκτί· ταύτην δὲ οὐκ ἐθε-
λῆσαί οἱ τὴν μίαν μιχθῆναι· * * * νομίζοντα δικάσαι
μένειν παρθένον πάντα αὐτὴν τὸν βίον ἱερωμένην αὐ-
7 τῷ. Ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον λόγον, ὡς διὰ πα-
σῶν ὁ Ἡρακλῆς τῶν Θεστίου παρθένων διεξέλθοι τῇ
αὐτῇ νυκτί, καὶ ὡς ἄρσενας παῖδας αὐτῷ πᾶσαι τέκοιεν,
διδύμους δὲ ἥ τε νεωτάτη καὶ ἡ πρεσβυτάτη· ἐκεῖνο δὲ
οὐκ ἔστιν ὅπως ἡγήσομαι πιστόν, Ἡρακλέα ἐπὶ τοσοῦτο
ὀργῆς ἀνδρὸς φίλου θυγατρὶ ἀφικέσθαι. πρὸς δὲ καὶ
ἡνίκα ἔτι ἦν μετ' ἀνθρώπων, τιμωρούμενός τε ἄλλους
ὑβρίζοντας καὶ μάλιστα ὅσοι θεῶν ἀσεβεῖς ἦσαν, οὐκ
ἂν αὐτός γε κατεστήσατο αὐτῷ ναόν τε καὶ ἱέρειαν ὥσ-
8 περ δὴ θεός. Ἀλλὰ γὰρ ἐφαίνετό μοι τὸ ἱερὸν τοῦτο
ἀρχαιότερον ἢ κατὰ Ἡρακλέα εἶναι τὸν Ἀμφιτρύωνος,
καὶ Ἡρακλέους τοῦ καλουμένου τῶν Ἰδαίων Δακτύλων,
οὗ δὴ καὶ Ἐρυθραίους τοὺς ἐς Ἰωνίαν καὶ Τυρίους ἱερὰ
ἔχοντας εὕρισκον. οὐ μὴν οὐδ' οἱ Βοιωτοὶ τοῦ Ἡρα-
κλέους ἠγνόουν τοῦτο τὸ ὄνομα, ὅπου γε αὐτοὶ τῆς Μυ-
καλησσίας Δήμητρος Ἡρακλεῖ τῷ Ἰδαίῳ τὸ ἱερὸν ἐπιτε-
τράφθαι λέγουσιν.

XXVIII. Ὁ δὲ Ἑλικὼν ὀρῶν τῶν ἐν τῇ Ἑλλάδι ἐν
τοῖς μάλιστά ἐστιν εὔγεως καὶ δένδρων ἡμέρων ἀνά-

764 πλεως· καὶ οἱ τῆς ἀνδράχνου θάμνοι παρέχονται τῶν πανταχοῦ καρπὸν αἰξὶν ἥδιστον. λέγουσι δὲ οἱ περὶ τὸν Ἑλικῶνα οἰκοῦντες καὶ ἁπάσας ἐν τῷ ὄρει τὰς πόας καὶ τὰς ῥίζας ἥκιστα ἐπὶ ἀνθρώπου θανάτῳ φύεσθαι. καὶ δὴ καὶ τοῖς ὄφεσι τὸν ἰὸν ποιοῦσιν ἐνταῦθα ἀσθενέστερον αἱ νομαί, ὥστε καὶ διαφεύγουσι τὰ πολλὰ οἱ δηχθέντες, ἢν ἀνδρὶ Λίβυϊ γένους τοῦ Ψύλλων ἢ καὶ ἄλλως προσφόροις ἐπιτύχωσι τοῖς φαρμάκοις. 2. Ἔστι μὲν δὴ 2
ὁ ἰὸς τοῖς ἀγριωτάτοις τῶν ὄφεων καὶ ἄλλως ὀλέθριος ἔς τε ἀνθρώπους καὶ ζῷα ὁμοίως τὰ πάντα, συντελοῦσι δὲ οὐχ ἥκιστα ἐς ἰσχύν σφισι τοῦ ἰοῦ καὶ αἱ νομαί, ἐπεί τοι καὶ ἀνδρὸς ἀκούσας οἶδα Φοίνικος ὡς ἐν τῇ ὀρεινῇ τῇ Φοινίκης ἀγριωτέρους τοὺς ἔχεις ποιοῦσιν αἱ ῥίζαι. Ἔφη δὲ ἄνθρωπον ἰδεῖν αὐτὸς ἀποφεύγοντα ὁρμὴν ἔχεως, καὶ τὸν μὲν ἐπί τι ἀναδραμεῖν δένδρον, τὸν δὲ ἔχιν, ὡς ἦλθεν ὕστερος, ἀποπνεῦσαι πρὸς τὸ δένδρον τοῦ ἰοῦ καὶ οὐ ζῆν ἔτι τὸν ἄνθρωπον. Τούτου μὲν τοιαῦτα ἤκουσα· ἐν δὲ τῇ χώρᾳ τῇ Ἀράβων ὅσοι τῶν ἔχεων 3
περὶ τὰ δένδρα τὰ πάλσαμα οἰκοῦσι, τοιάδε ἄλλα ἐς αὐτοὺς συμβαίνοντα οἶδα. μέγεθος μὲν κατὰ μυρσίνης θάμνον τὰ πάλσαμά ἐστι, φύλλα δὲ αὐτοῖς κατὰ τὴν πόαν τὸ σάμψουχον. ἔχεων δὲ τῶν ἐν τῇ Ἀραβίᾳ καθ' ὁπόσους καὶ πλείονες καὶ ἐλάσσονες ὑπὸ ἕκαστον αὐλίζονται δένδρον· τροφὴ γὰρ αὐτοῖς ὁ τῶν παλσάμων ἐστὶν ὀπὸς ἡδίστη, καὶ ἔτι καὶ ἄλλως τῇ σκιᾷ τῶν φυτῶν χαίρουσιν. Ἐπὰν οὖν συλλέγειν τοῦ παλσάμου τὸν 4
ὀπὸν ἀφίκηται τοῖς Ἄραψιν ὥρα, ξύλων δύο ἕκαστος σκυτάλας ἐπὶ τοὺς ἔχεις [ἐσ]φέρει, κροτοῦντες δὲ τὰ ξύλα ἀπελαύνουσι τοὺς ἔχεις· ἀποκτείνειν δὲ αὐτοὺς
765 οὐκ ἐθέλουσιν ἱεροὺς τῶν παλσάμων νομίζοντες. ἢν δὲ καὶ ὑπὸ ἔχεων δηχθῆναί τῳ συμβῇ, τὸ μὲν τραῦμά ἐστιν ὁποῖον καὶ ὑπὸ σιδήρου, δεῖμα δὲ ἄπεστι τὸ ἀπὸ τοῦ

ἰοῦ· ἅτε γὰρ σιτουμένοις τοῖς ἔχεσι μύρων τὸ εὐοσμότατον, μετακεράννυσί σφισιν ἐκ τοῦ θανατώδους ἐς τὸ ἠπιώτερον ὁ ἰός. ταῦτα μὲν δὴ ἔχοντά ἐστιν οὕτω.

XXIX. Θῦσαι δὲ ἐν Ἑλικῶνι Μούσαις πρώτους καὶ ἐπονομάσαι τὸ ὄρος ἱερὸν εἶναι Μουσῶν Ἐφιάλτην καὶ Ὦτον λέγουσιν, οἰκίσαι δὲ αὐτοὺς καὶ Ἄσκρην· καὶ δὴ καὶ Ἡγησίνους ἐπὶ τῷδε ἐν τῇ Ἀτθίδι ἐποίησεν·

Ἄσκρῃ δ' αὖ παρέλεκτο Ποσειδάων ἐνοσίχθων,
ἣ δή οἱ τέκε παῖδα περιπλομένων ἐνιαυτῶν
Οἴοκλον, ὃς πρῶτος μετ' Ἀλωέος ἔκτισε παίδων
Ἄσκρην, ἥ θ' Ἑλικῶνος ἔχει πόδα πιδακόεντα.

2 Ταύτην τοῦ Ἡγησίνου τὴν ποίησιν οὐκ ἐπελεξάμην, ἀλλὰ πρότερον ἄρα ἐκλελοιπυῖα ἦν πρὶν ἢ ἐμὲ γενέσθαι· Κάλλιππος δὲ Κορίνθιος ἐν τῇ ἐς Ὀρχομενίους συγγραφῇ μαρτύρια ποιεῖται τῷ λόγῳ τὰ Ἡγησίνου ἔπη· ὡσαύτως δὲ καὶ ἡμεῖς πεποιήμεθα παρὰ τοῦ Καλλίππου διδαχθέντες. Ἄσκρης μὲν δὴ πύργος εἷς ἐπ' ἐμοῦ καὶ ἄλλο οὐδὲν ἐλείπετο ἐς μνήμην. 2. Οἱ δὲ τοῦ Ἀλωέως παῖδες ἀριθμόν τε Μούσας ἐνόμισαν εἶναι τρεῖς, καὶ ὀνόματα αὐταῖς ἔθεντο Μελέτην καὶ Μνήμην καὶ Ἀοιδήν.
3 χρόνῳ δὲ ὕστερόν φασι Πίερον Μακεδόνα, ἀφ' οὗ καὶ Μακεδόσιν ὠνόμασται τὸ ὄρος, τοῦτον ἐλθόντα ἐς Θεσπιὰς ἐννέα τε Μούσας καταστήσασθαι καὶ τὰ ὀνόματα τὰ νῦν μεταθέσθαι σφίσι. ταῦτα δὲ ἐνόμιζεν οὕτως ὁ Πίερος ἢ σοφώτερά οἱ εἶναι φανέντα, ἢ κατά τι μάντευμα, ἢ παρά του διδαχθεὶς τῶν Θρᾳκῶν· δεξιώτερον γὰρ τά τε ἄλλα ἐδόκει τοῦ Μακεδονικοῦ τὸ ἔθνος εἶναι πάλαι τὸ Θρᾴκιον, καὶ οὐχ ὁμοίως ἐς τὰ θεῖα ὀλίγωρον.
4 Εἰσὶ δ' οἳ καὶ αὐτῷ θυγατέρας ἐννέα Πιέρῳ γενέσθαι λέγουσι, καὶ τὰ ὀνόματα ἅπερ ταῖς θεαῖς τεθῆναι καὶ 766
ταύταις, καὶ ὅσοι Μουσῶν παῖδες ἐκλήθησαν ὑπὸ Ἑλλήνων, θυγατριδοῦς εἶναι σφᾶς Πιέρου. Μίμνερμος

δὲ ἐλεγεῖα ἐς τὴν μάχην ποιήσας τὴν Σμυρναίων πρὸς Γύγην τε καὶ Λυδούς, φησὶν ἐν τῷ προοιμίῳ θυγατέρας Οὐρανοῦ τὰς ἀρχαιοτέρας Μούσας, τούτων δὲ ἄλλας νεωτέρας εἶναι Διὸς παῖδας. 3. Ἐν Ἑλικῶνι δὲ πρὸς τὸ 5
ἄλσος ἰόντι τῶν Μουσῶν ἐν ἀριστερᾷ μὲν ἡ Ἀγανίππη πηγή, θυγατέρα δὲ εἶναι τὴν Ἀγανίππην τοῦ Τερμησοῦ λέγουσι· ῥεῖ δὲ καὶ οὗτος ὁ Τερμησὸς περὶ τὸν Ἑλικῶνα· τὴν δὲ εὐθεῖαν ἐρχομένῳ πρὸς τὸ ἄλσος ἔστιν εἰκὼν Εὐφήμης ἐπειργασμένη λίθῳ· τροφὸν δὲ εἶναι τὴν Εὐφήμην λέγουσι τῶν Μουσῶν. ταύτης τε οὖν εἰκὼν καὶ 6
μετ' αὐτὴν Λίνος ἐστὶν ἐν πέτρᾳ μικρᾷ σπηλαίου τρόπον εἰργασμένῃ· τούτῳ κατὰ ἔτος ἕκαστον πρὸ τῆς θυσίας τῶν Μουσῶν ἐναγίζουσι. Λέγεται δὲ ὡς ὁ Λίνος οὗτος παῖς μὲν Οὐρανίας εἴη καὶ Ἀμφιμάρου τοῦ Ποσειδῶνος, μεγίστην δὲ τῶν τε ἐφ' αὐτοῦ καὶ ὅσοι πρότερον ἐγένοντο λάβοι δόξαν ἐπὶ μουσικῇ, καὶ ὡς Ἀπόλλων ἀποκτείνειεν αὐτὸν ἐξισούμενον κατὰ τὴν ᾠδήν. Ἀποθανόντος δὲ τοῦ Λίνου τὸ ἐπ' αὐτῷ πένθος διῆλθεν 7
ἄρα καὶ ἄχρι τῆς βαρβάρου πάσης, ὡς καὶ Αἰγυπτίοις ᾆσμα γενέσθαι Λίνον· καλοῦσι δὲ τὸ ᾆσμα Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Μανέρων. Οἱ δὲ Ἕλλησιν ἔπη ποιήσαντες, Ὅμηρος μέν, ἅτε ᾆσμα Ἕλλησιν ὂν ἐπιστάμενος τοῦ Λίνου τὰ παθήματα, ἐπὶ τοῦ Ἀχιλλέως ἔφη τῇ ἀσπίδι ἄλλα τε ἐργάσασθαι τὸν Ἥφαιστον καὶ κιθαρῳδὸν παῖδα ᾄδοντα τὰ ἐς Λίνον·

τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, Λίνον δ' ὑπὸ καλὸν ἄειδεν.

767 Πάμφως δέ, ὃς Ἀθηναίοις τῶν ὕμνων ἐποίησε τοὺς ἀρ- 8
χαιοτάτους, οὗτος ἀκμάζοντος ἐπὶ τῷ Λίνῳ τοῦ πένθους Οἰτόλινον ἐκάλεσεν αὐτόν. Σαπφὼ δὲ ἡ Λεσβία τοῦ Οἰτολίνου τὸ ὄνομα ἐκ τῶν ἐπῶν τῶν Πάμφω μαθοῦσα Ἄδωνιν ὁμοῦ καὶ Οἰτόλινον ᾖσεν. Θηβαῖοι δὲ λέγουσι

παρὰ σφίσι ταφῆναι τὸν Λίνον, καὶ ὡς μετὰ τὸ πταῖσμα τὸ ἐν Χαιρωνείᾳ τὸ Ἑλληνικὸν Φίλιππος ὁ Ἀμύντου κατὰ δή τινα ὄψιν ὀνείρατος τὰ ὀστᾶ ἀνελόμενος τοῦ
9 Λίνου κομίσειεν ἐς Μακεδονίαν· ἐκεῖνον μὲν δὴ αὖθις ἐξ ἐνυπνίων ἄλλων ὀπίσω τοῦ Λίνου τὰ ὀστᾶ ἐς Θήβας ἀποστεῖλαι, τὰ δὲ ἐπιθήματα τοῦ τάφου, καὶ ὅσα σημεῖα ἄλλα ἦν, ἀνὰ χρόνον φασὶν ἀφανισθῆναι. Λέγεται δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Θηβαίων, ὡς τοῦ Λίνου τούτου γένοιτο ὕστερον ἕτερος Λίνος καλούμενος Ἰσμηνίου, καὶ ὡς Ἡρακλῆς ἔτι παῖς ὢν ἀποκτείνειεν αὐτὸν διδάσκαλον μουσικῆς ὄντα. Ἔπη δὲ οὔτε ὁ Ἀμφιμάρου Λίνος οὔτε ὁ τούτου γενόμενος ὕστερον ἐποίησαν· ἢ καὶ ποιηθέντα ἐς τοὺς ἔπειτα οὐκ ἦλθεν.

XXX. Ταῖς Μούσαις δὲ ἀγάλματα τὰ μὲν πρῶτά ἐστι Κηφισοδότου τέχνη πάσαις, προελθόντι δὲ οὐ πολὺ τρεῖς μέν εἰσιν αὖθις Κηφισοδότου, Στρογγυλίωνος δὲ ἕτερα τοσαῦτα, ἀνδρὸς βοῦς καὶ ἵππους ἄριστα εἰργασμένου· τὰς δὲ ὑπολοίπους τρεῖς ἐποίησεν Ὀλυμπιοσθένης. καὶ Ἀπόλλων χαλκοῦς ἐστὶν ἐν Ἑλικῶνι καὶ Ἑρμῆς μαχόμενοι περὶ τῆς λύρας, καὶ Διόνυσος ὁ μὲν Λυσίππου, τὸ δὲ ἄγαλμα ἀνέθηκε Σύλλας τοῦ Διονύσου τὸ ὀρθόν, ἔργον τῶν Μύρωνος θέας μάλιστα ἄξιον μετά γε τὸν Ἀθήνησιν Ἐρεχθέα. ἀνέθηκε δὲ οὐκ οἴκοθεν, Ὀρχομενίους δὲ ἀφελόμενος τοὺς Μινύας. τοῦτό ἐστι τὸ ὑπὸ Ἑλλήνων λεγόμενον θυμιάμασιν ἀλλοτρίοις τὸ θεῖον σέβεσθαι.

2 2. Ποιητὰς δὲ ἢ καὶ ἄλλως ἐπιφανεῖς ἐπὶ μουσικῇ
τοσῶνδε εἰκόνας ἀνέθεσαν, Θάμυριν μὲν αὐτόν τε ἤδη
τυφλὸν καὶ λύρας κατεαγυίας ἐφαπτόμενον· Ἀρίων δὲ
ὁ Μηθυμναῖός ἐστιν ἐπὶ δελφῖνος. Ὁ δὲ Σακάδα τοῦ 768
Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνεὶς Πινδάρου τὸ
ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώ-

ματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν. Κάθηται 3
δὲ καὶ Ἡσίοδος κιθάραν ἐπὶ τοῖς γόνασιν ἔχων, οὐδέν
τι οἰκεῖον Ἡσιόδῳ φόρημα· δῆλα γὰρ δὴ καὶ ἐξ αὐτῶν
τῶν ἐπῶν ὅτι ἐπὶ ῥάβδου δάφνης ᾖδε. περὶ δὲ Ἡσιόδου
τε ἡλικίας καὶ Ὁμήρου πολυπραγμονήσαντι ἐς τὸ ἀκρι-
βέστατον οὔ μοι γράφειν ἡδὺ ἦν, ἐπισταμένῳ τὸ φιλαί-
τιον ἄλλων τε καὶ οὐχ ἥκιστα ὅσοι κατ' ἐμὲ ἐπὶ ποιήσει
τῶν ἐπῶν καθεστήκεσαν. 3. *Ὀρφεῖ δὲ τῷ Θρᾳκὶ πε-* 4
ποίηται μὲν παρεστῶσα αὐτῷ Τελετή, πεποίηται δὲ περὶ
αὐτὸν λίθου τε καὶ χαλκοῦ θηρία ἀκούοντα ᾄδοντος.
Πολλὰ μὲν [δὴ] καὶ ἄλλα πιστεύουσιν οὐκ ὄντα Ἕλλη-
νες, καὶ δὴ καὶ Ὀρφέα Καλλιόπης τε εἶναι Μούσης καὶ
οὐ τῆς Πιέρου, καί οἱ τὰ θηρία ἰέναι πρὸς τὸ μέλος ψυ-
χαγωγούμενα, ἐλθεῖν δὲ καὶ ἐς τὸν Ἅιδην ζῶντα αὐτὸν
παρὰ τῶν κάτω θεῶν τὴν γυναῖκα αἰτοῦντα. Ὁ δὲ Ὀρ-
φεύς, ἐμοὶ δοκεῖν, ὑπερεβάλετο ἐπῶν κόσμῳ τοὺς πρὸ
αὐτοῦ, καὶ ἐπὶ μέγα ἦλθεν ἰσχύος οἷα πιστευόμενος εὑ-
ρηκέναι τελετὰς θεῶν καὶ ἔργων ἀνοσίων καθαρμοὺς
νόσων τε ἰάματα καὶ τροπὰς μηνιμάτων θείων. Τὰς δὲ 5
γυναῖκάς φασι τῶν Θρᾳκῶν ἐπιβουλεύειν μὲν αὐτῷ θά-
νατον, ὅτι σφῶν τοὺς ἄνδρας ἀκολουθεῖν ἔπεισεν αὐτῷ
πλανωμένῳ, φόβῳ δὲ τῶν ἀνδρῶν οὐ τολμᾶν· ὡς δὲ
ἐνεφορήσαντο οἴνου, ἐξεργάζονται τὸ τόλμημα, καὶ τοῖς
ἀνδράσιν ἀπὸ τούτου κατέστη μεθυσκομένους ἐς τὰς
μάχας χωρεῖν. Εἰσὶ δὲ οἵ φασι κεραυνωθέντι ὑπὸ τοῦ
θεοῦ συμβῆναι τὴν τελευτὴν Ὀρφεῖ· κεραυνωθῆναι δὲ
αὐτὸν τῶν λόγων ἕνεκα ὧν ἐδίδασκεν ἐν τοῖς μυστηρίοις
οὐ πρότερον ἀκηκοότας ἀνθρώπους. Ἄλλοις δὲ [προ-] 6
ειρημένον ἐστὶν ὡς προαποθανούσης οἱ τῆς γυναικὸς
769 *ἐπὶ τὸ Ἄορνον δι' αὐτὴν τὸ ἐν τῇ Θεσπρωτίδι ἀφίκετο·*
εἶναι γὰρ πάλαι νεκυομαντεῖον αὐτόθι· νομίζοντα δέ
οἱ ἕπεσθαι τῆς Εὐρυδίκης τὴν ψυχήν, καὶ ἁμαρτοντα

ὡς ἐπεστράφη, αὐτόχειρα αὐτὸν ὑπὸ λύπης αὐτοῦ γε-
νέσθαι. λέγουσι δὲ οἱ Θρᾷκες, ὅσαι τῶν ἀηδόνων ἔχουσι
νεοσσιὰς ἐπὶ τῷ τάφῳ τοῦ Ὀρφέως, ταύτας ἥδιον καὶ
7 μεῖζόν τι ᾄδειν. Μακεδόνων δὲ οἱ χώραν τὴν ὑπὸ τὸ
ὄρος τὴν Πιερίαν ἔχοντες καὶ πόλιν Δῖον φασὶν ὑπὸ τῶν
γυναικῶν γενέσθαι τὴν τελευτὴν ἐνταῦθα τῷ Ὀρφεῖ.
Ἰόντι δὲ ἐκ Δίου τὴν ἐπὶ τὸ ὄρος καὶ στάδια προεληλυ-
θότι εἴκοσι κίων τέ ἐστιν ἐν δεξιᾷ καὶ ἐπίθημα ἐπὶ τῷ
κίονι ὑδρία λίθου· ἔχει δὲ τὰ ὀστᾶ τοῦ Ὀρφέως ἡ ὑδρία,
8 καθὰ οἱ ἐπιχώριοι λέγουσι. 4. Ῥεῖ δὲ καὶ ποταμὸς Ἑλι-
κών· ἄχρι σταδίων ἑβδομήκοντα πέντε προελθόντι τὸ
ῥεῦμα ἀφανίζεται τὸ ἀπὸ τούτου κατὰ τῆς γῆς· διαλεῖ-
πον δὲ μάλιστα δύο καὶ εἴκοσι στάδια ἄνεισι τὸ ὕδωρ
αὖθις, καὶ ὄνομα Βαφύρας ἀντὶ Ἑλικῶνος λαβὼν κάτ-
εισιν ἐς θάλασσαν ναυσίπορος. Τοῦτον οἱ Διασταὶ τὸν
ποταμὸν ἐπιρρεῖν διὰ παντὸς τῇ γῇ τὰ ἐξ ἀρχῆς φασί,
τὰς γυναῖκας δὲ αἳ τὸν Ὀρφέα ἀπέκτειναν ἐναπονίψα-
σθαί οἱ θελῆσαι τὸ αἷμα, καταδῦναί τε ἐπὶ τούτῳ τὸν
ποταμὸν ἐς τὴν γῆν, ἵνα δὴ μὴ τοῦ φόνου καθάρσια τὸ
9 ὕδωρ παράσχηται. 5. Ἤκουσα δὲ καὶ ἄλλον ἐν Λαρίσῃ
λόγον, ὡς ἐν τῷ Ὀλύμπῳ πόλις οἰκοῖτο Λίβηθρα, ᾗ ἐπὶ
Μακεδονίας τέτραπται τὸ ὄρος, καὶ εἶναι οὐ πόρρω τῆς
πόλεως τὸ τοῦ Ὀρφέως μνῆμα· ἀφικέσθαι δὲ τοῖς Λι-
βηθρίοις παρὰ τοῦ Διονύσου μάντευμα ἐκ Θρᾴκης, ἐπει-
δὰν ἴδῃ τὰ ὀστᾶ τοῦ Ὀρφέως ἥλιος, τηνικαῦτα ὑπὸ συὸς
ἀπολεῖσθαι Λιβηθρίοις τὴν πόλιν. οἱ μὲν δι' οὐ πολλῆς
φροντίδος ἐποιοῦντο τὸν χρησμόν, οὐδὲ ἄλλο τι θηρίον
οὕτω μέγα καὶ ἄλκιμον ἔσεσθαι νομίζοντες ὡς ἑλεῖν
σφίσι τὴν πόλιν, συὶ δὲ θρασύτητος μετεῖναι μᾶλλον ἢ 770
10 ἰσχύος. Ἐπεὶ δὲ ἐδόκει τῷ θεῷ, συνέβαινέ σφισι τοιάδε.
ποιμὴν περὶ μεσοῦσαν μάλιστα τὴν ἡμέραν ἐπικλίνων
αὐτὸν πρὸς τοῦ Ὀρφέως τὸν τάφον, ὁ μὲν ἐκάθευδεν ὁ

ποιμήν, ἐπῄει δέ οἱ καὶ καθεύδοντι ἔπη τε ᾄδειν τῶν
Ὀρφέως καὶ μέγα καὶ ἡδὺ φωνεῖν. Οἱ οὖν ἐγγύτατα νέ-
μοντες ἢ καὶ ἀροῦντες, ἕκαστοι τὰ ἔργα ἀπολείποντες,
ἠθροίζοντο ἐπὶ τοῦ ποιμένος τὴν ἐν τῷ ὕπνῳ ᾠδήν· καί
ποτε ὠθοῦντες ἀλλήλους καὶ ἐρίζοντες ὅστις ἐγγύτατα
ἔσται τῷ ποιμένι ἀνατρέπουσι τὸν κίονα, καὶ κατεάγη
τε ἀπ' αὐτοῦ πεσοῦσα ἡ θήκη καὶ εἶδεν ἥλιος ὅ τι ἦν
τῶν ὀστῶν τοῦ Ὀρφέως λοιπόν. Αὐτίκα δὲ ἐν τῇ ἐπερ- 11
χομένῃ νυκτὶ ὅ τε θεὸς κατέχει πολὺ ἐκ τοῦ οὐρανοῦ τὸ
ὕδωρ, καὶ ὁ ποταμὸς ὁ Σῦς, τῶν δὲ περὶ τὸν Ὄλυμπον
χειμάρρων καὶ ὁ Σῦς ἐστί, τότε οὖν οὗτος ὁ ποταμὸς
κατέβαλε μὲν τὰ τείχη Λιβηθρίοις, θεῶν δὲ ἱερὰ καὶ
οἴκους ἀνέτρεψεν ἀνθρώπων, ἀπέπνιξε δὲ τούς τε ἀν-
θρώπους καὶ τὰ ἐν τῇ πόλει ζῷα ὁμοίως τὰ πάντα. ἀπο-
λομένων δὲ ἤδη Λιβηθρίων, οὕτως οἱ ἐν Δίῳ Μακεδό-
νες, κατά γε τὸν λόγον τοῦ Λαρισαίου ξένου, ἐς τὴν
ἑαυτῶν τὰ ὀστᾶ κομίζουσι τοῦ Ὀρφέως. Ὅστις δὲ περὶ 12
ποιήσεως ἐπολυπραγμόνησεν ἤδη, τοὺς Ὀρφέως ὕμνους
οἶδεν ὄντας ἕκαστόν τε αὐτῶν ἐπὶ βραχύτατον καὶ τὸ
σύμπαν οὐκ ἐς ἀριθμὸν πολὺν πεποιημένους· 6. Λυκο-
μίδαι δὲ ἴσασί τε καὶ ἐπᾴδουσι τοῖς δρωμένοις. κόσμῳ
μὲν δὴ τῶν ἐπῶν δευτερεῖα φέροιντο ἂν μετά γε Ὁμήρου
τοὺς ὕμνους, τιμῆς δὲ ἐκ τοῦ θείου καὶ ἐς πλέον ἐκεί-
νων ἥκουσι.

XXXI. Καὶ Ἀρσινόης ἐστὶν ἐν Ἑλικῶνι εἰκών, ἣν
771 Πτολεμαῖος ἔγημεν ἀδελφὸς ὤν. τὴν δὲ Ἀρσινόην στρου-
θὸς φέρει χαλκῆ τῶν ἀπτήνων· πτερὰ μέν γε καὶ αὗται
κατὰ ταὐτὰ ταῖς ἄλλαις φύουσιν, ὑπὸ δὲ βάρους καὶ
διὰ μέγεθος οὐχ οἷά τέ ἐστιν ἀνέχειν σφᾶς ἐς τὸν ἀέρα
τὰ πτερά.

2. Ἐνταῦθα καὶ Τηλέφῳ τῷ Ἡρακλέους γάλα ἐστὶν 2
ἔλαφος παιδὶ μικρῷ διδοῦσα, καὶ βοῦς τε παρ' αὐτὸν

καὶ ἄγαλμα Πριάπου θέας ἄξιον. τούτῳ τιμαὶ τῷ θεῷ δέδονται μὲν καὶ ἄλλως, ἔνθα εἰσὶν αἰγῶν νομαὶ καὶ προβάτων ἢ καὶ ἑσμοὶ μελισσῶν· Λαμψακηνοὶ δὲ ἐς πλέον ἢ θεοὺς τοὺς ἄλλους νομίζουσι, Διονύσου τε αὐτὸν παῖδα εἶναι καὶ Ἀφροδίτης λέγοντες.

3 3. *Ἐν δὲ τῷ Ἑλικῶνι καὶ ἄλλοι τρίποδες κεῖνται, καὶ ἀρχαιότατος ὃν ἐν Χαλκίδι λαβεῖν τῇ ἐπ' Εὐρίπῳ λέγουσιν Ἡσίοδον νικήσαντα ᾠδῇ. Περιοικοῦσι δὲ καὶ ἄνδρες τὸ ἄλσος, καὶ ἑορτήν τε ἐνταῦθα οἱ Θεσπιεῖς καὶ ἀγῶνα ἄγουσι Μουσεῖα· ἄγουσι δὲ καὶ τῷ Ἔρωτι, ἆθλα οὐ μουσικῆς μόνον ἀλλὰ καὶ ἀθληταῖς τιθέντες. Ἐπαναβάντι δὲ στάδια ἀπὸ τοῦ ἄλσους τούτου ὡς εἴκοσιν ἔστιν ἡ τοῦ Ἵππου καλουμένη κρήνη· ταύτην τὸν Βελλεροφόντου ποιῆσαί φασιν ἵππον, ἐπιψαύσαντα ὁπλῇ*

4 *τῆς γῆς.* 4. *Βοιωτῶν δὲ οἱ περὶ τὸν Ἑλικῶνα οἰκοῦντες παρειλημμένα δόξῃ λέγουσιν, ὡς ἄλλο Ἡσίοδος ποιήσαι οὐδὲν ἢ τὰ Ἔργα· καὶ τούτων δὲ τὸ ἐς τὰς Μούσας ἀφαιροῦσι προοίμιον, ἀρχὴν τῆς ποιήσεως εἶναι τὸ ἐς τὰς Ἔριδας λέγοντες· καί μοι μόλυβδον ἐδείκνυσαν, ἔνθα ἡ πηγή, τὰ πολλὰ ὑπὸ τοῦ χρόνου λελυμασμένον· ἐγγέ-*

5 *γραπται δὲ αὐτῷ τὰ Ἔργα. Ἔστι δὲ καὶ ἑτέρα κεχωρισμένη τῆς προτέρας, ὡς πολύν τινα ἐπῶν ὁ Ἡσίοδος ἀριθμὸν ποιήσειεν, ἐς γυναῖκάς τε ᾀδόμενα, [καὶ] ἃς μεγάλας ἐπονομάζουσιν Ἠοίας, καὶ Θεογονίαν τε καὶ ἐς τὸν μάντιν Μελάμποδα, καὶ ὡς Θησεὺς ἐς τὸν Ἅιδην* 772 *ὁμοῦ Πειρίθῳ καταβαίη, παραινέσεις τε Χείρωνος ἐπὶ διδασκαλίᾳ δὴ τῇ Ἀχιλλέως, καὶ ὅσα ἐπὶ Ἔργοις τε καὶ ἡμέραις. οἱ δὲ αὐτοὶ οὗτοι λέγουσι καὶ ὡς μαντικὴν Ἡσίοδος διδαχθείη παρὰ Ἀκαρνάνων· καὶ ἔστιν ἔπη μαντικά, ὁπόσα [τε] ἐπελεξάμεθα καὶ ἡμεῖς, καὶ ἐξηγή-*

6 *σεις ἐπὶ τέρασιν.* 5. *Ἐναντία δὲ καὶ ἐς τοῦ Ἡσιόδου τὴν τελευτήν ἐστιν εἰρημένα. ὅτι μὲν γὰρ οἱ παῖδες τοῦ*

Γανύκτορος Κτίμενος καὶ Ἄντιφος ἔφυγον ἐς Μολυκρίαν ἐκ Ναυπάκτου διὰ τοῦ Ἡσιόδου τὸν φόνον, καὶ αὐτόθι ἀσεβήσασιν ἐς Ποσειδῶνα ἐγένετο τῇ Μολυκρίᾳ σφίσιν ἡ δίκη, τάδε μὲν καὶ οἱ πάντες κατὰ ταὐτὰ εἰρήκασι· τὴν δὲ ἀδελφὴν τῶν νεανίσκων οἱ μὲν ἄλλου τού φασιν αἰσχύναντος Ἡσίοδον λαβεῖν οὐκ ἀληθῆ τὴν τοῦ ἀδικήματος δόξαν, οἱ δὲ ἐκείνου γενέσθαι τὸ ἔργον. τὰ μὲν δὴ ἐς Ἡσίοδον καὶ αὐτὸν καὶ ἐς τὰ ἔπη διάφορα ἐπὶ τοσοῦτον εἴρηται.

6. Ἐπὶ δὲ ἄκρᾳ τῇ κορυφῇ τοῦ Ἑλικῶνος ποταμὸς 7
οὐ μέγας ἐστὶν ὁ Λάμος. Θεσπιέων δὲ ἐν τῇ γῇ Δονακών ἐστιν ὀνομαζόμενος· ἐνταῦθά ἐστι Ναρκίσσου πηγή, καὶ τὸν Νάρκισσον ἰδεῖν ἐς τοῦτο τὸ ὕδωρ φασίν, οὐ συνέντα δὲ ὅτι ἑώρα σκιὰν τὴν ἑαυτοῦ λαθεῖν τε αὐτὸν ἐρασθέντα αὐτοῦ, καὶ ὑπὸ τοῦ ἔρωτος ἐπὶ τῇ πηγῇ οἱ συμβῆναι τὴν τελευτήν. Τοῦτο μὲν δὴ παντάπασιν εὔηθες, ἡλικίας ἤδη τινὰ ἐς τοῦτο ἥκοντα ὡς ὑπὸ ἔρωτος ἁλίσκεσθαι, μηδὲ ὁποῖόν τι ἄνθρωπος καὶ ὁποῖόν τι
ἀνθρώπου σκιὰ διαγνῶναι. Ἔχει δὲ καὶ ἕτερος ἐς αὐτὸν 8
λόγος, ἧσσον μὲν τοῦ προτέρου γνώριμος, λεγόμενος δὲ καὶ οὗτος, ἀδελφὴν γενέσθαι Ναρκίσσῳ δίδυμον, τά τε ἄλλα ἐς ἅπαν ὅμοιον τὸ εἶδος καὶ ἀμφοτέροις ὡσαύ-
773 τως κόμην εἶναι, καὶ ἐσθῆτα ἐοικυῖαν αὐτοὺς ἐνδύεσθαι,
καὶ δὴ καὶ ἐπὶ θήραν ἰέναι μετὰ ἀλλήλων· Νάρκισσον δὲ ἐρασθῆναι τῆς ἀδελφῆς, καὶ ὡς ἀπέθανεν ἡ παῖς, φοιτῶντα ἐπὶ τὴν πηγὴν συνιέναι μὲν ὅτι τὴν ἑαυτοῦ σκιὰν ἑώρα, εἶναι δέ οἱ καὶ συνιέντι ῥᾳστώνην τοῦ ἔρωτος ἅτε οὐχ ἑαυτοῦ σκιὰν δοξάζοντι, ἀλλὰ εἰκόνα ὁρᾶν
τῆς ἀδελφῆς. Νάρκισσον δὲ ἄνθος ἡ γῆ καὶ πρότερον 9
ἔφυεν, ἐμοὶ δοκεῖν, εἰ τοῖς Πάμφω τεκμαίρεσθαι χρή τι ἡμᾶς ἔπεσι· γεγονὼς γὰρ πολλοῖς πρότερον ἔτεσιν ἢ Νάρκισσος ὁ Θεσπιεὺς Κόρην τὴν Δήμητρός φησιν ἁρ-

πασθῆναι παίζουσαν καὶ ἄνθη συλλέγουσαν, ἁρπασθῆναι δὲ οὐκ ἴοις ἀπατηθεῖσαν, ἀλλὰ ναρκίσσοις.

XXXII. *Τοῖς δὲ ἐν Κρεύσιδι, ἐπινείῳ τῷ Θεσπιέων, οἰκοῦσιν ἐν κοινῷ μέν ἐστιν οὐδέν, ἐν ἰδιώτου δὲ ἀνδρὸς ἄγαλμα ἦν Διονύσου, γύψου πεποιημένον καὶ ἐπικεκοσμημένον γραφῇ. πλοῦς δὲ ἐς Κρεῦσίν ἐστιν ἐκ Πελοποννήσου σκολιός τε καὶ ἄλλως οὐκ εὔδιος· ἄκραι τε γὰρ ἀνέχουσιν ὡς μὴ κατ' εὐθὺ τῆς θαλάσσης περαιοῦσθαι, καὶ ἅμα ἐκ τῶν ὀρῶν καταπνέουσιν ἄνεμοι βίαιοι.*

2 2. *Πλέοντι δὲ ἐκ Κρεύσιδος οὐ πελαγίῳ, παρὰ δὲ αὐτὴν Βοιωτίαν, πόλις ἐστὶν ἐν δεξιᾷ Θίσβη. πρῶτα μὲν ὄρος ἐστὶ πρὸς θαλάσσῃ· τοῦτο δὲ ὑπερβαλόντα πεδίον σε ἐκδέξεται καὶ μετὰ τοῦτο ἄλλο ὄρος· ἐν δὲ ταῖς ὑπωρείαις ἐστὶ πόλις. Ἡρακλέους δὲ ἱερὸν καὶ ἄγαλμα ὀρθὸν ἐνταῦθά ἐστι λίθου, καὶ Ἡράκλεια ἑορτὴν ἄγουσι.*
3 *τὸ δὲ πεδίον τὸ μεταξὺ τῶν ὀρῶν ἐκώλυεν οὐδὲν λίμνην ὑπὸ πλήθους εἶναι τοῦ ὕδατος, εἰ μὴ διὰ μέσου χῶμά σφισιν ἐπεποίητο ἰσχυρόν· καὶ οὕτω παρὰ ἔτος ἐς μὲν τὰ ἐπέκεινα τοῦ χώματος ἐκτρέπουσι τὸ ὕδωρ, τὸ δὲ ἐπὶ τὰ ἕτερα αὐτοῦ γεωργοῦσι. Θίσβην δὲ λέγουσιν ἐπιχώριον εἶναι νύμφην, ἀφ' ἧς ἡ πόλις τὸ ὄνομα ἔσχηκεν.*

4 3. *Παραπλέοντι δὲ αὐτόθεν πόλισμά ἐστιν οὐ μέγα ἐπὶ θαλάσσῃ Τίφα. Ἡράκλειόν τε Τιφαιεῦσίν ἐστι, καὶ* 774
ἑορτὴν ἄγουσιν ἐπέτειον. Οὗτοι Βοιωτῶν μάλιστα ἐκ παλαιοῦ τὰ θαλάσσια ἐθέλουσιν εἶναι σοφοί, Τῖφυν ἄνδρα μνημονεύοντες ἐπιχώριον, ὡς προκριθείη γενέσθαι τῆς Ἀργοῦς κυβερνήτης· ἀποφαίνουσι δὲ καὶ πρὸ τῆς πόλεως ἔνθα ἐκ Κόλχων ὀπίσω κομιζομένην ὁρμίσασθαι τὴν Ἀργὼ λέγουσιν.

5 4. *Ἀπὸ δὲ Θεσπίας ἰόντι ἄνω πρὸς ἤπειρον ἔστιν Ἁλίαρτος. ὅστις δὲ Ἁλιάρτου γέγονε καὶ Κορωνείας*

οἰκιστής, οὗ με ἀπὸ τῶν ἐς Ὀρχομενίους ἐχόντων εἰκὸς
ἦν χωρίζειν. Κατὰ δὲ τὴν ἐπιστρατείαν τοῦ Μήδου
φρονήσασιν Ἁλιαρτίοις τὰ Ἑλλήνων μοῖρα τῆς Ξέρξου
στρατιᾶς γῆν τέ σφισιν ὁμοῦ καὶ τὴν πόλιν ἐπεξῆλθε
καίουσα. Ἐν Ἁλιάρτῳ δέ ἐστι Λυσάνδρου τοῦ Λακεδαι-
μονίου μνῆμα· προσβαλὼν γὰρ τῶν Ἁλιαρτίων πρὸς τὸ
τεῖχος στρατιᾶς ἔκ τε Θηβῶν ἐνούσης ἔνδον καὶ ἐξ Ἀθη-
νῶν, καὶ ἐπεξελθόντων τῶν πολεμίων, ἔπεσεν ἐν τῇ
μάχῃ. 5. Λύσανδρον δὲ τὰ μὲν ἐς τὰ μάλιστα ἐπαινέσαι, 6
τὰ δὲ καὶ πικρῶς ἔστι μέμψασθαι. Σοφίαν μέν γε τοι-
αύτην ἐπεδείξατο. ἡγούμενος Πελοποννησίων ταῖς τρι-
ήρεσιν Ἀντίοχον κυβερνήτην ὄντα Ἀλκιβιάδου, φυλά-
ξας Ἀλκιβιάδην ἀπόντα τοῦ ναυτικοῦ, τηνικαῦτα τὸν
Ἀντίοχον ἐπηγάγετο ἐς ἐλπίδα ὡς ὄντα ἀξιόμαχον ναυ-
μαχῆσαι Λακεδαιμονίοις, καὶ ἀναγαγόμενον ὑπὸ θρά-
σους τε καὶ ἀλαζονείας ἐνίκησεν αὐτὸν οὐ πόρρω τοῦ
Κολοφωνίων ἄστεως. Ὡς δὲ καὶ δεύτερα ὁ Λύσανδρος 7
ἐπὶ τὰς τριήρεις ἀφίκετο ἐκ Σπάρτης, ἡμερώσατο μὲν
οὕτω Κῦρον ὡς χρήματα, ὁπότε ἐς τὸ ναυτικὸν αἰτοίη,
παρεῖναί οἱ κατὰ καιρόν τε καὶ ἄφθονα· ὁρμούντων δὲ
775 ναυσὶν ἑκατὸν ἐν Αἰγὸς ποταμοῖς Ἀθηναίων, εἷλεν αὐ-
τῶν τὰ πλοῖα ἐσκεδασμένους ἐπί τε ὕδωρ τοὺς ναύτας
καὶ ἐπὶ ἀγορὰν φυλάξας. Παρέσχετο δὲ καὶ ἔργον τοι-
όνδε ἐς δικαιοσύνην. Αὐτολύκῳ τῷ παγκρατιάσαντι, 8
οὗ δὴ καὶ εἰκόνα ἰδὼν οἶδα ἐν Πρυτανείῳ τῷ Ἀθηναίων,
τούτῳ τῷ ἀνδρὶ ἐς ἀμφισβήτησιν ὅτου δὴ κτήματος
Ἐτεόνικος ἦλθεν ὁ Σπαρτιάτης· ὡς δὲ ἄρα λέγων ἡλί-
σκετο οὐ δίκαια, ἦν γὰρ δὴ τηνικαῦτα Ἀθηναίοις τῶν
τριάκοντα ἡ ἀρχή, καὶ παρῆν ἔτι ὁ Λύσανδρος, τούτων
ἕνεκα Ἐτεόνικος πληγῶν τε ἄρχειν ἐπήρθη καὶ ἀμυνά-
μενον τὸν Αὐτόλυκον ἦγεν ἐπὶ Λύσανδρον, παντάπασιν
ἐκεῖνον ἐς χάριν τὴν ἑαυτοῦ δικάσειν ἐλπίζων· Λύσαν-

δρος δὲ ἀδικεῖν Ἐτεόνικον κατέγνω, καὶ ἀπέπεμψεν
9 ἀτιμάσας τῷ λόγῳ. 6. Τάδε μὲν Λυσάνδρῳ τὰ ἐς δόξαν
ὑπάρχοντα ἦν, ἄλλα δὲ τοσάδε ὀνείδη. Φιλοκλέα γὰρ
Ἀθηναῖον ἐν Αἰγὸς ποταμοῖς καὶ αὐτὸν στρατηγοῦντα
καὶ Ἀθηναίων τῶν ἄλλων ὅσον τετρακισχιλίους αἰχμα-
λώτους ὄντας ἀπέκτεινεν ὁ Λύσανδρος, καί σφισιν οὐδὲ
ἀποθανοῦσιν ἐπήνεγκε γῆν, ὃ καὶ Μήδων τοῖς ἀποβᾶσιν
ἐς Μαραθῶνα ὑπῆρξε παρ' Ἀθηναίων καὶ αὐτῶν Λακε-
δαιμονίων τοῖς πεσοῦσιν ἐν Θερμοπύλαις ἐκ βασιλέως
Ξέρξου. Μείζονα δὲ ἔτι Λακεδαιμονίοις ὀνείδη γενέ-
σθαι παρεσκεύασεν ὁ Λύσανδρος ἐπί τε δεκαδαρχίαις
ἃς κατέστησε ταῖς πόλεσι καὶ ἐπὶ τοῖς Λάκωσιν ἁρμοσταῖς.
10 Λακεδαιμονίων δὲ χρήματα οὐ νομιζόντων κτᾶσθαι κατὰ
δή τι μάντευμα, ὡς ἡ φιλοχρηματία μόνη γένοιτο ἂν
ἀπώλεια τῇ Σπάρτῃ, ὁ δὲ καὶ χρημάτων πόθον σφίσιν
ἐνεποίησεν ἰσχυρόν. ἐγὼ μὲν δὴ Πέρσαις τε ἑπόμενος 776
καὶ δικάζων νόμῳ γε τῷ ἐκείνων βλάβος κρίνω Λακε-
δαιμονίοις μᾶλλον ἢ ὠφέλειαν γενέσθαι Λύσανδρον.

XXXIII. Ἐν Ἁλιάρτῳ δὲ τοῦ τε Λυσάνδρου μνῆμα
καὶ Κέκροπος τοῦ Πανδίονός ἐστιν ἡρῷον. τὸ δὲ ὄρος
τὸ Τιλφούσιον καὶ ἡ Τιλφοῦσα καλουμένη πηγὴ στα-
δίους μάλιστα Ἁλιάρτου πεντήκοντα ἀπέχουσι. Λέγεται
δὲ ὑπὸ Ἑλλήνων Ἀργείους μετὰ τῶν Πολυνείκους παί-
δων ἑλόντας Θήβας ἐς Δελφοὺς τῷ θεῷ καὶ ἄλλα τῶν
λαφύρων καὶ Τειρεσίαν ἄγειν· καί, εἴχετο γὰρ δίψῃ,
καθ' ὁδόν φασιν αὐτὸν πιόντα ἀπὸ τῆς Τιλφούσης
ἀφεῖναι τὴν ψυχήν· καὶ ἔστι τάφος αὐτῷ πρὸς τῇ πηγῇ.
2 τὴν δὲ θυγατέρα τοῦ Τειρεσίου δοθῆναι μέν φασι τῷ
Ἀπόλλωνι ὑπὸ τῶν Ἀργείων, προστάξαντος δὲ τοῦ θεοῦ
ναυσὶν ἐς τὴν νῦν Ἰωνίαν καὶ Ἰωνίας ἐς τὴν Κολοφωνίαν
περαιωθῆναι. καὶ ἡ μὲν αὐτόθι συνῴκησεν ἡ Μαντὼ
Ῥακίῳ Κρητί· τὰ δὲ ἄλλα ἐς Τειρεσίαν, ἐτῶν τε ἀριθ-

μὸν ὧν γεγράφασιν αὐτὸν βιῶναι, καὶ ὡς ἐκ γυναικὸς
ἐς ἄνδρα ἠλλάγη, καὶ ὅτι Ὅμηρος ἐποίησεν ἐν Ὀδυσσείᾳ
συνετὸν εἶναι γνώμην Τειρεσίαν τῶν ἐν Ἅιδου μόνον,
ταῦτα μὲν καὶ οἱ πάντες ἴσασιν ἀκοῇ· 2. Ἁλιαρτίοις δέ 3
ἐστιν ἐν ὑπαίθρῳ θεῶν ἱερὸν ἃς Πραξιδίκας καλοῦσιν·
ἐνταῦθα ὀμνύουσι μέν, ποιοῦνται δὲ οὐκ ἐπίδρομον τὸν
ὅρκον. ταύταις μέν ἐστι πρὸς τῷ ὄρει τῷ Τιλφουσίῳ
τὸ ἱερόν· ἐν Ἁλιάρτῳ δέ εἰσι ναοί, καί σφισιν οὐκ ἀγάλ-
ματα ἔνεστιν, οὐκ ὄροφος ἔπεστιν· οὐ μὴν οὐδὲ οἷς
τισὶν ἐποιήθησαν, οὐδὲ τοῦτο ἠδυνάμην πυθέσθαι.

3. Ἔστι δὲ ἐν τῇ Ἁλιαρτίᾳ ποταμὸς Λόφις. λέγεται 4
δὲ τῆς χώρας αὐχμηρᾶς οὔσης τὸ ἐξ ἀρχῆς καὶ ὕδατος
οὐκ ὄντος ἐν αὐτῇ ἄνδρα τῶν δυναστευόντων ἐλθόντα
ἐς Δελφοὺς ἐπερέσθαι τρόπον ὅντινα ὕδωρ εὑρήσουσιν
777 ἐν τῇ γῇ· τὴν δὲ Πυθίαν προστάσσειν, ὃς ἂν ἐπανήκοντι
ἐς Ἁλίαρτον ἐντύχῃ οἱ πρὸ τῶν ἄλλων, τούτου δεῖν φο-
νέα γενέσθαι αὐτόν· ἐντυχεῖν τε δὴ αὐτῷ παραγενομένῳ
τὸν υἱὸν Λόφιν, καὶ τὸν οὐ μελλήσαντα τῷ ξίφει τὸν
νεανίσκον παῖσαι· καὶ τὸν μὲν ἔτι ἔμπνουν περιθεῖν,
ὅπου δὲ ῥυῆναι τὸ αἷμα, ὕδωρ ἐντεῦθεν ἀνεῖναι τὴν
γῆν. ἐπὶ τούτῳ μὲν ὁ ποταμὸς καλεῖται Λόφις.

4. Ἀλαλκομεναὶ δὲ κώμη μέν ἐστιν οὐ μεγάλη, κεῖ- 5
ται δὲ ὄρους οὐκ ἄγαν ὑψηλοῦ πρὸς τοῖς ποσὶν ἐσχάτοις.
γενέσθαι δὲ αὐτῇ τὸ ὄνομα οἱ μὲν ἀπὸ Ἀλαλκομενέως
ἀνδρὸς αὐτόχθονος, ὑπὸ τούτου δὲ Ἀθηνᾶν τραφῆναι
λέγουσιν· οἱ δὲ εἶναι καὶ τὴν Ἀλαλκομενίαν τῶν Ὠγύ-
γου θυγατέρων φασίν. Ἀπωτέρω δὲ τῆς κώμης ἐπεποί-
ητο ἐν τῷ χθαμαλῷ τῆς Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα ἀρ-
χαῖον ἐλέφαντος. Σύλλα δὲ ἔστι μὲν καὶ τὰ ἐς Ἀθηναίους 6
ἀνήμερα καὶ ἤθους ἀλλότρια τοῦ Ῥωμαίων, ἐοικότα δὲ
τούτοις καὶ τὰ ἐς Θηβαίους τε καὶ Ὀρχομενίους· προσ-
εξειργάσατο δὲ καὶ ἐν ταῖς Ἀλαλκομεναῖς, τῆς Ἀθηνᾶς

τὸ ἄγαλμα αὐτὸ συλήσας. τοῦτον μὲν τοιαῦτα ἔς τε Ἑλ-
ληνίδας πόλεις καὶ θεοὺς τοὺς Ἑλλήνων ἐκμανέντα
ἐπέλαβεν ἀχαριστοτάτη νόσος πασῶν· φθειρῶν γὰρ
ἤνθησεν, ἥ τε πρότερον εὐτυχία δοκοῦσα ἐς τοιοῦτο
περιῆλθεν αὐτῷ τέλος· τὸ δὲ ἱερὸν ἐν ταῖς Ἀλαλκομε-
ναῖς ἠμελήθη τὸ ἀπὸ τοῦδε ἅτε ἠρημωμένον τῆς θεοῦ.
7 Ἐγένετο δὲ καὶ ἄλλο ἐπ' ἐμοῦ τοιόνδε ἐς κατάλυσιν τοῦ
ναοῦ· κισσός οἱ προσπεφυκὼς μέγας καὶ ἰσχυρὸς διέλυ-
σεν ἐκ τῶν ἁρμονιῶν καὶ διέσπα τοὺς λίθους ἀπ' ἀλλή-
λων. 5. Ῥεῖ δὲ καὶ ποταμὸς ἐνταῦθα οὐ μέγας χείμαρρος·
ὀνομάζουσι δὲ Τρίτωνα αὐτόν, ὅτι τὴν Ἀθηνᾶν τρα-
φῆναι παρὰ ποταμῷ Τρίτωνι ἔχει λόγος, ὡς δὴ τοῦτον
τὸν Τρίτωνα ὄντα καὶ οὐχὶ τὸν Λιβύων, ὃς ἐς τὴν πρὸς
Λιβύῃ θάλασσαν ἐκδίδωσιν ἐκ τῆς Τριτωνίδος λίμνης.

XXXIV. Πρὶν δὲ ἐς Κορώνειαν ἐξ Ἀλαλκομενῶν 778
ἀφικέσθαι, τῆς Ἰτωνίας Ἀθηνᾶς ἐστὶ τὸ ἱερόν· καλεῖται
δὲ ἀπὸ Ἰτώνου τοῦ Ἀμφικτυόνος, καὶ ἐς τὸν κοινὸν
συνίασιν ἐνταῦθα οἱ Βοιωτοὶ σύλλογον. Ἐν δὲ τῷ ναῷ
χαλκοῦ πεποιημένα Ἀθηνᾶς Ἰτωνίας καὶ Διός ἐστιν
ἀγάλματα· τέχνη δὲ Ἀγορακρίτου, μαθητοῦ τε καὶ ἐρω-
μένου Φειδίου. ἀνέθεσαν δὲ καὶ Χαρίτων ἀγάλματα ἐπ'
2 ἐμοῦ. Λέγεται δὲ καὶ τοιόνδε, Ἰοδάμαν ἱερωμένην τῇ
θεῷ νύκτωρ ἐς τὸ τέμενος ἐσελθεῖν, καὶ αὐτῇ τὴν Ἀθη-
νᾶν φανῆναι, τῷ χιτῶνι δὲ τῆς θεοῦ τὴν Μεδούσης
ἐπεῖναι τῆς Γοργόνος κεφαλήν· Ἰοδάμαν δέ, ὡς εἶδε,
γενέσθαι λίθον. καὶ διὰ τοῦτο ἐπιτιθεῖσα γυνὴ πῦρ ἀνὰ
πᾶσαν ἡμέραν ἐπὶ τῆς Ἰοδάμας τὸν βωμόν, ἐς τρὶς ἐπι-
λέγει τῇ Βοιωτῶν φωνῇ Ἰοδάμαν ζῆν καὶ αἰτεῖν πῦρ.
3 2. Κορώνεια δὲ παρείχετο μὲν ἐς μνήμην ἐπὶ τῆς ἀγο-
ρᾶς Ἑρμοῦ βωμὸν Ἐπιμηλίου, τὸν δὲ Ἀνέμων. κατωτέρω
δὲ ὀλίγον Ἥρας ἐστὶν ἱερὸν καὶ ἄγαλμα ἀρχαῖον, Πυθο-
δώρου τέχνη Θηβαίου· φέρει δὲ ἐπὶ τῇ χειρὶ Σειρῆνας·

τὰς γὰρ δὴ Ἀχελῴου θυγατέρας ἀναπεισθείσας φασὶν
ὑπὸ Ἥρας καταστῆναι πρὸς τὰς Μούσας ἐς ᾠδῆς ἔργον·
αἱ δὲ ὡς ἐνίκησαν, ἀποτίλασαι τῶν Σειρήνων τὰ πτερὰ
ποιήσασθαι στεφάνους ἀπ' αὐτῶν λέγονται. 3. Κορω- 4
νείας δὲ σταδίους ὡς τεσσαράκοντα ὄρος ἀπέχει τὸ Λι-
βήθριον· ἀγάλματα δὲ ἐν αὐτῷ Μουσῶν τε καὶ Νυμφῶν
ἐπίκλησίν ἐστι Λιβηθρίων· καὶ πηγαί, τὴν μὲν Λιβη-
θριάδα ὀνομάζουσιν, ἡ δὲ ἑτέρα Πέτρα, γυναικὸς μα-
στοῖς εἰσὶν εἰκασμέναι, καὶ ὅμοιον γάλακτι ὕδωρ ἀπ'
αὐτῶν ἄνεισιν.

4. Ἐς δὲ τὸ ὄρος τὸ Λαφύστιον καὶ ἐς τοῦ Διὸς τοῦ 5
Λαφυστίου τὸ τέμενός εἰσιν ἐκ Κορωνείας στάδιοι μά-
λιστα εἴκοσι. λίθου μὲν τὸ ἄγαλμά ἐστιν· Ἀθάμαντος
δὲ θύειν Φρίξον καὶ Ἕλλην ἐνταῦθα μέλλοντος πεμφθῆ-
ναι κριὸν τοῖς παισί φασιν ὑπὸ Διός, ἔχοντα τὸ ἔριον
779 χρυσοῦν, καὶ ἀποδρᾶναι σφᾶς ἐπὶ τοῦ κριοῦ τούτου.
Ἀνωτέρω δέ ἐστιν Ἡρακλῆς Χάροψ ἐπίκλησιν· ἐνταῦθα
δὲ οἱ Βοιωτοὶ λέγουσιν ἀναβῆναι τὸν Ἡρακλέα ἄγοντα
τοῦ Ἅιδου τὸν κύνα. Ἐκ δὲ Λαφυστίου κατιόντι ἐς τῆς
Ἰτωνίας Ἀθηνᾶς τὸ ἱερὸν ποταμός ἐστι Φάλαρος ἐς τὴν
Κηφισίδα ἐκδιδοὺς λίμνην.

5. Τοῦ δὲ ὄρους τοῦ Λαφυστίου πέραν ἐστὶν Ὀρχο- 6
μενός, εἴ τις Ἕλλησιν ἄλλη πόλις, ἐπιφανὴς καὶ αὕτη
ἐς δόξαν. εὐδαιμονίας δέ ποτε ἐπὶ μέγιστον προαχθεῖ-
σαν ἔμελλεν ἄρα ὑποδέξεσθαι τέλος καὶ ταύτην οὐ πολύ
τι ἀποδέον ἢ Μυκήνας τε καὶ Δῆλον. περὶ δὲ τῶν ἀρ-
χαίων τοιαῦτ' ἦν ὁπόσα καὶ μνημονεύουσιν. Ἀνδρέα
πρῶτον ἐνταῦθα Πηνειοῦ παῖδα τοῦ ποταμοῦ λέγουσιν
ἐποικῆσαι, καὶ ἀπὸ τούτου τὴν γῆν Ἀνδρηΐδα ὀνομα-
σθῆναι. Παραγενομένου δὲ ὡς αὐτὸν Ἀθάμαντος, ἀπέ- 7
νειμε τῆς αὐτοῦ τῷ Ἀθάμαντι τήν τε περὶ τὸ Λαφύστιον
χώραν καὶ τὴν νῦν Κορώνειαν καὶ Ἁλιαρτίαν. Ἀθάμας

*δὲ ἅτε οὐδένα οἱ παίδων τῶν ἀρσένων λελεῖφθαι νομί-
ζων, τὰ μὲν γὰρ ἐς Λέαρχόν τε καὶ Μελικέρτην ἐτόλμη-
σεν αὐτός, Λεύκωνι δὲ ὑπὸ νόσου τελευτῆσαι συνέβη,
Φρίξον δὲ ἄρα οὐκ ἠπίστατο ἢ αὐτὸν περιόντα ἢ γένος
ὑπολειπόμενον Φρίξου, τούτων ἕνεκα ἐποιήσατο Ἁλίαρ-
τον καὶ Κόρωνον τοὺς Θερσάνδρου τοῦ Σισύφου· Σι-
8 σύφου γὰρ ἀδελφὸς ἦν ὁ Ἀθάμας. Ὕστερον δὲ ἀνα-
στρέψαντος ἐκ Κόλχων οἱ μὲν αὐτοῦ Φρίξου φασίν, οἱ
δὲ Πρέσβωνος, γεγονέναι δὲ Φρίξῳ τὸν Πρέσβωνα ἐκ
τῆς Αἰήτου θυγατρός, οὕτω συγχωροῦσιν οἱ Θερσάν-
δρου παῖδες οἶκον μὲν τὸν Ἀθάμαντος Ἀθάμαντι καὶ
τοῖς ἀπὸ ἐκείνου προσήκειν, αὐτοὶ δέ, μοῖραν γὰρ δί-
δωσί σφισιν Ἀθάμας τῆς γῆς, Ἁλιάρτου καὶ Κορωνείας
9 ἐγένοντο οἰκισταί. Πρότερον δὲ ἔτι τούτων Ἀνδρεὺς
Εὐΐππην θυγατέρα Λεύκωνος λαμβάνει παρὰ Ἀθάμαν-
τος γυναῖκα, καὶ υἱὸς Ἐτεοκλῆς αὐτῷ γίνεται, Κηφισοῦ
δὲ τοῦ ποταμοῦ κατὰ τῶν ποιητῶν τὴν φήμην, ὥστε
καὶ τῶν ποιησάντων τινὲς Κηφισιάδην τὸν Ἐτεοκλέα
10 ἐκάλεσαν ἐν τοῖς ἔπεσιν. Οὗτος ὡς ἐβασίλευσεν ὁ Ἐτεο-
κλῆς, τὴν μὲν χώραν ἀπὸ Ἀνδρέως ἔχειν τὸ ὄνομα* 780
*εἴασε, φυλὰς δὲ Κηφισιάδα, τὴν δὲ ἑτέραν ἐπώνυμον
αὑτῷ κατεστήσατο. Ἀφικομένῳ δὲ πρὸς αὐτὸν Ἅλμῳ
τῷ Σισύφου δίδωσιν οἰκῆσαι τῆς χώρας οὐ πολλήν,
καὶ ἡ κώμη τότε ἐκλήθη Ἅλμωνες ἀπὸ τοῦ Ἅλμου τού-
του· χρόνῳ δὲ ἐξενίκησεν ὕστερον (ὄνομα) εἶναι τῇ
κώμῃ Ὄλμωνας.*

XXXV. *Τὸν δὲ Ἐτεοκλέα λέγουσιν οἱ Βοιωτοὶ Χάρι-
σιν ἀνθρώπων θῦσαι πρῶτον. καὶ ὅτι μὲν τρεῖς εἶναι
Χάριτας κατεστήσατο ἴσασιν, ὀνόματα δὲ οἷα ἔθετο
αὐταῖς οὐ μνημονεύουσιν· ἐπεὶ Λακεδαιμόνιοί γε εἶναι
Χάριτας δύο καὶ Λακεδαίμονα ἱδρύσασθαι τὸν Ταϋγέ-
της φασὶν αὐτάς, καὶ ὀνόματα θέσθαι Κλήταν καὶ Φαέν-*

ναν. Ἐοικότα μὲν δὴ Χάρισιν ὀνόματα καὶ ταῦτα, ἐοι- 2
κότα δὲ καὶ παρ' Ἀθηναίοις· τιμῶσι γὰρ ἐκ παλαιοῦ
καὶ Ἀθηναῖοι Χάριτας Αὐξὼ καὶ Ἡγεμόνην. τὸ γὰρ τῆς
Καρποῦς ἐστὶν οὐ Χάριτος ἀλλὰ Ὥρας ὄνομα· τῇ δὲ
ἑτέρᾳ τῶν Ὡρῶν νέμουσιν ὁμοῦ τῇ Πανδρόσῳ τιμὰς οἱ
Ἀθηναῖοι, Θαλλὼ τὴν θεὸν ὀνομάζοντες. Παρὰ δὲ 3
Ἐτεοκλέους τοῦ Ὀρχομενίου μαθόντες τρισὶν ἤδη νομί-
ζομεν Χάρισιν εὔχεσθαι· καὶ Ἀγγελίων τε καὶ Τεκταῖος
οἵ γε Διονύσου τὸν Ἀπόλλωνα ἐργαζόμενοι Δηλίοις,
τρεῖς ἐποίησαν ἐπὶ τῇ χειρὶ αὐτοῦ Χάριτας· καὶ Ἀθή-
νησι πρὸ τῆς ἐς τὴν ἀκρόπολιν ἐσόδου Χάριτές εἰσι καὶ
αὗται τρεῖς· παρὰ δὲ αὐταῖς τελετὴν ἄγουσιν ἐς τοὺς
781 πολλοὺς ἀπόρρητον. Πάμφως μὲν δὴ πρῶτος ὧν ἴσμεν 4
ᾖσεν ἐς Χάριτας, πέρα δὲ οὔτε ἀριθμοῦ πέρι οὔτε ἐς τὰ
ὀνόματά ἐστιν οὐδὲν αὐτῷ πεποιημένον· Ὅμηρος δέ,
ἐμνημόνευσε γὰρ Χαρίτων καὶ οὗτος, τὴν μὲν Ἡφαίστου
γυναῖκα εἶναι λέγει, καὶ ὄνομα αὐτῇ τίθεται Χάριν,
Πασιθέας δὲ εἶναί φησιν ἐραστὴν *** [ἐν δὲ] Ὕπνου
τοῖς λόγοις τὸ ἔπος ἐποίησεν

Ἦ μέν μοι δώσειν Χαρίτων μίαν ὁπλοτεράων.

Τούτου δὲ ἕνεκα ὑπόνοια δὴ παρέστη τισὶν ὡς Χάριτας
ἄρα καὶ πρεσβυτέρας οἶδεν ἄλλας Ὅμηρος. Ἡσίοδος δὲ 5
ἐν Θεογονίᾳ, προσιέσθω δὲ ὅτῳ φίλον τὴν Θεογονίαν,
ἐν δ' οὖν τῇ ποιήσει ταύτῃ τὰς Χάριτάς φησιν εἶναι Διός
τε καὶ Εὐρυνόμης, καί σφισιν ὀνόματα Εὐφροσύνην τε
καὶ Ἀγλαΐαν εἶναι καὶ Θαλίαν. κατὰ ταὐτὰ δὲ ἐν ἔπεσίν
ἐστι τοῖς Ὀνομακρίτου. Ἀντίμαχος δὲ οὔτε ἀριθμὸν Χα-
ρίτων οὔτε ὄνομα εἰπὼν Αἴγλης εἶναι θυγατέρας καὶ
Ἡλίου φησὶν αὐτάς. Ἑρμησιάνακτι δὲ τῷ τὰ ἐλεγεῖα γρά-
ψαντι τοσόνδε οὐ κατὰ τὴν τῶν πρότερον δόξαν ἐστὶν
αὐτῷ πεποιημένον, ὡς ἡ Πειθὼ Χαρίτων εἴη καὶ αὐτὴ
μία. 2. Ὅστις δὲ ἦν ἀνθρώπων ὁ γυμνὰς πρῶτος Χάριτας 6

ἤτοι πλάσας ἢ γραφῇ μιμησάμενος, οὐχ οἷόν τε ἐγένετο πυθέσθαι με, ἐπεὶ τά γε ἀρχαιότερα ἐχούσας ἐσθῆτα οἵ τε πλάσται καὶ κατὰ ταὐτὰ ἐποίουν οἱ ζωγράφοι, καὶ Σμυρναίοις τοῦτο μὲν ἐν τῷ ἱερῷ τῶν Νεμέσεων ὑπὲρ τῶν ἀγαλμάτων χρυσοῦ Χάριτες ἀνάκεινται, τέχνη Βουπάλου, τοῦτο δέ σφισιν ἐν τῷ Ὠιδείῳ Χάριτός ἐστιν
εἰκών, Ἀπελλοῦ γραφή, Περγαμηνοῖς δὲ ὡσαύτως ἐν 782
7 τῷ Ἀττάλου θαλάμῳ, Βουπάλου καὶ αὗται· καὶ πρὸς τῷ ὀνομαζομένῳ Πυθίῳ Χάριτες καὶ ἐνταῦθά εἰσι, Πυθαγόρου γράψαντος Παρίου· Σωκράτης τε ὁ Σωφρονίσκου πρὸ τῆς ἐς τὴν ἀκρόπολιν ἐσόδου Χαρίτων εἰργάσατο ἀγάλματα Ἀθηναίοις. καὶ ταῦτα μέν ἐστιν ὁμοίως ἅπαντα ἐν ἐσθῆτι· οἱ δὲ ὕστερον, οὐκ οἶδα ἐφ' ὅτῳ, μεταβεβλήκασι τὸ σχῆμα αὐταῖς. Χάριτας γοῦν οἱ κατ' ἐμὲ ἔπλασσόν τε καὶ ἔγραφον γυμνάς.

XXXVI. Γενομένης δὲ Ἐτεοκλεῖ τῆς τελευτῆς ἡ βασιλεία περιῆλθεν ἐς τὸ Ἄλμου γένος. Ἄλμῳ δὲ αὐτῷ μὲν θυγατέρες Χρυσογένεια ἐγένετο καὶ Χρύση· Χρύσης δὲ τῆς Ἄλμου καὶ Ἄρεως ἔχει φήμη γενέσθαι Φλεγύαν, καὶ τὴν ἀρχήν, τοῦ Ἐτεοκλέους ἀποθανόντος ἄπαιδος, ὁ Φλεγύας ἔσχεν οὗτος. Τῇ μὲν δὴ χώρᾳ τῇ πάσῃ Φλεγυαντίδα ὄνομα εἶναι μετέθεντο ἀντὶ Ἀνδρηΐ-
2 δος, πόλις δὲ ἐγένετο ἥ τε ἐξ ἀρχῆς οἰκισθεῖσα ἡ Ἀνδρηΐς, καὶ προσέκτισεν ὁ Φλεγύας ὁμώνυμον αὑτῷ, τοὺς τὰ πολεμικὰ ἀρίστους Ἑλλήνων συλλέξας ἐς αὐτήν. 2. Καὶ ἀπέστησάν τε ἀνὰ χρόνον ἀπὸ τῶν ἄλλων Ὀρχομενίων ὑπὸ ἀνοίας καὶ τόλμης οἱ Φλεγύαι, καὶ ἦγον καὶ ἔφερον τοὺς προσοίκους· τέλος δὲ καὶ ἐπὶ τὸ ἱερὸν συλήσοντες στρατεύουσι τὸ ἐν Δελφοῖς, ὅτε καὶ Φιλάμμων λογάσιν Ἀργείων ἐπ' αὐτοὺς βοηθήσας αὐτός τε
3 ἀπέθανεν ἐν τῇ μάχῃ καὶ οἱ τῶν Ἀργείων λογάδες. Τοὺς δὲ Φλεγύας πολέμῳ μάλιστα Ἑλλήνων χαίρειν μαρτυρεῖ

μοι καὶ ἔπη τῶν ἐν Ἰλιάδι περὶ Ἄρεως καὶ Φόβου τοῦ Ἄρεως πεποιημένα,

> Τὼ μὲν ἄρ' εἰς Ἐφύρους πόλεμον μέτα θωρήσσεσθον
> ἠὲ μετὰ Φλεγύας μεγαλήτορας.

783 Ἐφύρους δὲ ἐνταῦθα, ἐμοὶ δοκεῖν, τοὺς ἐν τῇ Θεσπρωτίδι ἠπείρῳ λέγει. Τὸ μὲν δὴ Φλεγυῶν γένος ἀνέτρεψεν ἐκ βάθρων ὁ θεὸς κεραυνοῖς συνεχέσι καὶ ἰσχυροῖς σεισμοῖς· τοὺς δὲ ὑπολειπομένους νόσος ἐπιπεσοῦσα ἔφθειρε λοιμώδης· ὀλίγοι δὲ καὶ ἐς τὴν Φωκίδα διαφεύγουσιν ἐξ αὐτῶν.

3. Φλεγύᾳ δὲ οὐ γενομένων παίδων ἐκδέχεται Χρύ- 4
σης τὴν ἀρχήν, Χρυσογενείας τε ὢν τῆς Ἅλμου καὶ Ποσειδῶνος. τούτῳ δὲ υἱὸς γίνεται Χρύσῃ Μινύας, καὶ ἀπ' αὐτοῦ Μινύαι καὶ νῦν ἔτι ὧν ἦρχεν ὀνομάζονται. Πρόσοδοι δὲ ἐγίνοντο τῷ Μινύᾳ τηλικαῦται μέγεθος ὡς ὑπερβαλέσθαι τοὺς πρὸ αὐτοῦ πλούτῳ· θησαυρόν τε ἀνθρώπων ὧν ἴσμεν Μινύας πρῶτος ἐς ὑποδοχὴν
χρημάτων ᾠκοδομήσατο. Ἕλληνες δὲ ἄρα εἰσὶ δεινοὶ τὰ 5
ὑπερόρια ἐν θαύματι τίθεσθαι μείζονι ἢ τὰ οἰκεῖα, ὁπότε γε ἀνδράσιν ἐπιφανέσιν ἐς συγγραφὴν πυραμίδας μὲν τὰς παρὰ Αἰγυπτίοις ἐπῆλθεν ἐξηγήσασθαι πρὸς τὸ ἀκριβέστατον, θησαυρὸν δὲ τὸν Μινύου καὶ τὰ τείχη τὰ ἐν Τίρυνθι οὐδὲ ἐπὶ βραχὺ ἤγαγον μνήμης, οὐδὲν ὄντα
ἐλάττονος θαύματος. 4. Μινύου δὲ ἦν Ὀρχομενός, καὶ 6
ἐπὶ τούτου βασιλεύοντος ἥ τε πόλις Ὀρχομενὸς καὶ οἱ ἄνδρες ἐκλήθησαν Ὀρχομένιοι· διέμεινε δὲ οὐδὲν ἧσσον καὶ Μινύας ἐπονομάζεσθαι σφᾶς ἐς διάκρισιν ἀπὸ Ὀρχομενίων τῶν ἐν Ἀρκαδίᾳ. Παρὰ τοῦτον τὸν Ὀρχομενὸν βασιλεύοντα Ὕηττος ἀφίκετο ἐξ Ἄργους, φεύγων ἐπὶ τῷ Μολούρου φόνῳ τοῦ Ἀρίσβαντος, ὅντινα ἀπέκτεινεν ἐπὶ γυναικὶ ἑλὼν γαμετῇ· καὶ αὐτῷ τῆς χώρας ἀπένειμεν Ὀρχομενὸς ὅση νῦν περί τε Ὕηττόν ἐστι τὴν κώμην

7 καὶ ἡ ταύτη προσεχής. Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθεὶς ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες·

Ὕηττος δὲ Μόλουρον Ἀρίσβαντος φίλον υἱόν
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ᾽ ἧς ἀλόχοιο,
οἶκον ἀποπρολιπὼν φεῦγ᾽ Ἄργεος ἱπποβότοιο, 784
ἷξεν δ᾽ Ὀρχομενὸν Μινυήιον· καί μιν ὅ γ᾽ ἥρως
δέξατο, καὶ κτεάνων μοῖραν πόρεν ὡς ἐπιεικές.

8 Πρῶτος δὲ οὗτος ὁ Ὕηττος δίκην μοιχείας λαβὼν δῆλός ἐστι· καὶ χρόνῳ ὕστερον Δράκοντος Ἀθηναίοις θεσμοθετήσαντος ἐκ τῶν ἐκείνου κατέστη νόμων, οὓς ἔγραφεν ἐπὶ τῆς ἀρχῆς, ἄλλων τε ὁπόσων ἄδειαν εἶναι χρή, καὶ δὴ καὶ τιμωρίας μοιχοῦ. Τὸ δὲ ἀξίωμα τῶν Μινυῶν ἐπὶ τοσοῦτο ἤδη προῆκτο, ὥστε καὶ Νηλεὺς Κρηθέως βασιλεύων Πύλου γυναῖκα ἔσχεν ἐξ Ὀρχομενοῦ Χλῶριν Ἀμφίονος τοῦ Ἰασίου.

XXXVII. Ἔδει δὲ ἄρα παυσθῆναι καὶ τὸ Ἄλμου γένος· οὐχ ὑπολείπεται γὰρ παῖδα Ὀρχομενός, καὶ οὕτως ἐς Κλύμενον τὸν Πρέσβωνος τοῦ Φρίξου περιῆλθεν ἡ ἀρχή. Κλυμένου δὲ γίνονται παῖδες, πρεσβύτατος μὲν Ἐργῖνος, ἐπὶ δὲ αὐτῷ Στράτιος καὶ Ἄρρων καὶ Πύλεος, νεώτατος δὲ Ἀζεύς. 2. Κλύμενον μὲν ἐν τῇ ἑορτῇ τοῦ Ὀγχηστίου Ποσειδῶνος Θηβαίων φονεύουσιν ἄνδρες, ἐξ ἀφορμῆς μικρᾶς ἐς ἅπαν θυμοῦ προαχθέντες· Ἐργῖνος δὲ ὁ πρεσβύτατος τῶν Κλυμένου παίδων τὴν βασι-
2 λείαν παραλαμβάνει. Δύναμιν δὲ αὐτίκα αὐτός τε καὶ οἱ ἀδελφοὶ συλλέξαντες ἦλθον ἐπὶ τὰς Θήβας· καὶ μάχῃ μὲν ἐκράτησαν, τὸ δὲ ἀπὸ τούτου χωροῦσιν ἐς ὁμολογίαν Θηβαίους κατὰ ἔτος ἕκαστον τελεῖν δασμὸν τοῦ Κλυμένου φόνου. Ἡρακλέους δὲ ἐπιτραφέντος ἐν Θήβαις, οὕτω τοῦ δασμοῦ τε ἠλευθερώθησαν οἱ Θηβαῖοι
3 καὶ οἱ Μινύαι μεγάλως τῷ πολέμῳ προσέπταισαν. Ἐργῖνος δὲ ἅτε κεκακωμένων ἐς τὸ ἔσχατον τῶν πολιτῶν

πρὸς μὲν τὸν Ἡρακλέα ἐποιήσατο εἰρήνην, πλοῦτον δὲ
785 τὸν πρότερον καὶ εὐδαιμονίαν ἐκείνην ἀνασώσασθαι
ζητῶν ἠμέλησεν ἁπάντων ὁμοίως τῶν ἄλλων, ὥστε καὶ
ἔλαθεν ἄγαμος καὶ ἄπαις ἀφικόμενος ἐς γῆρας. Ὡς δὲ
αὐτῷ χρήματα συνείλεκτο, ἐνταῦθα ἐπεθύμησέν οἱ γε-
νέσθαι παῖδας· ἐλθόντι δὲ ἐς Δελφοὺς καὶ ἐρομένῳ 4
περὶ παίδων χρᾷ τάδε ἡ Πυθία·

Ἐργῖνε Κλυμένοιο πάϊ Πρεσβωνιάδαο,
ὄψ' ἦλθες γενεὴν διζήμενος, ἀλλ' ἔτι καὶ νῦν
ἱστοβοῆϊ γέροντι νέην ποτίβαλλε κορώνην.

3. Λαβόντι δὲ αὐτῷ νέαν γυναῖκα κατὰ τὸ μάντευμα
Τροφώνιος γίνεται καὶ Ἀγαμήδης. λέγεται δὲ ὁ Τρο- 5
φώνιος Ἀπόλλωνος εἶναι καὶ οὐκ Ἐργίνου· καὶ ἐγώ τε
πείθομαι καὶ ὅστις παρὰ Τροφώνιον ἦλθε δὴ μαντευ-
σόμενος. Τούτους φασίν, ὡς ηὐξήθησαν, γενέσθαι
δεινοὺς θεοῖς τε ἱερὰ κατασκευάσασθαι καὶ βασίλεια
ἀνθρώποις· καὶ γὰρ τῷ Ἀπόλλωνι τὸν ναὸν ᾠκοδόμη-
σαν τὸν ἐν Δελφοῖς καὶ Ὑριεῖ τὸν θησαυρόν. Ἐποίησαν
δὲ ἐνταῦθα τῶν λίθων ἕνα εἶναί σφισιν ἀφαιρεῖν κατὰ
τὸ ἐκτός· καὶ οἱ μὲν ἀεί τι ἀπὸ τῶν τιθεμένων ἐλάμβα-
νον· Ὑριεὺς δὲ εἴχετο ἀφασίᾳ, κλεῖς μὲν καὶ σημεῖα τὰ
ἄλλα ὁρῶν ἀκίνητα, τὸν δὲ ἀριθμὸν ἀεὶ τῶν χρημάτων
ἐλάττονα. ἵστησιν οὖν ὑπὲρ τῶν ἀγγείων, ἐν οἷς ὅ τε 6
ἄργυρος ἐνῆν καὶ ὁ χρυσός οἱ, πάγας ἤ τι καὶ ἄλλο, ὃ
τὸν ἐσελθόντα καὶ ἁπτόμενον τῶν χρημάτων καθέξειν
ἔμελλεν. ἐσελθόντος δὲ τοῦ Ἀγαμήδους, τὸν μὲν ὁ
δεσμὸς κατεῖχε, Τροφώνιος δὲ ἀπέτεμεν αὐτοῦ τὴν κε-
φαλήν, ὅπως μὴ ἡμέρας ἐπισχούσης ἐκεῖνος γένοιτο ἐν
αἰκίαις καὶ αὐτὸς μηνυθείη μετέχων τοῦ τολμήματος.
786 Καὶ Τροφώνιον μὲν ἐνταῦθα ἐδέξατο ἡ γῆ διαστᾶσα, 7
ἔνθα ἐστὶν ἐν τῷ ἄλσει τῷ ἐν Λεβαδείᾳ βόθρος τε Ἀγα-
μήδους καλούμενος καὶ πρὸς αὐτῷ στήλη. Τὴν δὲ ἀρχὴν

τῶν Ὀρχομενίων ἔσχεν Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεως εἶναι λεγόμενοι· μητρὸς δὲ Ἀστυόχης ἦσαν τῆς Ἄκτορος τοῦ Ἀζέως τοῦ Κλυμένου· καὶ ὑπὸ τούτοις ἡγεμόσι Μι-
8 νύαι στρατεύουσιν ἐς Τροίαν. Μετέσχον Ὀρχομένιοι καὶ τοῖς Κόδρου παισὶν ἐς Ἰωνίαν τοῦ στόλου. Γενομένους δὲ ἀναστάτους ὑπὸ Θηβαίων κατήγαγεν αὖθις ἐς Ὀρχομενὸν Φίλιππος ὁ Ἀμύντου· τὰ δὲ ἀπὸ τοῦ δαιμονίου σφίσιν ἐς τὸ ἀσθενέστερον ἔμελλεν ἀεὶ ῥέψειν.

XXXVIII. Ὀρχομενίοις δὲ πεποίηται ** καὶ Διονύσου, τὸ δὲ ἀρχαιότατον Χαρίτων ἐστὶν ἱερόν. τὰς μὲν δὴ πέτρας σέβουσί τε μάλιστα, καὶ τῷ Ἐτεοκλεῖ αὐτὰς πεσεῖν ἐκ τοῦ οὐρανοῦ φασίν· τὰ δὲ ἀγάλματα τὰ σὺν κόσμῳ πεποιημένα ἀνετέθη μὲν ἐπ' ἐμοῦ, λίθου δέ ἐστι
2 καὶ ταῦτα. 2. Ἔστι δέ σφισι καὶ κρήνη θέας ἀξία· καταβαίνουσι δὲ ἐς αὐτὴν ὕδωρ οἴσοντες. Θησαυρὸς δὲ ὁ Μινύου, θαῦμα ὂν τῶν ἐν Ἑλλάδι αὐτῇ καὶ τῶν ἑτέρωθι οὐδενὸς ὕστερον, πεποίηται τρόπον τοιόνδε· λίθου μὲν εἴργασται, σχῆμα δὲ περιφερές ἐστιν αὐτῷ, κορυφὴ δὲ οὐκ ἐς ἄγαν ὀξὺ ἀνηγμένη· τὸν δὲ ἀνωτάτω τῶν λίθων
3 φασὶν ἁρμονίαν παντὶ εἶναι τῷ οἰκοδομήματι. 3. Τάφοι δὲ Μινύου τε καὶ Ἡσιόδου. καταδέξασθαι δέ φασιν οὕτω τοῦ Ἡσιόδου τὰ ὀστᾶ. νόσου καταλαμβανούσης λοιμώδους καὶ ἀνθρώπους καὶ τὰ βοσκήματα ἀποστέλλουσι θεωροὺς παρὰ τὸν θεόν. τούτοις δὲ ἀποκρίνασθαι λέγουσι τὴν Πυθίαν, Ἡσιόδου τὰ ὀστᾶ ἐκ τῆς Ναυπακτίας ἀγαγοῦσιν ἐς τὴν Ὀρχομενίαν, ἄλλο δὲ εἶναί σφισιν οὐδὲν ἴαμα. τότε δὲ ἐπερέσθαι δεύτερα ὅπου 787
τῆς Ναυπακτίας αὐτὰ ἐξευρήσουσι, καὶ αὖθις τὴν Πυ-
4 θίαν εἰπεῖν ὡς μηνύσοι κορώνη σφίσιν. οὕτω τοῖς θεοπρόποις ἀποβᾶσιν ἐς τὴν γῆν πέτραν τε οὐ πόρρω τῆς ὁδοῦ καὶ τὴν ὄρνιθα ἐπὶ τῇ πέτρᾳ φασὶν ὀφθῆναι· καὶ

τοῦ Ἡσιόδου [τε] τὰ ὀστᾶ εὗρον ἐν χηραμῷ τῆς πέτρας, καὶ ἐλεγεῖα ἐπὶ τῷ μνήματι ἐπιγέγραπται·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

4. Περὶ δὲ Ἀκταίωνος λεγόμενα ἦν Ὀρχομενίοις, 5
λυμαίνεσθαι τὴν γῆν πέτραν ἔχον εἴδωλον. ὡς δὲ ἐχρῶντο ἐν Δελφοῖς, κελεύει σφίσιν ὁ θεός, ἀνευρόντας εἴ τι ἦν Ἀκταίωνος λοιπόν, κρύψαι γῇ· κελεύει δὲ καὶ τοῦ εἰδώλου χαλκῆν ποιησαμένους εἰκόνα πρὸς πέτρᾳ σιδήρῳ δῆσαι. τοῦτο καὶ αὐτὸς δεδεμένον τὸ ἄγαλμα εἶδον· καὶ τῷ Ἀκταίωνι ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος.

5. Σταδίους δὲ ἀφέστηκεν ἑπτὰ Ὀρχομενοῦ ναός τε 6
Ἡρακλέους καὶ ἄγαλμα οὐ μέγα. ἐνταῦθα τοῦ ποταμοῦ τοῦ Μέλανός εἰσιν αἱ πηγαί, καὶ ὁ Μέλας ἐς λίμνην καὶ οὗτος τὴν Κηφισίδα ἐκδίδωσιν. Ἐπέχει μὲν δὴ καὶ ἄλλως τῆς Ὀρχομενίας τὸ πολὺ ἡ λίμνη, χειμῶνος δὲ ὥρᾳ νότου τὰ πλείω πνεύσαντος ἔπεισιν ἐπὶ πλέον τῆς χώρας
τὸ ὕδωρ. Θηβαῖοι δὲ τὸν ποταμὸν τὸν Κηφισόν φασιν 7
ὑπὸ Ἡρακλέους ἐς τὸ πεδίον ἀποστραφῆναι τὸ Ὀρχομένιον· τέως δὲ αὐτὸν ὑπὸ τὸ ὄρος ἐς θάλασσαν ἐξιέναι, πρὶν ἢ τὸν Ἡρακλέα τὸ χάσμα ἐμφράξαι τὸ διὰ τοῦ
788 ὄρους. Ἐπίσταται μὲν οὖν καὶ Ὅμηρος λίμνην ἄλλως
τὴν Κηφισίδα οὖσαν καὶ οὐχ ὑπὸ Ἡρακλέους πεποιημένην, καὶ ἐπὶ τῷδε εἴρηκε·

λίμνῃ κεκλιμένος Κηφισίδι·

6. Ἔχει δὲ οὐδὲ εἰκότα λόγον τοὺς Ὀρχομενίους μὴ καὶ τὸ 8
χάσμα ἐξευρεῖν καὶ τοῦ Ἡρακλέους ἀναρρήξαντας τὸ ἔργον ἀποδοῦναι τὴν διέξοδον τῷ Κηφισῷ τὴν ἀρχαίαν, ἐπεὶ μηδὲ ἄχρι τῶν Τρωϊκῶν χρήμασιν ἀδυνάτως εἶχον.

μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος ἐν Ἀχιλλέως ἀποκρίσει πρὸς τοὺς παρὰ Ἀγαμέμνονος πρέσβεις·

οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται,

δῆλα δήπουθεν ὡς καὶ τότε προσιόντων τοῖς Ὀρχομενίοις χρημάτων πολλῶν.

9 *Ἀσπληδόνα δὲ ἐκλιπεῖν τοὺς οἰκήτοράς φασιν ὕδατος σπανίζοντας· γενέσθαι δὲ τὸ ὄνομα ἀπὸ Ἀσπληδόνος τῇ πόλει, τοῦτον δὲ εἶναι νύμφης τε Μιδείας καὶ Ποσειδῶνος. ὁμολογεῖ δὲ καὶ ἔπη σφίσιν ἃ ἐποίησε Χερσίας, ἀνὴρ Ὀρχομένιος·*

ἐκ δὲ Ποσειδάωνος ἀγακλειτῆς τε Μιδείης
Ἀσπληδὼν γένεθ' υἱὸς ἀν' εὐρύχορον πτολίεθρον.

10 *Τοῦδε τοῦ Χερσίου τῶν ἐπῶν οὐδεμία ἦν ἔτι κατ' ἐμὲ μνήμη, ἀλλὰ καὶ τάδε ἐπηγάγετο ὁ Κάλλιππος ἐς τὸν αὐτὸν λόγον τὸν ἔχοντα ἐς Ὀρχομενίους. τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ ἐπὶ τῷ Ἡσιόδου τάφῳ μνημονεύουσιν.*

XXXIX. *Τὰ μὲν δὴ πρὸς τῶν ὀρῶν Φωκεῖς ὑπεροικοῦσιν Ὀρχομενίων, ἐν δὲ τῷ πεδίῳ Λεβάδειά ἐστιν αὐτοῖς ὅμορος. αὕτη τὸ μὲν ἐξ ἀρχῆς ᾤκεῖτο ἐπὶ μετεώρου, καὶ ὠνομάζετο Μίδεια ἀπὸ τῆς Ἀσπληδόνος μητρός· Λεβάδου δὲ ἐξ Ἀθηνῶν ἐς αὐτὴν ἀφικομένου κατέβησάν τε ἐς τὸ χθαμαλὸν οἱ ἄνθρωποι, καὶ ἐκλήθη Λεβάδεια ἡ πόλις ἀπ' αὐτοῦ. πατέρα δὲ τοῦ Λεβάδου, καὶ καθ' ἥντινα αἰτίαν ἦλθεν, οὐκ ἴσασιν ἄλλο ἢ γυναῖκα εἶναι*
2 *Λεβάδου Λαονίκην.* 2. *Κεκόσμηται μὲν δὴ τὰ ἄλλα σφί-* 789
*σιν ἡ πόλις ὁμοίως τοῖς Ἑλλήνων μάλιστα εὐδαίμοσι, διείργει δὲ ἀπ' αὐτῆς τὸ ἄλσος τοῦ Τροφωνίου *** φασὶ δ' ἐνταῦθα Ἕρκυναν ὁμοῦ Κόρῃ τῇ Δήμητρος παίζουσαν καὶ ἔχουσαν χῆνα ἀφεῖναι τοῦτον ἄκουσαν· ἐς δὲ ἄντρον κοῖλον ἐσπτάντος καὶ ὑπὸ λίθον ἀποκρύψαντος αὐτόν, ἐσελθοῦσα ἡ Κόρη λαμβάνει τὸν ὄρνιθα*

ὑπὸ τῷ λίθῳ κατακείμενον· ῥυῆναί τε δὴ τὸ ὕδωρ ὅθεν ἀνείλετο ἡ Κόρη τὸν λίθον, καὶ ὀνομασθῆναι τὸν ποταμὸν ἐπὶ τούτῳ λέγουσιν Ἕρκυναν. Καὶ ἔστι μὲν πρὸς τῇ 3
ὄχθῃ τοῦ ποταμοῦ ναὸς Ἑρκύνης, ἐν δὲ αὐτῷ παρθένος χῆνα ἔχουσα ἐν ταῖς χερσίν· εἰσὶ δὲ ἐν τῷ σπηλαίῳ τοῦ ποταμοῦ τε αἱ πηγαὶ καὶ ἀγάλματα ὀρθά, περιειλιγμένοι δέ εἰσιν αὐτῶν τοῖς σκήπτροις δράκοντες. ταῦτα εἰκάσαι μὲν ἄν τις Ἀσκληπιοῦ τε εἶναι καὶ Ὑγιείας, εἶεν δ' ἂν Τροφώνιος καὶ Ἕρκυνα, ἐπεὶ μηδὲ τοὺς δράκοντας Ἀσκληπιοῦ μᾶλλον ἢ καὶ Τροφωνίου νομίζουσιν ἱεροὺς εἶναι. Ἐπὶ δὲ τῷ ποταμῷ μνῆμά ἐστιν Ἀρκεσιλάου· Λήϊτον δὲ ἀνακομίσαι τοῦ Ἀρκεσιλάου τὰ ὀστᾶ ἐκ Τροίας.
3. Τὰ δὲ ἐπιφανέστατα ἐν τῷ ἄλσει Τροφωνίου ναὸς καὶ 4
ἄγαλμά ἐστιν, Ἀσκληπιῷ καὶ τοῦτο εἰκασμένον· Πραξιτέλης δὲ ἐποίησε τὸ ἄγαλμα. ἔστι δὲ καὶ Δήμητρος ἱερὸν ἐπίκλησιν Εὐρώπης, καὶ Ζεὺς Ὑέτιος ἐν ὑπαίθρῳ. ἀναβᾶσι δὲ ἐπὶ τὸ μαντεῖον, καὶ αὐτόθεν ἰοῦσιν ἐς τὸ πρόσω τοῦ ὄρους, Κόρης ἐστὶ καλουμένη θήρα καὶ Διὸς Βασιλέως ναός. τοῦτον μὲν δὴ διὰ τὸ μέγεθος ἢ καὶ τῶν πολέμων τὸ ἀλλεπάλληλον ἀφείκασιν ἡμίεργον· ἐν δὲ ἑτέρῳ ναῷ Κρόνου καὶ Ἥρας καὶ Διός ἐστιν ἀγάλματα. ἔστι δὲ καὶ Ἀπόλλωνος ἱερόν. 4. Κατὰ δὲ τὸ μαν- 5
τεῖον τοιάδε γίνεται. ἐπειδὰν ἀνδρὶ ἐς τοῦ Τροφωνίου κατιέναι δόξῃ, πρῶτα μὲν τεταγμένων ἡμερῶν δίαιταν ἐν οἰκήματι ἔχει· τὸ δὲ οἴκημα Δαίμονός τε ἀγαθοῦ καὶ Τύχης ἱερόν ἐστιν ἀγαθῆς. διαιτώμενός τε ἐνταῦθα τά
790 τε ἄλλα καθαρεύει καὶ λουτρῶν εἴργεται θερμῶν· τὸ δὲ λουτρὸν ὁ ποταμός ἐστιν ἡ Ἕρκυνα· καί οἱ καὶ κρέα ἄφθονά ἐστιν ἀπὸ τῶν θυσιῶν· θύει γὰρ δὴ ὁ κατιὼν αὐτῷ τε τῷ Τροφωνίῳ καὶ τοῦ Τροφωνίου τοῖς παισί, πρὸς δὲ Ἀπόλλωνί τε καὶ Κρόνῳ καὶ Διὶ ἐπίκλησιν Βασιλεῖ καὶ Ἥρᾳ τε Ἡνιόχῃ καὶ Δήμητρι ἣν ἐπονομάζοντες

6 Εὐρώπην τοῦ Τροφωνίου φασὶν εἶναι τροφόν. καθ'
ἑκάστην δὲ τῶν θυσιῶν ἀνὴρ μάντις παρὼν ἐς τοῦ ἱε-
ρείου τὰ σπλάγχνα ἐνορᾷ, ἐνιδὼν δὲ προθεσπίζει τῷ
κατιόντι εἰ δὴ αὐτὸν εὐμενὴς ὁ Τροφώνιος καὶ ἵλεως
δέξεται. τῶν μὲν δὴ ἄλλων ἱερείων τὰ σπλάγχνα οὐχ
ὁμοίως δηλοῖ τοῦ Τροφωνίου τὴν γνώμην· ἐν δὲ νυκτὶ
ᾗ κάτεισιν ἕκαστος, ἐν ταύτῃ κριὸν θύουσιν ἐς βόθρον,
ἐπικαλούμενοι τὸν Ἀγαμήδην. θυμάτων δὲ τῶν πρότε-
ρον πεφηνότων αἰσίων λόγος ἐστὶν οὐδείς, εἰ μὴ καὶ
τοῦδε τοῦ κριοῦ τὰ σπλάγχνα τὸ αὐτὸ θέλοι λέγειν· ὁμο-
λογούντων δὲ καὶ τούτων, τότε ἕκαστος ἤδη κάτεισιν
7 εὔελπις. κάτεισι δὲ οὕτω. Πρῶτα μὲν ἐν τῇ νυκτὶ αὐ-
τὸν ἄγουσιν ἐπὶ τὸν ποταμὸν τὴν Ἕρκυναν, ἀγαγόντες
δὲ ἐλαίῳ χρίουσι καὶ λούουσι δύο παῖδες τῶν ἀστῶν ἔτη
τρία που καὶ δέκα γεγονότες, οὓς Ἑρμᾶς ἐπονομάζουσιν·
οὗτοι τὸν καταβαίνοντά εἰσιν οἱ λούοντες καὶ ὁπόσα χρὴ
διακονούμενοι ἅτε παῖδες. τὸ ἐντεῦθεν ὑπὸ τῶν ἱερέων
οὐκ αὐτίκα ἐπὶ τὸ μαντεῖον, ἐπὶ δὲ ὕδατος πηγὰς ἄγεται·
8 αἱ δὲ ἐγγύτατά εἰσιν ἀλλήλων. ἐνταῦθα δὴ χρὴ πιεῖν
αὐτὸν Λήθης τε ὕδωρ καλούμενον, ἵνα λήθη γένηταί
οἱ πάντων ἃ τέως ἐφρόντιζε, καὶ ἐπὶ τῷδε ἄλλο αὖθις
ὕδωρ πίνει Μνημοσύνης, ἀπὸ τούτου τε μνημονεύει
τὰ ὀφθέντα οἱ καταβάντι. Θεασάμενος δὲ ἄγαλμα ὃ
ποιῆσαι Δαίδαλόν φασιν, ὑπὸ δὲ τῶν ἱερέων οὐκ ἐπι- 791
δείκνυται πλὴν ὅσοι παρὰ τὸν Τροφώνιον μέλλουσιν
ἔρχεσθαι, τοῦτο τὸ ἄγαλμα ἰδὼν καὶ θεραπεύσας τε καὶ
εὐξάμενος ἔρχεται πρὸς τὸ μαντεῖον, χιτῶνα ἐνδεδυκὼς
λινοῦν καὶ ταινίαις τὸν χιτῶνα ἐπιζωσθεὶς καὶ ὑποδη-
9 σάμενος ἐπιχωρίας κρηπῖδας. 5. Ἔστι δὲ τὸ μαντεῖον
ὑπὲρ τὸ ἄλσος ἐπὶ τοῦ ὄρους. κρηπὶς μὲν ἐν κύκλῳ
περιβέβληται λίθου λευκοῦ, περίοδος δὲ τῆς κρηπῖδος
κατὰ ἅλων τὴν ἐλαχίστην ἐστίν· ὕψος δὲ ἀποδέουσα δύο

εἶναι πήχεις. ἐφεστήκασι δὲ ἐπὶ τῇ κρηπῖδι ὀβελοὶ καὶ αὐτοὶ χαλκοῖ καὶ αἵ συνέχουσαι σφᾶς ζῶναι· διὰ δὲ αὐτῶν θύραι πεποίηνται. τοῦ περιβόλου δ' ἐντὸς χάσμα γῆς ἐστιν οὐκ αὐτόματον, ἀλλὰ σὺν τέχνῃ καὶ ἁρμονίᾳ πρὸς τὸ ἀκριβέστατον ᾠκοδομημένον. Τοῦ δὲ οἰκοδο- 10
μήματος τούτου τὸ σχῆμα εἴκασται κριβάνῳ· τὸ δὲ εὖρος ἡ διάμετρος αὐτοῦ τέσσαρας παρέχοιτο ἂν ὡς εἰκάσαι πήχεις· βάθος δὲ τοῦ οἰκοδομήματος οὐκ ἂν οὐδὲ τοῦτο εἰκάζοι τις ἐς πλέον ὀκτὼ καθήκειν πηχῶν. Κατάβασις δὲ οὐκ ἔστι πεποιημένη σφίσιν ἐς τὸ ἔδαφος· ἐπειδὰν δὲ ἀνὴρ ἔρχηται παρὰ τὸν Τροφώνιον, κλίμακα αὐτῷ κομίζουσι στενὴν καὶ ἐλαφράν. καταβάντι δέ ἐστιν ὀπὴ μεταξὺ τοῦ τε ἐδάφους καὶ τοῦ οἰκοδομήματος· σπιθαμῶν τὸ εὖρος δύο, τὸ δὲ ὕψος ἐφαίνετο εἶναι σπιθαμῆς.
Ὁ οὖν κατιὼν κατακλίνας ἑαυτὸν ἐς τὸ ἔδαφος, ἔχων 11
μάζας μεμαγμένας μέλιτι προεμβάλλει τε ἐς τὴν ὀπὴν τοὺς πόδας καὶ αὐτὸς ἐπιχωρεῖ, τὰ γόνατά οἱ τῆς ὀπῆς ἐντὸς γενέσθαι προθυμούμενος· τὸ δὲ λοιπὸν σῶμα αὐτίκα ἐφειλκύσθη τε καὶ τοῖς γόνασιν ἐπέδραμεν, ὥσπερ ποταμῶν ὁ μέγιστος καὶ ὠκύτατος συλληφθέντα ὑπὸ δίνης ἀποκρύψειεν ἂν ἄνθρωπον. Τὸ δὲ ἐντεῦθεν τοῖς ἐντὸς τοῦ ἀδύτου γενομένοις οὐχ εἷς οὐδὲ ὁ αὐτὸς τρόπος ἐστὶν ὅτῳ διδάσκονται τὰ μέλλοντα, ἀλλά πού τις καὶ εἶδε καὶ ἄλλος ἤκουσεν. Ἀναστρέψαι δὲ ὀπίσω
792 τοῖς καταβᾶσι διὰ στομίου τε ἔστι τοῦ αὐτοῦ καὶ προεκθεόντων σφίσι τῶν ποδῶν. Ἀποθανεῖν δὲ οὐδένα 12
τῶν καταβάντων λέγουσιν, ὅτι μὴ μόνον τῶν Δημητρίου τινὰ δορυφόρων. τοῦτον δὲ οὔτε ποιῆσαι περὶ τὸ ἱερόν φασιν οὐδὲν τῶν νενομισμένων, οὔτε χρησόμενον τῷ θεῷ καταβῆναι, χρυσὸν δὲ καὶ ἄργυρον ἐκκομιεῖν ἐλπίσαντα ἐκ τοῦ ἀδύτου. λέγεται δὲ καὶ τούτου τὸν νεκρὸν ἑτέρωθι ἀναφανῆναι καὶ οὐ κατὰ στόμα

ἐκβληθῆναι τὸ ἱερόν. Ἐς μὲν δὴ τὸν ἄνθρωπον λεγομέ-
13 νων καὶ ἄλλων εἴρηταί μοι τὰ ἀξιολογώτατα· τὸν δὲ ἀναβάντα παρὰ τοῦ Τροφωνίου παραλαβόντες αὖθις οἱ ἱερεῖς καθίζουσιν ἐπὶ θρόνον Μνημοσύνης καλούμενον, κεῖται δὲ οὐ πόρρω τοῦ ἀδύτου, καθεσθέντα δὲ ἐνταῦθα ἀνερωτῶσιν ὁπόσα *εἶδέ τε καὶ ἐπύθετο· μαθόντες δὲ ἐπιτρέπουσιν αὐτὸν ἤδη τοῖς προσήκουσιν. οἱ δὲ ἐς τὸ οἴκημα ἔνθα καὶ πρότερον διῃτᾶτο παρά τε Τύχῃ καὶ Δαίμονι ἀγαθοῖς, ἐς τοῦτο ἀράμενοι κομίζουσι κάτοχόν τε ἔτι τῷ δείματι καὶ ἀγνῶτα ὁμοίως αὑτοῦ τε καὶ τῶν πέλας. ὕστερον μέντοι τά τε ἄλλα οὐδέν τι φρονήσει
14 μεῖον ἢ πρότερον, καὶ γέλως ἐπάνεισίν οἱ. Γράφω δὲ οὐκ ἀκοήν, ἀλλὰ ἑτέρους τε ἰδὼν καὶ αὐτὸς τῷ Τροφωνίῳ χρησάμενος. Τοὺς δὲ ἐς τοῦ Τροφωνίου κατελθόντας ἀνάγκη σφᾶς, ὁπόσα ἤκουσεν ἕκαστος ἢ εἶδεν, ἀναθεῖναι γεγραμμένα ἐν πίνακι. Λείπεται δ' ἔτι καὶ τοῦ Ἀριστομένους ἐνταῦθα ἡ ἀσπίς· τὰ δὲ ἐς αὐτὴν ὁποῖα ἐγένετο, ἐδήλωσα ἐν τοῖς προτέροις τοῦ λόγου.

XL. Τὸ δὲ μαντεῖον οἱ Βοιωτοὶ τοῦτο οὐ πεπυσμένοι πρότερον ἐπ' αἰτίᾳ τοιᾷδε ἔγνωσαν. θεωροὺς ἀφ' ἑκάστης πόλεως ἄνδρας ἀποστέλλουσιν ἐς Δελφούς· οὐ γὰρ δή σφισιν ἔτος δεύτερον ὗεν ὁ θεός. τούτοις αἰτοῦσιν ἐπανόρθωμα τοῦ αὐχμοῦ προσέταξεν ἡ Πυθία παρὰ Τροφώνιον ἐς Λεβάδειαν ἐλθοῦσιν εὕρασθαι παρὰ ἐκεί-
2 νου τὸ ἴαμα. Ὡς δὲ ἐς τὴν Λεβάδειαν ἐλθόντες οὐκ 793
ἐδύναντο εὑρεῖν τὸ μαντεῖον, ἐνταῦθα τῶν ἐξ Ἀκραιφνίου πόλεως Σάων, οὗτος δὲ ἦν καὶ ἡλικίᾳ τῶν θεωρῶν πρεσβύτατος, εἶδεν ἑσμὸν μελισσῶν *** ὅποι ποτ' ἂν ἀποτράπωνται καὶ αὐτοὺς ἕπεσθαι. αὐτίκα δὴ τὰς μελίσσας ἐς τοῦτο ἐσπετομένας ὁρᾷ τῆς γῆς, καὶ συνες *** εται σφίσιν ἐς τὸ μαντεῖον. Τοῦτον τὸν Σάωνα καὶ τὴν ἱερουργίαν τὴν καθεστηκυῖαν, καὶ ὁπόσα περὶ τὸ

χρηστήριον δρῶσιν ἄλλα, διδαχθῆναι παρὰ τοῦ Τροφωνίου φασί.

2. Δαιδάλου δὲ τῶν ἔργων δύο μὲν ταῦτά ἐστιν ἐν 3
Βοιωτίᾳ, Ἡρακλῆς τε ἐν Θήβαις καὶ παρὰ Λεβαδεῦσιν ὁ Τροφώνιος, τοσαῦτα δὲ ἕτερα ξόανα ἐν Κρήτῃ, Βριτόμαρτις ἐν Ὀλοῦντι καὶ Ἀθηνᾶ παρὰ Κνωσίοις· παρὰ τούτοις δὲ καὶ ὁ τῆς Ἀριάδνης χορός, οὗ καὶ Ὅμηρος ἐν Ἰλιάδι μνήμην ἐποιήσατο, ἐπειργασμένος ἐστὶν ἐπὶ λευκοῦ λίθου. καὶ Δηλίοις Ἀφροδίτης ἐστὶν οὐ μέγα ξόανον, λελυμασμένον τὴν δεξιὰν χεῖρα ὑπὸ τοῦ χρόνου· κάτεισι δὲ ἀντὶ ποδῶν ἐς τετράγωνον σχῆμα. Πείθομαι 4
τοῦτο Ἀριάδνην λαβεῖν παρὰ Δαιδάλου, καὶ ἡνίκα ἠκολούθησε τῷ Θησεῖ, τὸ ἄγαλμα ἐπεκομίζετο οἴκοθεν· ἀφαιρεθέντα δὲ αὐτῆς τὸν Θησέα οὕτω φασὶν οἱ Δήλιοι τὸ ξόανον τῆς θεοῦ ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Δηλίῳ, ἵνα μὴ οἴκαδε ἐπαγόμενος ἐς ἀνάμνησίν τε Ἀριάδνης ἐφέλκηται καὶ ἀεὶ νέας ἐπὶ τῷ ἔρωτι εὑρίσκηται τὰς συμφοράς. πέρα δὲ οὐκ οἶδα ὑπόλοιπα ὄντα τῶν Δαιδάλου· τοῖς γὰρ ἀνατεθεῖσιν ὑπὸ Ἀργείων ἐς τὸ Ἡραῖον καὶ ἐς Γέλαν τὴν ἐν Σικελίᾳ κομισθεῖσιν ἐξ Ὀμφάκης ἀφανισθῆναί σφισιν ὁ χρόνος καθέστηκεν αἴτιος.

3. Λεβαδέων δὲ ἔχονται Χαιρωνεῖς. ἐκαλεῖτο δὲ ἡ 5
πόλις καὶ τούτοις Ἄρνη τὸ ἀρχαῖον· θυγατέρα δὲ εἶναι λέγουσιν Αἰόλου τὴν Ἄρνην, ἀπὸ δὲ ταύτης κληθῆναι καὶ ἑτέραν ἐν Θεσσαλίᾳ πόλιν· τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι ἀπὸ Χαίρωνος, ὃν Ἀπόλλωνός
794 φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι.
Μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας·

Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου 6
Λειπεφίλην· ἣν δ' εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη,
Ἱππότην δέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτεν
Θηρώ τ' εὐειδῆ, ἰκέλην φαέεσσι σελήνης.

Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο.

Ὅμηρος δὲ ἐπιστάμενος, ἐμοὶ δοκεῖν, Χαιρώνειάν τε
ἤδη καὶ Λεβάδειαν καλουμένας, ὅμως τοῖς ἀρχαίοις
ἐχρήσατο ὀνόμασιν ἐς αὐτάς, καθότι καὶ Αἴγυπτον τὸν
ποταμὸν εἶπεν, οὐ Νεῖλον.

7 4. *Χαιρωνεῦσι δὲ δύο ἐστὶν ἐν τῇ χώρᾳ τρόπαια,*
ἃ Ῥωμαῖοι καὶ Σύλλας ἔστησαν, Ταξίλον καὶ στρατιὰν
τὴν Μιθριδάτου κρατήσαντες. Φίλιππος δὲ οὐκ ἀνέ-
θηκεν ὁ Ἀμύντου τρόπαιον, οὔτε ἐνταῦθα οὔτε ὁπόσας
μάχας ἄλλας βαρβάρους ἢ καὶ Ἕλληνας ἐνίκησεν· οὐ
γάρ τι Μακεδόσιν ἱστάναι τρόπαια ἦν νενομισμένον.
8 *Λέγεται δὲ ὑπὸ Μακεδόνων Κάρανον βασιλεύοντα ἐν*
Μακεδονίᾳ κρατῆσαι μάχῃ Κισσέως, ὃς ἐδυνάστευεν ἐν
χώρᾳ τῇ ὁμόρῳ. καὶ ὁ μὲν τρόπαιον ὁ Κάρανος κατὰ
νόμους τοὺς Ἀργείων ἔστησεν ἐπὶ τῇ νίκῃ· ἐπελθόντα
δέ φασιν ἐκ τοῦ Ὀλύμπου λέοντα ἀνατρέψαι τε τὸ τρό-
9 *παιον [καὶ] ἀφανισθῆναι *** [συνεῖναι τῇ] γνώμῃ, Κά-*
ρανον δὲ οὐκ εὖ βουλεύσασθαι, βαρβάροις τοῖς περιοι-
κοῦσιν ἐς ἔχθραν ἐθέλοντα ἀδιάλλακτον καταστῆναι·
χρῆναι γὰρ μήτε ὑπὸ αὐτοῦ Καράνου μήτε ὑπὸ τῶν
ὕστερον βασιλευσόντων Μακεδονίας τρόπαια ἵστασθαι,
εἰ ἐς εὔνοιάν ποτε τοὺς προσχώρους ὑπάξονται. μαρτυ- 795
ρεῖ δὲ τῷ λόγῳ καὶ Ἀλέξανδρος οὐκ ἀναστήσας οὔτε ἐπὶ
Δαρείῳ τρόπαια οὔτε ἐπὶ ταῖς Ἰνδικαῖς νίκαις.

10 5. *Προσιόντων δὲ τῇ πόλει πολυάνδριον Θηβαίων*
ἐστὶν ἐν τῷ πρὸς Φίλιππον ἀγῶνι ἀποθανόντων· ἐπι-
γέγραπται μὲν δὴ ἐπίγραμμα οὐδέν, ἐπίθημα δὲ ἔπεστιν
αὐτῷ λέων· φέροι δ' ἂν ἐς τῶν ἀνδρῶν μάλιστα τὸν
θυμόν· ἐπίγραμμα δὲ ἄπεστιν, ἐμοὶ δοκεῖν, ὅτι οὐδὲ
ἐοικότα τῇ τόλμῃ σφίσι τὰ ἐκ τοῦ δαίμονος ἠκολούθησε.
11 6. *Θεῶν δὲ μάλιστα Χαιρωνεῖς τιμῶσι τὸ σκῆπτρον ὃ*

ποιῆσαι Διί φησιν Ὅμηρος Ἥφαιστον, παρὰ δὲ Διὸς λαβόντα Ἑρμῆν δοῦναι Πέλοπι, Πέλοπα δὲ Ἀτρεῖ καταλιπεῖν, τὸν δὲ Ἀτρέα Θυέστῃ, παρὰ Θυέστου δὲ ἔχειν Ἀγαμέμνονα· τοῦτο οὖν τὸ σκῆπτρον σέβουσι, δόρυ ὀνομάζοντες. καὶ εἶναι μέν τι θειότερον οὐχ ἥκιστα δηλοῖ τὸ ἐς τοὺς ἀνθρώπους ἐπιφανὲς ἐξ αὐτοῦ· φασὶ δὲ ἐπὶ τοῖς 12
ὅροις αὐτῶν καὶ Πανοπέων τῶν ἐν τῇ Φωκίδι εὑρεθῆναι, σὺν δὲ αὐτῷ καὶ χρυσὸν εὕρασθαι τοὺς Φωκεῖς, σφίσι δὲ ἀσμένοις ἀντὶ χρυσοῦ γενέσθαι τὸ σκῆπτρον. κομισθῆναι δὲ αὐτὸ ἐς τὴν Φωκίδα ὑπὸ Ἠλέκτρας τῆς Ἀγαμέμνονος πείθομαι. Ναὸς δὲ οὐκ ἔστιν αὐτῷ δημοσίᾳ πεποιημένος, ἀλλὰ κατὰ ἔτος ἕκαστον ὁ ἱερώμενος ἐν οἰκήματι ἔχει τὸ σκῆπτρον· καί οἱ θυσίαι ἀνὰ πᾶσαν ἡμέραν θύονται, καὶ τράπεζα παράκειται παντοδαπῶν κρεῶν καὶ πεμμάτων πλήρης.

XLI. Ὁπόσα δὲ εἶναι τῶν Ἡφαίστου ποιηταί τε ᾄδουσι καὶ τῶν ἀνθρώπων ἠκολούθηκεν ἡ φήμη, τούτων, ὅτι μὴ τὸ Ἀγαμέμνονος σκῆπτρον, ἄλλο γε οὐδὲν ἀξιόχρεών ἐστιν ἐς πίστιν. Λύκιοι μέν γε ἐν Πατάροις ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος χαλκοῦν ἐπιδεικνύουσι κρατῆρα, ἀνάθημα εἶναι φάμενοι Τηλέφου καὶ ἔργον Ἡφαί-
796 στου· καὶ σφᾶς, ὥς γε εἰκός, λέληθε Θεόδωρον καὶ Ῥοῖκον Σαμίους εἶναι τοὺς διαχέαντας χαλκὸν πρώτους. Πατρεῖς δὲ οἱ Ἀχαιοὶ λόγῳ μὲν λέγουσιν ὅτι Ἡφαίστου 2
ποίημά ἐστιν ἡ λάρναξ ἣν Εὐρύπυλος ἤνεγκεν ἐξ Ἰλίου, ἔργῳ δὲ οὐ παρέχουσιν αὐτὴν θεάσασθαι. 2. Ἔστι δὲ Ἀμαθοῦς ἐν Κύπρῳ πόλις· Ἀδώνιδος ἐν αὐτῇ καὶ Ἀφροδίτης ἱερόν ἐστιν ἀρχαῖον· ἀνακεῖσθαι δὲ ἐνταῦθα λέγουσιν ὅρμον Ἁρμονίᾳ μὲν δοθέντα ἐξ ἀρχῆς, καλούμενον δὲ Ἐριφύλης, ὅτι αὐτὴ δῶρον ἔλαβεν ἐπὶ τῷ ἀνδρί· ὃν ἀνέθεσαν μὲν οἱ παῖδες ἐς Δελφοὺς οἱ Φηγέως, τρόπον δὲ ὅντινα ἐκτήσαντο αὐτόν, ἐδήλωσεν ἤδη μοι

τὰ ἐς Ἀρκάδας ἔχοντα, ἐσυλήθη δὲ ὑπὸ τυράννων τῶν
3 ἐν Φωκεῦσιν. οὐ μὴν παρὰ Ἀμαθουσίοις γε ἐν τῷ ἱερῷ
τοῦ Ἀδώνιδος, ἐμοὶ δοκεῖν, ἐστίν· ἐν Ἀμαθοῦντι μὲν
γάρ ἐστι λίθοι χλωροί, συνδέοντος χρυσοῦ σφᾶς, ὁ ὅρ-
μος· τὸν δὲ τῇ Ἐριφύλῃ δοθέντα Ὅμηρός φησιν ἐν
Ὀδυσσείᾳ πεποιῆσθαι χρυσοῦ, καὶ οὕτως ἔχει·

Ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.

4 οὐ μὴν οὐδὲ ἠγνόει τοὺς ὅρμους τοὺς ποικίλους· ἐν μέν
γε τοῖς Εὐμαίου λόγοις πρὸς Ὀδυσσέα, πρὶν ἢ ἐκ Πύλου
Τηλέμαχον ἀφικέσθαι σφίσιν ἐπὶ τὴν αὐλήν, ἐν τούτοις
τοῖς λόγοις ἐστίν·

Ἤλυθ᾽ ἀνὴρ πολύϊδρις ἐμοῦ πρὸς δώματα πατρός
χρύσεον ὅρμον ἔχων, μετὰ δ᾽ ἠλέκτροισιν ἔερτο.

5 καὶ ἐν Πηνελόπης δώροις· ἄλλους τε γὰρ τῶν μνηστή-
ρων δῶρα καὶ Εὐρύμαχον διδόντα Πηνελόπῃ πεποίηκεν·

Ὅρμον δ᾽ Εὐρύμαχος πολυδαίδαλον αὐτίκ᾽ ἔνεικε
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.

Ἐριφύλην δὲ οὐ χρυσῷ καὶ λίθοις ποικίλον δέξασθαί
φησιν ὅρμον. οὕτω τὸ εἰκὸς τῷ σκήπτρῳ πρόσεστιν εἶ-
ναι μόνον ποίημα Ἡφαίστου.

6 3. Ἔστι δὲ ὑπὲρ τὴν πόλιν κρημνὸς Πετραχὸς κα- 797
λούμενος· Κρόνον δὲ ἐθέλουσιν ἐνταῦθα ἀπατηθῆναι
δεξάμενον ἀντὶ Διὸς πέτρον παρὰ τῆς Ῥέας, καὶ ἄγαλμα
7 Διὸς οὐ μέγα ἐστὶν ἐπὶ κορυφῇ τοῦ ὄρους. Ἐνταῦθα ἐν
τῇ Χαιρωνείᾳ μύρα ἀπὸ ἀνθῶν ἕψουσι κρίνου καὶ ῥό-
δου καὶ ναρκίσσου καὶ ἴρεως· ταῦτα ἀλγηδόνων ἰάματα
ἀνθρώποις γίνεται. τὸ δὲ ἐκ τῶν ῥόδων ποιούμενον, εἰ
καὶ ἀγάλματα εἰργασμένα ξύλου χρίοις, ῥύεται καὶ ταῦτα
σηπεδόνος. ἡ δὲ ἶρις φύεται μὲν ἐν ἕλεσι, μέγεθος δ᾽
ἐστὶν ἴση κρίνῳ, χρόαν δὲ οὐ λευκή, καὶ ὀσμὴν ἀποδεῖ
κρίνου.

ΦΩΚΙΚΑ.

798 I. *Γῆς δὲ τῆς Φωκίδος ὅσον μὲν περὶ Τιθορέαν καὶ
Δελφούς ἐστιν αὐτῆς, ἐκ παλαιοτάτου φανερὰ τὸ ὄνομα
τοῦτο εἰληφυῖά ἐστιν ἀπὸ ἀνδρὸς Κορινθίου Φώκου τοῦ
Ὀρνυτίωνος· ἔτεσι δ' ὕστερον οὐ πολλοῖς ἐξενίκησε καὶ
ἁπάσῃ γενέσθαι τῇ ἐφ' ἡμῶν καλουμένῃ Φωκίδι, Αἰγι-
νητῶν ναυσὶν ἐς τὴν χώραν διαβάντων ὁμοῦ Φώκῳ τῷ
Αἰακοῦ. Τὰ μὲν δὴ ἀπαντικρὺ Πελοποννήσου καὶ τὰ* 2
*ἐπὶ Βοιωτίας καθήκουσιν ἐπὶ θάλασσαν οἱ Φωκεῖς, τῇ
μὲν ἐς Κίρραν τὸ ἐπίνειον Δελφῶν, τῇ δὲ ἐπὶ Ἀντίκυ-
ραν πόλιν· τὰ δὲ πρὸς τοῦ Λαμιακοῦ κόλπου Λοκροὶ
σφᾶς παραθαλασσίους οἱ Ἐπικνημίδιοι κωλύουσιν εἶναι·
οὗτοι γάρ δή εἰσιν οἱ ταύτῃ τὴν Φωκίδα ὑπεροικοῦντες,
Σκαρφεῖς μὲν τὰ ἐπέκεινα Ἐλατείας, ὑπὲρ δὲ Ὑάμπολιν
καὶ Ἄβας οἱ πόλιν τε Ὀποῦντα καὶ Ὀπουντίων ἐπί-
νειον νεμόμενοι Κῦνον.*

2. *Τὰ δὲ ἐπιφανέστατα Φωκεῦσίν ἐστιν ἐν κοινῷ* 3
*[ταῦτα]· πολέμου γὰρ τοῦ πρὸς Ἰλίῳ μετεσχήκασι, καὶ
Θεσσαλῶν ἐναντία ἐπολέμησαν πρότερον ἔτι ἢ ἐλάσαι
τὸν Μῆδον ἐπὶ Ἕλληνας, ὅτε δὴ καὶ ἐπεδείξαντο οἱ Φω-*
799 *κεῖς ἔργα ἐς μνήμην. Κατὰ γὰρ τὴν Ὑάμπολιν, ᾗ τοὺς
Θεσσαλοὺς προσεδέχοντο ἐμβαλεῖν σφίσιν ἐς τὴν χώραν,
ὑδρίας κεράμου πεποιημένας κατορύξαντες καὶ ἐπ' αὐ-
τὰς γῆν ἐπιφορήσαντες ὑπέμενον τὴν ἵππον τῶν Θεσ-
σαλῶν· οἱ δέ, ἅτε οὐ προπεπυσμένοι τῶν Φωκέων τὴν
τέχνην, ἐπελάσαντες τοὺς ἵππους λανθάνουσιν ἐπὶ τὰς
ὑδρίας. Ἐνταῦθα ἀπεχωλοῦντο μὲν οἱ ἵπποι τῶν ποδῶν
ἐσπιπτόντων σφίσιν ἐς τὰς ὑδρίας, ἐκτείνοντο δὲ καὶ
ἀπέπιπτον οἱ ἄνδρες ἀπὸ τῶν ἵππων. Ὡς δὲ οἱ Θεσσα-* 4

λοὶ μείζονι ἢ τὰ πρότερα ἐς τοὺς Φωκέας χρώμενοι τῇ ὀργῇ συνελέχθησαν ἀπὸ τῶν πόλεων πασῶν καὶ ἐς τὴν Φωκίδα ἐστρατεύοντο, ἐνταῦθα οἱ Φωκεῖς ἐν οὐ μικρῷ ποιούμενοι δείματι τήν τε ἄλλην τῶν Θεσσαλῶν ἐς τὸν πόλεμον παρασκευὴν καὶ οὐχ ἥκιστα τῆς ἵππου τὸ πλῆθος καὶ ὁμοῦ τῷ ἀριθμῷ τὴν ἐς τοὺς ἀγῶνας τῶν τε ἵππων καὶ αὐτῶν μελέτην τῶν ἱππέων, ἀποστέλλουσιν ἐς Δελφοὺς αἰτοῦντες τὸν θεὸν ἐκφυγεῖν τὸν ἐπιόντα κίνδυνον· καὶ αὐτοῖς ἀφίκετο μάντευμα·

Συμβαλέω θνητόν τε καὶ ἀθάνατον μαχέσασθαι,
νίκην δ' ἀμφοτέροις δώσω, θνητῷ δέ νυ μᾶλλον.

5 3. Ταῦτα ὡς ἐπύθοντο οἱ Φωκεῖς, λογάδας τριακοσίους καὶ Γέλωνα ἐπ' αὐτοῖς ἄρχοντα ἀποστέλλουσιν ἐς τοὺς πολεμίους ἄρτι ἀρχομένης νυκτός, προστάξαντές σφισι κατοπτεῦσαί τε τὰ τῶν Θεσσαλῶν ὅντινα ἀφανέστατον δύναιντο τρόπον, καὶ αὖθις ἐς τὸ στράτευμα ἐπανήκειν κατὰ τῶν ὁδῶν τὴν μάλιστα ἄγνωστον, μηδὲ ἑκόντας μάχης ἄρχειν. οὗτοι ὑπὸ τῶν Θεσσαλῶν οἱ λογάδες ἀπώλοντο ἀθρόοι καὶ αὐτοὶ καὶ ὁ ἡγούμενός σφισι Γέλων, συμπατούμενοί τε ὑπὸ τῶν ἵππων καὶ ὑπὸ τῶν ἀνδρῶν

6 φονευόμενοι. Καὶ ἡ συμφορὰ σφῶν κατάπληξιν τοῖς ἐπὶ τοῦ στρατοπέδου τῶν Φωκέων τηλικαύτην ἐνεποίησεν, ὥστε [καὶ] τὰς γυναῖκας καὶ παῖδας καὶ ὅσα τῶν 800
κτημάτων ἄγειν ἦν σφίσιν ἢ φέρειν, ἔτι δὲ καὶ ἐσθῆτα καὶ χρυσόν τε καὶ ἄργυρον καὶ τὰ ἀγάλματα τῶν θεῶν ἐς ταὐτὸ συλλέξαντες πυρὰν ὡς μεγίστην ἐποίησαν, καὶ ἐπ' αὐτοῖς ἀριθμὸν τριάκοντα ἄνδρας ἀπολείπουσι· προσετέτακτο δὲ τοῖς ἀνδράσιν, εἰ ἡττᾶσθαι τοὺς Φωκέας συμβαίνοι τῇ μάχῃ, τότε δὴ προαποσφάξαι μὲν τὰς γυναῖκάς τε καὶ παῖδας καὶ ὡς ἱερεῖα ἀναθέντας ταῦτά τε καὶ τὰ χρήματα ἐπὶ τὴν πυρὰν καὶ ἐνέντας πῦρ οὕτως ἤδη διαφθαρῆναι καὶ αὐτοὺς ἤτοι ὑπ' ἀλλήλων ἢ

ἐς τὴν ἵππον τῶν Θεσσαλῶν ἐσπίπτοντας. Ἀντὶ τούτου
μὲν ἅπαντα τὰ ἀνάλγητα βουλεύματα ἀπόνοια ὑπὸ Ἑλ-
λήνων ὀνομάζεται Φωκική. 4. Τότε δὲ οἱ Φωκεῖς ἐποι-
οῦντο αὐτίκα ἐπὶ τοὺς Θεσσαλοὺς ἔξοδον. στρατηγοὶ δὲ 8
ἦσάν σφισι Ῥοῖός τε Ἀμβρωσεὺς καὶ Ὑαμπολίτης Δαϊ-
φάντης, οὗτος μὲν [δὴ] ἐπὶ τῇ ἵππῳ, δυνάμεως δὲ τῆς
πεζῆς ὁ Ἀμβρωσεύς. ὁ δὲ χώραν ἐν τοῖς ἄρχουσιν ἔχων
τὴν μεγίστην μάντις ἦν (Τελλίας) ὁ Ἠλεῖος, καὶ ἐς τὸν
Τελλίαν τοῖς Φωκεῦσι τῆς σωτηρίας ἀπέκειντο αἱ ἐλπί-
δες. Ὡς δὲ ἐς χεῖρας συνήεσαν, ἐνταῦθα τοῖς Φωκεῦσιν 9
ἐγίνετο ἐν ὀφθαλμοῖς τὰ ἐς τὰς γυναῖκας καὶ ἐς τὰ τέκνα
δόξαντα, τήν τε σωτηρίαν οὐκ ἐν βεβαίῳ σφίσιν ἑώρων
σαλεύουσαν, καὶ τούτων ἕνεκα ἐς παντοῖα ἀφικνοῦντο
τολμήματα· προσγενομένου δὲ καὶ τοῦ ἐκ θεῶν εὐμε-
νοῦς, νίκην τῶν τότε ἀνείλοντο ἐπιφανεστάτην. Τότε 10
801 τὸ λόγιον τὸ γεγενημένον τοῖς Φωκεῦσι παρὰ τοῦ Ἀπόλ-
λωνος καὶ τοῖς πᾶσιν Ἕλλησιν ἐγνώσθη· τὸ γὰρ σύν-
θημα κατὰ τὰ αὐτὰ ὑπὸ τῶν στρατηγούντων ἐδίδοτο ἐν
ταῖς μάχαις Θεσσαλοῖς μὲν Ἀθηνᾶς Ἰτωνίας, τοῖς δὲ ὁ
ἐπώνυμος Φῶκος. Ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ ἀνα-
θήματα οἱ Φωκεῖς ἀπέστειλαν ἐς Δελφοὺς Ἀπόλλωνι
Τελλίαν τε τὸν μάντιν καὶ ὅσοι μαχομένοις ἄλλοι σφί-
σιν ἐστρατήγησαν, σὺν δὲ αὐτοῖς καὶ ἥρωας τῶν ἐπι-
χωρίων· ἔργα δὲ αἱ εἰκόνες Ἀριστομέδοντός εἰσιν Ἀρ-
γείου.

5. Εὑρέθη δὲ καὶ ὕστερον τοῖς Φωκεῦσιν οὐκ ἀπο- 11
δέον σοφίᾳ τῶν προτέρων. ὡς γὰρ δὴ τὰ στρατόπεδα
ἀντεκάθητο περὶ τὴν ἐς τὴν Φωκίδα ἐσβολήν, λογάδες
Φωκέων πεντακόσιοι φυλάξαντες πλήρη τὸν κύκλον τῆς
σελήνης ἐπιχειροῦσιν ἐν τῇ νυκτὶ τοῖς Θεσσαλοῖς, αὐτοί
τε ἀληλιμμένοι γύψῳ καὶ ἐνδεδυκότες ὅπλα λευκὰ ἐπὶ
τῇ γύψῳ. ἐνταῦθα ἐξεργασθῆναι φόνον τῶν Θεσσαλῶν

λέγεται πλεῖστον, θειότερόν τι ἡγουμένων ἢ κατὰ ἔφοδον πολεμίων τὸ ἐν τῇ νυκτὶ συμβαῖνον. ὁ δὲ Ἠλεῖος ἦν Τελλίας ὃς καὶ ταῦτα τοῖς Φωκεῦσιν ἐμηχανήσατο ἐς τοὺς Θεσσαλούς.

II. Ἐπεὶ δὲ ἐς τὴν Εὐρώπην ὁ Περσῶν στρατὸς διέβη, λέγεται τοὺς Φωκέας φρονῆσαι μὲν ὑπὸ ἀνάγκης τὰ βασιλέως, αὐτομολῆσαι δὲ ἐκ τῶν Μήδων καὶ ἐς τὸ Ἑλληνικὸν παρὰ τὸ ἔργον τὸ Πλαταιᾶσι παρατάξασθαι. Χρόνῳ δὲ ὕστερον κατέλαβεν αὐτοὺς ζημιωθῆναι χρήμασιν ὑπὸ Ἀμφικτυόνων· οὐδὲ ἔχω τοῦ λόγου τὸ ἀληθὲς ἐξευρεῖν, εἴτε ἀδικήσασιν ἐπεβλήθη σφίσιν, εἴτε Θεσσαλοὶ κατὰ τὸ ἐκ παλαιοῦ μῖσος γενέσθαι τὴν ζημίαν τοῖς Φωκεῦσιν
2 ἦσαν οἱ πράξαντες. Ἐχόντων δὲ ἀθύμως αὐτῶν πρὸς τῆς ζημίας τὸ μέγεθος, Φιλόμηλος σφᾶς ὑπολαβὼν ὁ Θεοτίμου, Φωκέων οὐδενὸς ἀξιώματι ὕστερος, πατρὶς 802
δὲ αὐτῷ Λέδων τῶν ἐν Φωκεῦσιν ἦν πόλεων, οὗτος οὖν ὁ Φιλόμηλος τήν τε ἔκτισιν αὐτοῖς ἀδύνατον ἀπέφηνε τῶν χρημάτων, καὶ ἀνέπειθε τὸ ἱερὸν καταλαβεῖν τὸ ἐν Δελφοῖς, λέγων καὶ ἄλλα ἐπαγωγὰ καὶ ὡς τὰ Ἀθηναίων καὶ ἐκ Λακεδαίμονος ἐπιτήδεια ἐξ ἀρχῆς ἐστὶν αὐτοῖς, Θηβαίων δὲ καὶ εἴ τις ἄλλος κατασταίη σφίσιν ἐς πόλεμον, περιέσεσθαι καὶ ἀρετῇ σφᾶς καὶ
3 δαπάνῃ χρημάτων. ταῦτα τοῦ Φιλομήλου λέγοντος οὐκ ἐγίνετο ἀκούσια τῷ πλήθει τῶν Φωκέων, εἴτε τὴν γνώμην σφίσι τοῦ θεοῦ βλάπτοντος, εἴτε καὶ αὐτοῖς πεφυκόσιν ἐπίπροσθεν εὐσεβείας τὰ κέρδη ποιεῖσθαι. 2. Τὴν δὲ τῶν Δελφῶν κατάληψιν ἐποιήσαντο οἱ Φωκεῖς Ἡρακλείδου μὲν πρυτανεύοντος ἐν Δελφοῖς καὶ Ἀγαθοκλέους Ἀθήνησιν ἄρχοντος, τετάρτῳ δὲ ἔτει πέμπτης ὀλυμπιάδος ἐπὶ ταῖς ἑκατόν, ἣν Πρῶρος ἐνίκα Κυρη-
4 ναῖος στάδιον. Καταλαβοῦσι δὲ αὐτοῖς τὸ ἱερὸν ξενικά τε αὐτίκα τὰ ἰσχυρότατα τῶν ἐν Ἕλλησιν ἠθροίσθη, καὶ

οἱ Θηβαῖοί σφισιν ἐς πόλεμον ἐκ τοῦ φανεροῦ καθεστήκεσαν, διάφοροι καὶ τὰ πρότερα ὄντες. χρόνος μὲν δὴ ἐγένετο ὃν ἐπολέμησαν, δέκα ἔτη συνεχῶς· καὶ ἐν τοσούτῳ πολέμου μήκει πολλάκις μὲν οἱ Φωκεῖς καὶ τὰ παρ' αὐτοῖς ξενικὰ ἐνίκησε, πολλάκις δὲ ἦν τὰ τῶν Θηβαίων ἐπικρατέστερα. Γενομένης δὲ κατὰ Νεῶνα πόλιν συμβολῆς ἐτράποντό οἱ Φωκεῖς, καὶ ὁ Φιλόμηλος ῥίπτει τε αὑτὸν ἐν τῇ φυγῇ κατὰ ὑψηλοῦ καὶ ἀποτόμου κρημνοῦ καὶ ἀφίησιν οὕτω τὴν ψυχήν· ἐτέτακτο δὲ καὶ ἄλλως τοῖς Ἀμφικτυόσιν ἐς τοὺς συλῶντας αὕτη ἡ δίκη.
3. Μετὰ δὲ Φιλόμηλον τελευτήσαντα Ὀνομάρχῳ μὲν τὴν 5
ἡγεμονίαν διδόασιν οἱ Φωκεῖς, ἐς δὲ τῶν Θηβαίων τὴν συμμαχίαν προσεχώρησε Φίλιππος ὁ Ἀμύντου· καί, ἐκράτησε γὰρ Φίλιππος τῆς συμβολῆς, φεύγων ὁ Ὀνόμαρχος καὶ ἐπὶ θάλασσαν ἀφικόμενος ἐνταῦθα ὑπὸ τῶν στρατιωτῶν κατηκοντίσθη τῶν οἰκείων, ὡς τὴν ἧσσάν σφισιν ὑπὸ ἀτολμίας συμβᾶσαν τῆς ἐκείνου καὶ ἐς τὸ
803 στρατηγεῖν ἀπειρίας. 4. Ὀνομάρχῳ μὲν τέλος τοῦ βίου 6
τοιοῦτον ἐπήγαγεν ὁ δαίμων, στρατηγὸν δὲ αὐτοκράτορα εἵλοντο ἀδελφὸν τοῦ Ὀνομάρχου Φαῦλον.** παρεληλυθέναι τε δὴ ἄρτι ἐπὶ τῶν Φωκέων τὴν ἀρχήν, καὶ ὄψιν ὀνείρατος ἰδεῖν τοιάνδε. ἐν τοῖς ἀναθήμασι τοῦ Ἀπόλλωνος μίμημα ἦν χαλκοῦν χρονιωτέρου, κατερρυηκότος τε ἤδη τὰς σάρκας καὶ τὰ ὀστᾶ ὑπολειπομένου μόνα· ἀνάθημα δὲ ὑπὸ Δελφῶν Ἱπποκράτους ἐλέγετο εἶναι τοῦ ἰατροῦ. τούτῳ δὴ ἑαυτὸν ἐοικέναι τῷ ἀναθήματι ἔδοξεν ὁ Φαῦλος· αὐτίκα δὲ ὑπολαβοῦσα αὐτὸν φθοώδης νόσος ἐπετέλει τοῦ ἐνυπνίου τὴν μαντείαν.
5. Φαύλου δὲ ἀποθανόντος ἐς Φάλαικον τὸν παῖδα αὐ- 7
τοῦ περιεχώρησεν ἡ ἐν Φωκεῦσι δυναστεία· καὶ ἐπεὶ ἔσχεν ὁ Φάλαικος (αἰτίαν) ἰδίᾳ περιποιεῖσθαι τῶν ἱερῶν χρημάτων, ἐπαύθη τῆς ἀρχῆς. διαβὰς δὲ ναυσὶν ἐς

Κρήτην ὁμοῦ Φωκέων τοῖς ἡρημένοις τὰ ἐκείνου καὶ μοίρᾳ τοῦ ξενικοῦ, Κυδωνίᾳ προσκαθήμενος, οὐ γάρ οἱ διδόναι χρήματα ἐβούλοντο αἰτοῦντι, τῆς στρατιᾶς τὸ πολὺ ἀπόλλυσι καὶ αὐτὸς ἀπώλετο.

III. Δεκάτῳ δὲ ὕστερον ἔτει μετὰ τὴν τοῦ ἱεροῦ κα-
τάληψιν ἐπέθηκεν ὁ Φίλιππος πέρας τῷ πολέμῳ, Φω-
κικῷ τε καὶ ἱερῷ κληθέντι τῷ αὐτῷ, Θεοφίλου μὲν
Ἀθήνησιν ἄρχοντος, ὀγδόης δὲ ὀλυμπιάδος καὶ ἑκατο-
στῆς ἔτει πρώτῳ, ἣν Πολυκλῆς ἐνίκα στάδιον Κυρη-
ναῖος. 2. καὶ ἐς ἔδαφος ἁλοῦσαι κατεβλήθησαν τῶν
Φωκέων αἱ πόλεις· ἀριθμὸς δὲ ἦν αὐτῶν Λίλαια καὶ
Ὑάμπολις καὶ Ἀντίκυρα καὶ Παραποτάμιοι καὶ Πανο-
2 πεύς τε καὶ Δαυλίς. Τούτων μὲν δὴ ὄνομα ἦν ἐκ πα-
λαιοῦ, καὶ οὐχ ἥκιστα ἐπῶν ἕνεκα τῶν Ὁμήρου· τὰς δὲ
αὐτῶν ἡ στρατιὰ καταπρήσασα ἡ μετὰ Ξέρξου γνωριμω- 804
τέρας ἐς τὸ Ἑλληνικὸν ἐποίησεν, Ἐρωχὸν καὶ Χαράδραν
καὶ Ἀμφίκλειαν καὶ Νεῶνα καὶ Τιθρώνιον καὶ Δρυ-
μαίαν. αἱ δὲ ἄλλαι, πλήν γε δὴ Ἐλατείας, τὰ πρότερα
οὐκ ἐπιφανεῖς ἦσαν, Τραχίς τε ἡ Φωκικὴ καὶ Μεδεὼν
ὁ Φωκικὸς καὶ Ἐχεδάμεια καὶ Ἄμβρωσος καὶ Λέδων καὶ
Φλυγόνιον ἔτι καὶ Στεῖρις. Τότε δὲ κατεσκάφησάν τε
αἱ κατειλεγμέναι, καὶ ἐς κώμας πλὴν Ἄβας ᾠκίσθησαν
αἱ ἄλλαι· Ἀβαίοις δὲ ἐκτὸς ἀσεβείας ὑπῆρχε καθεστη-
κέναι, καὶ οὔτε τοῦ ἱεροῦ τῆς καταλήψεως οὔτε τοῦ
3 πολέμου μετεσχήκεσαν. Ἀφῃρέθησαν δὲ οἱ Φωκεῖς καὶ
μετεῖναί σφισιν ἱεροῦ τοῦ ἐν Δελφοῖς καὶ συνόδου τῆς
ἐς τὸ Ἑλληνικόν, καὶ τὰς ψήφους αὐτῶν Μακεδόσιν
ἔδοσαν οἱ Ἀμφικτυόνες. ἀνὰ χρόνον μέντοι τοῖς Φω-
κεῦσιν αἱ πόλεις ἀνῳκίσθησαν καὶ ἐς τὰς πατρίδας
κατήχθησαν ἐκ τῶν κωμῶν, πλὴν εἰ μὴ ἀνοικισθῆναί
τινας ἐκώλυσεν ἀσθένειά τε ἡ ἐξ ἀρχῆς καὶ ἡ τῶν χρη-
μάτων ἐν τῷ τότε ἔνδεια· Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι σφᾶς

*ἦσαν οἱ κατάγοντες, πρὶν ἢ τὸ ἐν Χαιρωνείᾳ συμβῆναι
πταῖσμα Ἕλλησι. 3. Καὶ ἀγῶνος τοῦ ἐν Χαιρωνείᾳ* 4
μετέσχον οἱ Φωκεῖς, καὶ ὕστερον περὶ Λαμίαν καὶ ἐν
805 *Κραννῶνι ἐναντία Ἀντιπάτρου καὶ Μακεδόνων ἐμαχέ-
σαντο· Γαλάτας δὲ καὶ τὴν Κελτικὴν στρατιὰν προθυ-
μότατα ἠμύνοντο Ἑλλήνων, θεῷ τε τιμωροῦντες τῷ ἐν
Δελφοῖς καὶ ἐς ἀπολογίαν ἅμα, ἐμοὶ δοκεῖν, τῶν ἀρ-
χαίων ἐγκλημάτων. τούτοις μὲν δὴ τοιαῦτα ὑπῆρχεν
ἐς μνήμην.*

IV. *Στάδια δὲ ἐκ Χαιρωνείας εἴκοσιν ἐς Πανοπέας
ἐστί, πόλιν Φωκέων, εἴγε ὀνομάσαι τις πόλιν καὶ τού-
τους, οἷς γε οὐκ ἀρχεῖα, οὐ γυμνάσιόν ἐστιν, οὐ θέα-
τρον, οὐκ ἀγορὰν ἔχουσιν, οὐχ ὕδωρ κατερχόμενον ἐς
κρήνην, ἀλλὰ ἐν στέγαις κοίλαις κατὰ τὰς καλύβας μά-
λιστα τὰς ἐν τοῖς ὄρεσιν, ἐνταῦθα οἰκοῦσιν ἐπὶ χαράδρᾳ.
ὅμως δὲ ὅροι τε τῆς χώρας εἰσὶν αὐτοῖς ἐς τοὺς ὁμόρους,
καὶ ἐς τὸν σύλλογον συνέδρους καὶ οὗτοι πέμπουσι τὸν
Φωκικόν. Καὶ γενέσθαι μὲν τῇ πόλει τὸ ὄνομα λέγουσιν
ἀπὸ τοῦ Ἐπειοῦ πατρός, αὐτοὶ δὲ οὐ Φωκεῖς, Φλεγύαι
δὲ εἶναι τὸ ἐξ ἀρχῆς καὶ ἐς τὴν γῆν διαφυγεῖν φασὶ τὴν
Φωκίδα ἐκ τῆς Ὀρχομενίας. Πανοπέων δὲ τὸν ἀρχαῖον* 2
*θεώμενοι περίβολον ἑπτὰ εἶναι σταδίων μάλιστα εἰκά-
ζομεν· ὑπῄει τε ἐπῶν ἡμᾶς τῶν Ὁμήρου μνήμη ὧν ἐποί-
ησεν ἐς Τιτυόν, καλλίχορον τῶν Πανοπέων ὀνομάσας
τὴν πόλιν, καὶ ὡς ἐν τῇ μάχῃ τῇ [γε] ἐπὶ τῷ Πατρόκλου
νεκρῷ καὶ Σχεδίον τὸν Ἰφίτου βασιλεύοντα Φωκέων
καὶ ἀποθανόντα ὑφ' Ἕκτορος κατοικεῖν εἶπεν ἐν τῷ
Πανοπεῖ. Τοῦτο μὲν δὴ ἐφαίνετο ἡμῖν ἔχειν αἰτίαν,
φόβῳ τῶν Βοιωτῶν, κατὰ γὰρ τοῦτό ἐστιν ἐκ τῆς Βοι-
ωτίας ἡ ἐς τὴν Φωκίδα ἐσβολὴ ῥᾴστη, ἐνταῦθα οἰκεῖν
τὸν βασιλέα ἅτε φρουρίῳ τῷ Πανοπεῖ χρώμενον· τὸ ἕτε-* 3
ρον δὲ οὐκ ἐδυνήθην συμβαλέσθαι πρότερον, ἐφ' ὅτῳ

καλλίχορον τὸν Πανοπέα εἴρηκε, πρὶν ἢ ἐδιδάχθην ὑπὸ 806
τῶν παρ' Ἀθηναίοις καλουμένων Θυιάδων. 2. Αἱ δὲ Θυιάδες γυναῖκες μέν εἰσιν Ἀττικαί, φοιτῶσαι δὲ ἐς τὸν Παρνασὸν παρὰ ἔτος αὐταί τε καὶ αἱ γυναῖκες Δελφῶν ἄγουσιν ὄργια Διονύσῳ. ταύταις ταῖς Θυιάσι κατὰ τὴν ἐξ Ἀθηνῶν ὁδὸν καὶ ἀλλαχοῦ χοροὺς ἱστάναι καὶ παρὰ τοῖς Πανοπεῦσι καθέστηκε· καὶ ἡ ἐπίκλησις ἡ ἐς τὸν Πανοπέα Ὁμήρου ὑποσημαίνειν τῶν Θυιάδων δοκεῖ τὸν χορόν.

4 3. Πανοπεῦσι δέ ἐστιν ἐπὶ τῇ ὁδῷ πλίνθου τε ὠμῆς οἴκημα οὐ μέγα καὶ ἐν αὐτῷ λίθου τοῦ Πεντέλησιν ἄγαλμα, ὃν Ἀσκληπιόν, οἱ δὲ Προμηθέα εἶναί φασι· καὶ παρέχονταί γε τοῦ λόγου μαρτύρια. λίθοι κεῖνταί σφισιν ἐπὶ τῇ χαράδρᾳ, μέγεθος μὲν ἑκάτερος ὡς φόρτον ἀποχρῶντα ἁμάξης εἶναι, χρῶμα δέ ἐστι πηλοῦ σφίσιν, οὐ γεώδους, ἀλλ' οἷος ἂν χαράδρας γένοιτο ἢ χειμάρρου ψαμμώδους· παρέχονται δὲ καὶ ὀσμὴν ἐγγύτατα χρωτὶ ἀνθρώπου. ταῦτα ἔτι λείπεσθαι τοῦ πηλοῦ λέγουσιν ἐξ οὗ καὶ ἅπαν ὑπὸ τοῦ Προμηθέως τὸ γένος πλασθῆναι
5 τῶν ἀνθρώπων. 4. Ἐνταῦθα ἐπὶ τῇ χαράδρᾳ καὶ Τιτυοῦ μνῆμά ἐστι. περίοδος μὲν τοῦ χώματος τρίτον μάλιστα που σταδίου· τὸ δὲ ἔπος [ἐστὶν] ἐν Ὀδυσσείᾳ,

κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα

οὐκ ἐπὶ μεγέθει πεποιῆσθαι τοῦ Τιτυοῦ φασίν, ἀλλ' ἔνθα ὁ Τιτυὸς ἐτέθη, Πλέθρα ἐννέα εἶναι τῷ χωρίῳ
6 (ὄνομα). Κλέων δὲ ἀνὴρ Μάγνης, οἳ τῷ Ἕρμῳ προσοικοῦσιν, ἔφασκεν ἐς τὰ παράδοξα ἀπίστους εἶναι τῶν ἀνθρώπων οἷς ἂν μὴ παρὰ τὸν αὐτῶν γένηται βίον θεάμασιν ἐπιτυχεῖν λόγου μείζοσιν, αὐτὸς δὲ καὶ Τιτυὸν καὶ ἄλλους ἔφη πείθεσθαι γεγονέναι κατὰ τὴν φήμην· τυχεῖν γὰρ δὴ ὢν ἐν Γαδείροις, καὶ ἐκπλεῦσαι μὲν αὐτός τε καὶ τὸν ἄλλον πάντα ὄχλον ἐκ τῆς νήσου κατὰ τὸ

Ἡρακλέους πρόσταγμα, ὡς δὲ αὖθις ἐπανήκειν ἐς τὰ
807 Γάδειρα, ἄνδρα εὑρεῖν θαλάσσιον ἐκπεπτωκότα ἐς την γῆν· τοῦτον πλέθρα μὲν πέντε μάλιστα ἐπέχειν, κεραυνωθέντα δὲ ὑπὸ τοῦ θεοῦ καίεσθαι. οὗτος μὲν δὴ ταῦτα ἔλεγεν.

5. Πανοπέως δὲ ὅσον στάδια ἑπτὰ ἀπέχει Δαυλίς. 7
οἱ δὲ ἐνταῦθα ἄνθρωποι πλῆθος μέν εἰσιν οὐ πολλοί, μεγέθει δὲ καὶ ἀλκῇ καὶ ἐς ἐμὲ ἔτι δοκιμώτατοι Φωκέων. τὸ δὲ ὄνομα τῇ πόλει τεθῆναι λέγουσιν ἀπὸ Δαυλίδος νύμφης, θυγατέρα δὲ εἶναι τοῦ Κηφισοῦ τὴν Δαυλίδα. τοῖς δέ ἐστιν εἰρημένον ὡς τὸ χωρίον, ἔνθα ἡ πόλις ᾠκίσθη, παρείχετο συνεχῆ δένδρα, καλεῖσθαι δὲ τὰ δασέα ὑπὸ τῶν πάλαι δαῦλα· ἐπὶ τούτῳ δὲ καὶ Αἰσχύλον τὰ Γλαύκου τοῦ Ἀνθηδονίου γένεια ὑπήνην ὠνομακέναι δαῦλον. 6. Ἐνταῦθα ἐν τῇ Δαυλίδι παραθεῖναι 8
τῷ Τηρεῖ τὸν παῖδα αἱ γυναῖκες λέγονται, καὶ ἀνθρώποις τῶν ἐπὶ τραπέζῃ μιασμάτων τοῦτο ἦρξεν. Ὁ δὲ ἔποψ ἐς ὃν ἔχει λόγος τὸν Τηρέα ἀλλαγῆναι, οὗτος ὁ ὄρνις μέγεθος μὲν ὀλίγον ἐστὶν ὑπὲρ ὄρτυγα, ἐπὶ τῇ κεφαλῇ δέ οἱ τὰ πτερὰ ἐς λόφου σχῆμα ἐξῆρται. Θαυμά- 9
σαι δὲ ἄξιον, ὅτι ἐν τῇ γῇ ταύτῃ χελιδόνες οὔτε τίκτουσιν οὔτε ἐκλέπουσί γε τὰ ᾠά, οὐδ' ἂν ἀρχὴν πρὸς οἰκήματος ὀρόφῳ νεοσσιὰν χελιδὼν ποιήσαιτο· λέγουσι δὲ οἱ Φωκεῖς ὡς τῇ Φιλομήλᾳ καὶ ὄρνιθι οὔσῃ Τηρέως δεῖμα καὶ τῆς πατρίδος ἔπεστι τῆς Τηρέως. Δαυλιεῦσι δὲ Ἀθηνᾶς ἱερὸν καὶ ἄγαλμά ἐστιν ἀρχαῖον· τὸ δὲ ξόανον τὸ ἔτι παλαιότερον λέγουσιν ἐπαγαγέσθαι Πρόκνην ἐξ Ἀθηνῶν. 7. Ἔστι δὲ τῆς Δαυλίας χώρα καλουμένη 10
Τρωνίς· ἐνταῦθα ἡρῷον ἥρω ἀρχηγέτου πεποίηται· τὸν δὲ ἥρω τοῦτον Ξάνθιππον οὐκ ἀφανῆ τὰ ἐς πόλεμον, οἱ δὲ Φῶκον εἶναι τὸν Ὀρνυτίωνος τοῦ Σισύφου φασίν. ἔχει δ' οὖν ἐπὶ ἡμέρᾳ τε πάσῃ τιμάς, καὶ ἄγοντες ἱερεῖα

οἱ Φωκεῖς τὸ μὲν αἷμα δι' ὀπῆς ἐσχέουσιν ἐς τὸν τάφον, τὰ δὲ κρέα ταύτῃ σφίσιν ἀναλοῦν καθέστηκεν.

V. Ἔστι δὲ καὶ ἄνοδος διὰ τῆς Δαυλίδος ἐς τὰ ἄκρα 808
τοῦ Παρνασοῦ, μακροτέρα τῆς ἐκ Δελφῶν, οὐ μέντοι καὶ κατὰ ταὐτὰ χαλεπή. Ἐς δὲ τὴν ἐπὶ Δελφῶν εὐθεῖαν ἀναστρέψαντι ἐκ Δαυλίδος, καὶ ἰόντι ἐπὶ τὸ πρόσω, ἔστιν οἰκοδόμημα ἐν ἀριστερᾷ τῆς ὁδοῦ καλούμενον Φωκικόν, ἐς ὃ ἀπὸ ἑκάστης πόλεως συνίασιν οἱ Φωκεῖς.
2 μεγέθει μὲν μέγα τὸ οἴκημα, ἐντὸς δὲ αὐτοῦ κίονες κατὰ μῆκός εἰσιν ἑστηκότες· ἀναβασμοὶ δὲ ἀπὸ τῶν κιόνων ἀνήκουσιν ἐς ἑκάτερον τοῖχον, καὶ ἐπὶ τῶν ἀναβασμῶν τούτων οἱ συνιόντες τῶν Φωκέων καθέζονται. πρὸς δὲ τῷ πέρατι κίονες μὲν οὐκ εἰσὶν οὐδὲ ἀναβασμοί, Διὸς δὲ ἄγαλμα καὶ Ἀθηνᾶς καὶ Ἥρας, τὸ μὲν ἐν θρόνῳ τοῦ Διός, ἑκατέρωθεν δὲ ἡ μὲν κατὰ δεξιά, ἡ δὲ κατὰ ἀριστερὰ παρεστῶσα ἡ Ἀθηνᾶ πεποίηται.

3 2. Προϊὼν δὲ αὐτόθεν ἐπὶ ὁδὸν ἀφίξῃ καλουμένην Σχιστήν· ἐπὶ ταύτῃ τῇ ὁδῷ τὰ ἐς τὸν φόνον τοῦ πατρὸς Οἰδίποδι εἰργάσθη. ἔδει δὲ ἄρα παθημάτων τῶν Οἰδίποδος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ὑπολειφθῆναι μνημόσυνα. τεχθέντος μέν γε διαπείραντες διὰ τῶν σφυρῶν κέντρα ἐκτιθέασιν αὐτὸν ἐς τῆς Πλαταιίδος ὄρος τὸν Κιθαιρῶνα· Κόρινθος δὲ καὶ ἡ ἐπὶ τῷ Ἰσθμῷ χώρα τροφὸς τῷ Οἰδίποδι ἐγένετο· γῆ δὲ ἡ Φωκὶς καὶ ὁδὸς ἡ Σχιστὴ τοῦ πατρῴου φόνου τὸ μίασμα ὑπεδέξατο· Θηβαίοις δὲ καὶ ἐς πλέον γάμων τέ σφισι τῶν Οἰδίποδος καὶ ἀδικίας
4 τῆς Ἐτεοκλέους ἐστὶν ἡ φήμη. Οἰδίποδι μὲν ὁδὸς ἡ Σχιστὴ καὶ τόλμημα τὸ ἐπ' αὐτῇ κακῶν ἦρχε, καὶ τὰ τοῦ Λαΐου μνήματα καὶ οἰκέτου τοῦ ἑπομένου ἐνταῦθα ἐστὶν ἐν μεσαιτάτῳ τῆς τριόδου, καὶ ἐπ' αὐτῶν λίθοι λογάδες σεσωρευμένοι· Δαμασίστρατον δὲ ἄνδρα ἐν

Πλαταιαῖς βασιλεύοντα ἐπιτυχεῖν τε κειμένοις τοῖς νεκροῖς καὶ θάψαι φασὶν αὐτούς.

3. Ἡ δὲ λεωφόρος αὐτόθεν ἡ ἐς Δελφοὺς καὶ προ- 5
σάντης γίνεται μᾶλλον καὶ ἀνδρὶ εὐζώνῳ χαλεπωτέρα. Λέγεται δὲ πολλὰ μὲν καὶ διάφορα ἐς αὐτοὺς Δελφούς, πλείω δὲ ἔτι ἐς τοῦ Ἀπόλλωνος τὸ μαντεῖον. φασὶ γὰρ
809 δὴ τὰ ἀρχαιότατα Γῆς εἶναι τὸ χρηστήριον, καὶ Δάφνιδα ἐπ' αὐτῷ τετάχθαι πρόμαντιν ὑπὸ τῆς Γῆς· εἶναι δὲ αὐτὴν τῶν περὶ τὸ ὄρος νυμφῶν. Ἔστι δὲ ἐν Ἕλλησι 6
ποίησις, ὄνομα μὲν τοῖς ἔπεσίν ἐστιν Εὐμολπία, Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη· πεποιημένον οὖν ἐστὶν ἐν τούτοις Ποσειδῶνος ἐν κοινῷ καὶ Γῆς εἶναι τὸ μαντεῖον, καὶ τὴν μὲν χρᾶν αὐτήν, Ποσειδῶνι δὲ ὑπηρέτην ἐς τὰ μαντεύματα εἶναι Πύρκωνα. καὶ οὕτως ἔχει τὰ ἔπη·

Αὐτίκα δὲ Χθονίης σφῶν δὴ πινυτὸν φάτο μῦθον,
σὺν δέ τε Πύρκων ἀμφίπολος κλυτοῦ Ἐννοσιγαίου.

χρόνῳ δὲ ὕστερον, ὅσον Γῇ μετῆν δοθῆναι Θέμιδι ὑπ' αὐτῆς λέγουσιν, Ἀπόλλωνα δὲ παρὰ Θέμιδος λαβεῖν δωρεάν. Ποσειδῶνι δὲ ἀντὶ τοῦ μαντείου Καλαύρειαν ἀντιδοῦναί φασιν αὐτὸν τὴν πρὸ Τροιζῆνος. Ἤκουσα 7
δὲ καὶ ὡς ἄνδρες ποιμαίνοντες ἐπιτύχοιεν τῷ μαντείῳ, καὶ ἔνθεοί τε ἐγένοντο ὑπὸ τοῦ ἀτμοῦ καὶ ἐμαντεύσαντο ἐξ Ἀπόλλωνος. 4. Μεγίστη δὲ καὶ παρὰ πλείστων ἐς Φημονόην δόξα ἐστίν, ὡς πρόμαντις γένοιτο ἡ Φημονόη τοῦ θεοῦ πρώτη καὶ πρώτη τὸ ἑξάμετρον ᾖσε. Βοιὼ δὲ ἐπιχωρία γυνὴ ποιήσασα ὕμνον Δελφοῖς ἔφη κατασκευάσασθαι τὸ μαντεῖον τῷ θεῷ τοὺς ἀφικομένους ἐξ Ὑπερβορέων τούς τε ἄλλους καὶ Ὠλῆνα· τοῦτον δὲ καὶ μαντεύσασθαι πρῶτον καὶ ᾆσαι πρῶτον τὸ ἑξάμετρον. πε- 8
ποίηκε δὲ ἡ Βοιὼ τοιάδε·

Ἔνθα τοι εὔμνηστον χρηστήριον ἐκτελέσαντο

παῖδες Ὑπερβορέων Παγασὸς καὶ δῖος Ἀγυιεύς.

ἐπαριθμοῦσα δὲ καὶ ἄλλους τῶν Ὑπερβορέων, ἐπὶ τε- 810
λευτῇ τοῦ ὕμνου τὸν Ὠλῆνα ὠνόμασεν·

Ὠλήν θ᾽, ὃς γένετο πρῶτος Φοίβοιο προφάτας,
πρῶτος δ᾽ ἀρχαίων ἐπέων τεκτάνατ᾽ ἀοιδάν.

Οὐ μέντοι τά γε ἥκοντα ἐς μνήμην ἐς ἄλλον τινά, ἐς δὲ
9 γυναικῶν μαντείαν ἀνήκει μόνων. 5. Ποιηθῆναι δὲ τὸν ναὸν τῷ Ἀπόλλωνι τὸ ἀρχαιότατον δάφνης φασί, κομισθῆναι δὲ τοὺς κλάδους ἀπὸ τῆς δάφνης τῆς ἐν τοῖς Τέμπεσι· καλύβης δ᾽ ἂν σχῆμα οὗτός γε ἂν εἴη παρεσχημένος ὁ ναός. δεύτερα δὲ λέγουσιν οἱ Δελφοὶ γενέσθαι ὑπὸ μελισσῶν τὸν ναόν, ἀπὸ τοῦ τε κηροῦ τῶν μελισσῶν καὶ ἐκ πτερῶν· πεμφθῆναι δὲ ἐς Ὑπερβορέους
10 φασὶν αὐτὸν ὑπὸ τοῦ Ἀπόλλωνος. Λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς τὸν ναὸν κατεσκευάσατο ἀνὴρ Δελφός, ὄνομα δὲ αὐτῷ Πτερᾶν εἶναι· κατὰ τοῦτο οὖν γενέσθαι καὶ τῷ ναῷ τοὔνομα ἀπὸ τοῦ οἰκοδομήσαντος· ἀπὸ τούτου δὲ τοῦ Πτερᾶ καὶ πόλιν Κρητικὴν προσθήκῃ γράμματος Ἀπτεραίους φασὶν ὀνομάζεσθαι. Τὸν γὰρ δὴ λόγον τὸν ἔχοντα ἐς τὴν ἐν τοῖς ὄρεσιν αὐξομένην πτέριν, ὡς ἐκ τῆς πόας ταύτης χλωρᾶς ἔτι διεπλέξαντο
11 ναόν, οὐδὲ ἀρχὴν προσίεμαι τὸν λόγον τοῦτον. Τὰ δὲ ἐς τὸν τρίτον τῶν ναῶν, ὅτι ἐγένετο ἐκ χαλκοῦ, θαῦμα οὐδέν, εἴ γε Ἀκρίσιος μὲν θάλαμον χαλκοῦν τῇ θυγατρὶ ἐποιήσατο, Λακεδαιμονίοις δὲ Ἀθηνᾶς ἱερὸν Χαλκιοίκου καὶ ἐς ἡμᾶς ἔτι λείπεται, Ῥωμαίοις δὲ ἡ ἀγορὰ μεγέθους ἕνεκα καὶ κατασκευῆς τῆς ἄλλης θαῦμα οὖσα παρέχεται τὸν ὄροφον χαλκοῦν· οὕτω καὶ ναὸν τῷ Ἀπόλλωνι οὐκ
12 ἂν ἄπο γε τοῦ εἰκότος εἴη γενέσθαι χαλκοῦν. τὰ μέντοι ἄλλα με οὐκ ἔπειθεν ὁ λόγος, ἢ Ἡφαίστου τὸν ναὸν τέχνην εἶναι, ἢ τὰ ἐς τὰς ᾠδοὺς τὰς χρυσᾶς, ἃ δὴ Πίνδαρος ᾖσεν ἐπ᾽ ἐκείνῳ τῷ ναῷ,

Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ
ἄειδον Κηληδόνες.

811 οὗτος μὲν δὴ ταῦτα ἐς μίμησιν, ἐμοὶ δοκεῖν, τῶν παρ' Ὁμήρῳ Σειρήνων ἐποίησεν. οὐ μὴν οὐδὲ τρόπον ὅντινα ἀφανισθῆναι συνέπεσε τῷ ναῷ, κατὰ ταὐτὰ εἰρημένα εὕρισκον· καὶ γὰρ ἐς χάσμα γῆς ἐσπεσεῖν αὐτὸν καὶ ὑπὸ πυρὸς τακῆναι λέγουσιν. Τέταρτος δὲ ὑπὸ Τροφωνίου 13 μὲν εἰργάσθη καὶ Ἀγαμήδους, λίθου δὲ αὐτὸν ποιηθῆναι μνημονεύουσι· κατεκαύθη δὲ Ἐρξικλείδου μὲν Ἀθήνησιν ἄρχοντος, πρώτῳ δὲ τῆς ὀγδόης ὀλυμπιάδος ἔτει καὶ πεντηκοστῆς, ἣν Κροτωνιάτης ἐνίκα Διόγνητος. τὸν δ' ἐφ' ἡμῶν τῷ θεῷ ναὸν ᾠκοδόμησαν μὲν ἀπὸ τῶν ἱερῶν οἱ Ἀμφικτυόνες χρημάτων, ἀρχιτέκτων δέ [τις] Σπίνθαρος ἐγένετο αὐτοῦ Κορίνθιος.

VI. Πόλιν δὲ ἀρχαιοτάτην οἰκισθῆναί φασιν ἐνταῦθα ὑπὸ Παρνασοῦ, Κλεοδώρας δὲ εἶναι νύμφης παῖδα αὐτόν· καί οἱ πατέρας, καθάπερ γε καὶ ἄλλοις τῶν καλουμένων ἡρώων, Ποσειδῶνά τε θεὸν καὶ Κλεόπομπον ἄνδρα ἐπονομάζουσιν. ἀπὸ τούτου δὲ τοῦ Παρνασοῦ τῷ τε ὄρει τὸ ὄνομα τεθῆναι λέγουσι καὶ [ἀπὸ τούτου] Παρνασίαν ὀνομασθῆναι νάπην· τῶν πετομένων τε ὀρνίθων τὴν ἀπ' αὐτῶν μαντείαν γενέσθαι Παρνασοῦ τὸ εὕρημα. 2. Ταύτην μὲν οὖν κατακλυσθῆναι τὴν πόλιν ὑπὸ τῶν 2 ὄμβρων τῶν κατὰ Δευκαλίωνα συμβάντων· τῶν δὲ ἀνθρώπων ὅσοι διαφυγεῖν τὸν χειμῶνα ἠδυνήθησαν, λύκων ὠρυγαῖς ἀπεσώθησαν ἐς τοῦ Παρνασοῦ τὰ ἄκρα ὑπὸ ἡγεμόσι τῆς πορείας τοῖς θηρίοις, πόλιν δὲ ἣν ἔκτισαν, ἐκάλεσαν ἐπὶ τούτῳ Λυκώρειαν. λέγεται δὲ καὶ 3 ἄλλος διάφορος λόγος τῷ προτέρῳ, Ἀπόλλωνι ἐκ νύμφης Κωρυκίας γενέσθαι Λύκωρον, καὶ ἀπὸ μὲν Λυκώρου πόλιν Λυκώρειαν, τὸ ἄντρον δὲ ὀνομασθῆναι τὸ Κωρύκιον ἀπὸ τῆς νύμφης. λέγεται δὲ καὶ τάδε, Κε-

λαινῷ θυγατέρα Ὑάμῳ τῷ Λυκώρου γενέσθαι, Δελφὸν δέ, ἀφ' οὗ τῇ πόλει τὸ ὄνομα τὸ ἐφ' ἡμῶν ἐστί, Κελαι-
4 *νοῦς τε αὐτὸν τῆς Ὑάμου καὶ Ἀπόλλωνος εἶναι. Οἱ δὲ*
Καστάλιόν τε ἄνδρα αὐτόχθονα καὶ θυγατέρα ἐθέλου- 812
σιν αὐτῷ γενέσθαι Θυίαν, καὶ ἱερᾶσθαί τε τὴν Θυίαν Διονύσῳ πρῶτον καὶ ὄργια ἀγαγεῖν τῷ θεῷ· ἀπὸ ταύτης δὲ καὶ ὕστερον ὅσαι τῷ Διονύσῳ μαίνονται Θυιάδας καλεῖσθαί φασιν ὑπὸ ἀνθρώπων· Ἀπόλλωνος δ' οὖν παῖδα καὶ Θυίας νομίζουσιν εἶναι Δελφόν. οἱ δὲ μητρὸς μὲν Μελαίνης φασὶν αὐτόν, θυγατρὸς Κηφισοῦ.
5 3. *Χρόνῳ δὲ ὕστερον καὶ Πυθὼ τὴν πόλιν, οὐ Δελφοὺς μόνον ἐκάλεσαν οἱ περιοικοῦντες, καθὰ καὶ Ὁμήρῳ πεποιημένα ἐν καταλόγῳ Φωκέων ἐστίν. Οἱ μὲν δὴ γενεαλογεῖν τὰ πάντα ἐθέλοντες παῖδα εἶναι Δελφοῦ Πύθην καὶ ἀπὸ τούτου βασιλεύσαντος γενέσθαι τῇ πόλει τὸ ὄνομα ἥγηνται· λόγος δὲ ὃς ἥκει τῶν ἀνθρώπων ἐς τοὺς πολλούς, τὸν ὑπὸ τοῦ Ἀπόλλωνος τοξευθέντα σήπεσθαί φησιν ἐνταῦθα, καὶ διὰ τοῦτο [τὸ] ὄνομα τῇ πόλει γενέσθαι Πυθώ· πύθεσθαι γὰρ δὴ τὰ σηπόμενα οἱ τότε ἔλεγον, καὶ τοῦδε ἕνεκα Ὅμηρος πεποίηκεν ὡς ἡ τῶν Σειρήνων νῆσος ἀνάπλεως ὀστῶν εἴη, ὅτι οἱ τῆς ᾠδῆς*
6 *αὐτῶν ἀκούοντες ἐπύθοντο ἄνθρωποι. Τὸν δὲ ἀποθανόντα ὑπὸ τοῦ Ἀπόλλωνος ποιηταὶ μὲν δράκοντα εἶναι καὶ ἐπὶ τῷ μαντείῳ φύλακα ὑπὸ Γῆς τετάχθαι φασί· λέγεται δὲ καὶ ὡς Κριοῦ δυναστεύοντος ἀνδρὸς περὶ Εὔβοιαν παῖς γένοιτο ὑβριστής, καὶ ἐσύλησε μὲν τοῦ θεοῦ τὸ ἱερόν, ἐσύλησε δὲ καὶ οἴκους ἀνδρῶν εὐδαιμόνων. Ὡς δὲ ἐπεστράτευε καὶ δεύτερον, ἐνταῦθα οἱ Δελφοὶ τὸν Ἀπόλλωνα ἱκέτευον ἀμῦναί σφισι τὸν ἐπιόντα*
7 *κίνδυνον· καὶ ἡ Φημονόη πρόμαντις τηνικαῦτα οὖσα ἐν ἑξαμέτρῳ σφίσιν ἔχρησεν·*

Ἀγχοῦ δὴ βαρὺν ἰὸν ἐπ' ἀνέρι Φοῖβος ἐφήσει

σίντη Παρνησοῖο· φόνου δέ ἑ Κρήσιοι ἄνδρες
813 *χεῖρας ἁγιστεύουσι· τὸ δὲ κλέος οὔ ποτ' ὀλεῖται.*

VII. *Ἔοικε δὲ ἐξ ἀρχῆς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς ὑπὸ ἀνθρώπων ἐπιβεβουλεῦσθαι πλείστων ἤδη. οὗτός τε ὁ Εὐβοεὺς λῃστής, καὶ ἔτεσιν ὕστερον τὸ ἔθνος τὸ Φλεγυῶν, ἔτι δὲ Πύρρος ὁ Ἀχιλλέως ἐπεχείρησεν αὐτῷ, καὶ δυναμέως μοῖρα τῆς Ξέρξου, καὶ οἱ χρόνον τε ἐπὶ πλεῖστον καὶ μάλιστα τοῦ θεοῦ τοῖς χρήμασιν ἐπελθόντες, οἱ ἐν Φωκεῦσι δυνάσται, καὶ ἡ Γαλατῶν στρατιά. Ἔμελλε δὲ ἄρα οὐδὲ τῆς Νέρωνος ἐς πάντα ὀλιγωρίας ἀπειράτως ἕξειν, ὃς τὸν Ἀπόλλωνα πεντακοσίας θεῶν τε ἀναμὶξ ἀφείλετο καὶ ἀνθρώπων εἰκόνας χαλκᾶς.*

2. *Ἀρχαιότατον δὲ ἀγώνισμα γενέσθαι μνημονεύουσι καὶ ἐφ' ᾧ πρῶτον ἆθλα ἔθεσαν, ᾆσαι ὕμνον ἐς τὸν θεόν· καὶ ᾖσε καὶ ἐνίκησεν ᾄδων Χρυσόθεμις ἐκ Κρήτης, οὗ δὴ ὁ πατὴρ λέγεται Καρμάνωρ καθῆραι Ἀπόλλωνα. Χρυσοθέμιδος δὲ ὕστερον Φιλάμμωνά τε ᾠδῇ μνημονεύουσι νικῆσαι καὶ ἐπ' ἐκείνῳ Θάμυριν τὸν Φιλάμμωνος. Ὀρφέα δὲ σεμνολογίᾳ τῇ ἐπὶ τελεταῖς καὶ ὑπὸ φρονήματος τοῦ ἄλλου καὶ Μουσαῖον τῇ ἐς πάντα μιμήσει τοῦ Ὀρφέως οὐκ ἐθελῆσαί φασιν αὐτοὺς ἐπὶ ἀγῶνι μουσικῆς ἐξετάζεσθαι. Φασὶ δὲ καὶ Ἐλευθῆρα* 3 *ἀνελέσθαι Πυθικὴν νίκην μέγα καὶ ἡδὺ φωνοῦντα, ἐπεὶ ᾄδειν γε αὐτὸν οὐχ αὐτοῦ τὴν ᾠδήν. λέγεται δὲ καὶ Ἡσίοδον ἀπελαθῆναι τοῦ ἀγωνίσματος ἅτε οὐ κιθαρίζειν ὁμοῦ τῇ ᾠδῇ δεδιδαγμένον. Ὅμηρος δὲ ἀφίκετο μὲν ἐς Δελφοὺς ἐρησόμενος ὁπόσα καὶ ἐδεῖτο, ἔμελλε δὲ αὐτῷ καὶ κιθαρίζειν διδαχθέντι ἀχρεῖον τὸ μάθημα ὑπὸ τῶν ὀφθαλμῶν τῆς συμφορᾶς γενήσεσθαι.* 3. *Τῆς δὲ* 4 *τεσσαρακοστῆς ὀλυμπιάδος καὶ ὀγδόης, ἣν Γλαυκίας ὁ Κροτωνιάτης ἐνίκησε, ταύτης ἔτει τρίτῳ ἆθλα ἔθεσαν οἱ Ἀμφικτυόνες κιθαρῳδίας μὲν καθὰ καὶ ἐξ ἀρχῆς,*

προσέθεσαν δὲ καὶ αὐλῳδίας ἀγώνισμα καὶ αὐλῶν·
ἀνηγορεύθησαν δὲ νικῶντες Κεφαλλήν τε ὃς λάμποι
κιθαρῳδίᾳ, καὶ αὐλῳδὸς Ἀρκὰς Ἐχέμβροτος, Σακάδας
δὲ Ἀργεῖος ἐπὶ τοῖς αὐλοῖς· ἀνείλετο δὲ ὁ Σακάδας 814
5 οὗτος καὶ ἄλλας δύο τὰς ἐφεξῆς ταύτης πυθιάδας. Ἔθε-
σαν δὲ καὶ ἆθλα τότε ἀθληταῖς πρῶτον, τά τε ἐν Ὀλυμ-
πίᾳ πλὴν τεθρίππου, καὶ αὐτοὶ νομοθετήσαντες δολίχου
καὶ διαύλου παισὶν εἶναι δρόμον. δευτέρᾳ δὲ πυθιάδι
οὐκ ἐπὶ ἄθλοις ἐκάλεσαν ἔτι ἀγωνίζεσθαι, στεφανίτην
δὲ τὸν ἀγῶνα ἀπὸ τούτου κατεστήσαντο· καὶ αὐλῳδίαν
τε κατέλυσαν, καταγνόντες οὐκ εἶναι τὸ ἄκουσμα εὔφη-
μον· ἡ γὰρ αὐλῳδία μέλη τε ἦν αὐλῶν τὰ σκυθρωπό-
τατα, καὶ ἐλεγεῖα [καὶ θρῆνοι] προσᾳδόμενα τοῖς αὐλοῖς.
6 Μαρτυρεῖ δέ μοι καὶ τοῦ Ἐχεμβρότου τὸ ἀνάθημα, τρί-
πους χαλκοῦς ἀνατεθεὶς τῷ Ἡρακλεῖ τῷ ἐν Θήβαις· ἐπί-
γραμμα δὲ ὁ τρίπους εἶχεν·

Ἐχέμβροτος Ἀρκὰς ἔθηκε τῷ Ἡρακλεῖ
νικήσας τόδ' ἄγαλμ' Ἀμφικτυόνων ἐν ἀέθλοις,
Ἕλλησιν δ' ᾄδων μέλεα καὶ ἐλέγους.

Κατὰ τοῦτο μὲν τῆς αὐλῳδίας ἐπαύθη τὸ ἀγώνισμα·
προσέθεσαν δὲ καὶ ἵππων δρόμον· ἀνηγορεύθη δὲ ἐπὶ
7 τῷ ἅρματι Κλεισθένης ὁ Σικυῶνος τυραννήσας. Ὀγδόῃ
δὲ πυθιάδι προσενομοθέτησαν κιθαριστὰς τοὺς ἐπὶ τῶν
κρουμάτων τῶν ἀφώνων· καὶ Τεγεάτης ἐστεφανοῦτο
Ἀγέλαος. Τρίτῃ δὲ πυθιάδι ἐπὶ ταῖς εἴκοσι προστιθέα-
σιν ὁπλίτην δρόμον· καὶ ἐπ' αὐτῷ Τιμαίνετος ἐκ Φλιοῦν-
τος ἀνείλετο τὴν δάφνην, ὀλυμπιάσιν ὕστερον πέντε ἢ
Δαμάρετος Ἡραιεὺς ἐνίκησεν. Ὀγδόῃ δὲ ἐπὶ τεσσαρά-
κοντα πυθιάδι καὶ συνωρίδος εἶναι κατεστήσαντο δρό-
μον· καὶ Ἐξηκεστίδου Φωκέως ἐνίκησεν ἡ συνωρίς.
Πέμπτῃ δὲ πυθιάδι ἀπὸ ταύτης πώλους ἔζευξαν ὑπὸ
ἅρματι· καὶ παρέδραμεν Ὀρφώνδα Θηβαίου τέθριππον.

Παγκράτιον δὲ ἐν παισὶ καὶ συνωρίδα τε πώλων καὶ 8
πῶλον κέλητα πολλοῖς ἔτεσιν ὕστερον κατεδέξαντο
Ἠλείων, τὸ μὲν πρώτῃ πυθιάδι ἐπὶ ταῖς ἑξήκοντα, καὶ
Ἰολαΐδας ἐνίκα Θηβαῖος· διαλιπόντες δὲ ἀπὸ ταύτης
μίαν κέλητι ἔθεσαν δρόμον πώλῳ, ἐνάτῃ δὲ ἐπὶ ταῖς ἑξή-
κοντα συνωρίδι πωλικῇ· καὶ ἐπὶ μὲν τῷ πώλῳ τῷ κέλητι
815 Λυκόρμας ἀνηγορεύθη Λαρισαῖος, Πτολεμαῖος δὲ ἐπὶ τῇ
συνωρίδι Μακεδών· ἔχαιρον γὰρ δὴ Μακεδόνες οἱ ἐν
Αἰγύπτῳ καλούμενοι βασιλεῖς, καθάπερ γε ἦσαν. δάφνης
δὲ στέφανος ἐπὶ τῶν Πυθίων τῇ νίκῃ κατ᾽ ἄλλο μὲν
ἐμοὶ δοκεῖν ἐστιν οὐδέν, ὅτι δὲ τῆς Λάδωνος θυγατρὸς
Ἀπόλλωνα ἐρασθῆναι κατέσχηκεν ἡ φήμη.

VIII. Καταστήσασθαι δὲ συνέδριον ἐνταῦθα Ἑλλή-
νων οἱ μὲν Ἀμφικτυόνα τὸν Δευκαλίωνος νομίζουσι, καὶ
ἀπὸ τούτου τοῖς συνελθοῦσιν ἐπίκλησιν Ἀμφικτυόνας
γενέσθαι· Ἀνδροτίων δὲ ἐν τῇ Ἀτθίδι ἔφη συγγραφῇ ὡς
τὸ ἐξ ἀρχῆς ἀφίκοντο ἐς Δελφοὺς παρὰ τῶν προσοικούν-
των συνεδρεύοντες, καὶ ὀνομασθῆναι μὲν Ἀμφικτίονας
τοὺς συνελθόντας, ἐκνικῆσαι δὲ ἀνὰ χρόνον τὸ νῦν σφί-
σιν ὄνομα. 2. Ὑπὸ μὲν δὴ Ἀμφικτυόνος αὐτοῦ φασὶν ἐς 2
συνέδριον κοινὸν τοσάδε γένη τοῦ Ἑλληνικοῦ συναχθῆ-
ναι, Ἴωνας, Δόλοπας, Θεσσαλούς, Αἰνιᾶνας, Μάγνητας,
Μαλιέας, Φθιώτας, Δωριεῖς, Φωκέας, Λοκροὺς τῇ Φω-
κίδι ὁμόρους ὑπὸ τῷ ὄρει τῇ Κνήμιδι. καταλαβόντων
δὲ Φωκέων τὸ ἱερόν, καὶ ὕστερον δεκάτῳ ἔτει λαβόντος
816 πέρας τοῦ πολέμου, μεταβολὴν καὶ τὰ Ἀμφικτυόνων ἔσχε·
Μακεδόνες μὲν γὰρ τελεῖν ἐς Ἀμφικτυόνας εὕραντο,
Φωκέων δὲ τὸ ἔθνος καὶ ἐκ τοῦ Δωρικοῦ Λακεδαιμόνιοι
μετασχόντες ἐπαύσαντο Ἀμφικτυονίας, οἱ μὲν τοῦ τολμή-
ματος ἕνεκα οἱ Φωκεῖς, οἱ δὲ συμμαχίας εὕραντο οἱ Λα-
κεδαιμόνιοι τῆς Φωκέων ζημίαν. Βρέννου δὲ τὸν Γαλα- 3
τῶν στρατὸν ἀγαγόντος ἐς Δελφοὺς προθυμίαν ἐς τὸν

πόλεμον οἱ Φωκεῖς πλείστην τοῦ Ἑλληνικοῦ παρέσχοντο,
καὶ ἀπὸ τοῦ ἔργου τούτου μετασχεῖν Ἀμφικτυονίας αὖθις
καὶ ἐς τὰ ἄλλα ἐγένετο ἀξίωμα αὐτοῖς ἀνασώσασθαι τὸ
ἀρχαῖον. βασιλεὺς δὲ Αὔγουστος μετεῖναι καὶ Νικοπο-
λίταις τοῖς πρὸς τῷ Ἀκτίῳ συνεδρίου τοῦ Ἀμφικτυόνων
ἠθέλησε· Μάγνητας μὲν οὖν καὶ Μαλιεῖς καὶ Αἰνιᾶνας
καὶ Φθιώτας Θεσσαλοῖς συντελεῖν, τὰς ψήφους δὲ ὅσαι
τούτων τε καὶ Δολόπων, οὐ γὰρ ἔτι ἦν Δολόπων γένος,
4 Νικοπολίτας φέρειν. 3. Οἱ [δὲ] Ἀμφικτυόνες οἱ ἐπ'
ἐμοῦ τριάκοντα ἀριθμῷ ἦσαν. ἐκ Νικοπόλεως μὲν καὶ
Μακεδονίας τε καὶ Θεσσαλῶν, ἀπὸ ἑκάστων ἀριθμῷ ἦσαν
ἕξ, Βοιωτῶν δέ, Θεσσαλίαν γὰρ καὶ οὗτοι τὰ ἀρχαιότερα
ᾤκησαν καὶ Αἰολεῖς τηνικαῦτα ἐκαλοῦντο, καὶ ἐκ Φω-
κέων τε καὶ Δελφῶν, παρὰ τούτων δυο ἑκάστων· εἷς δὲ
5 ἐκ Δωρίδος τῆς ἀρχαίας. πέμπουσι δὲ καὶ Λοκροὶ οἵ τε
καλούμενοι Ὀζόλαι καὶ οἱ πέραν Εὐβοίας ἕνα ἑκάτεροι·
καὶ Εὐβοεύς ἐστιν εἷς· Πελοποννησίων δὲ ἐξ Ἄργους καὶ
Σικυῶνος καὶ Κορίνθου σὺν Μεγαρεῦσιν ἐστὶν εἷς, καὶ
εἷς Ἀθηναῖος. Αἱ μὲν δὴ πόλεις Ἀθῆναι καὶ Δελφοὶ καὶ
ἡ Νικόπολις, αὗται μὲν ἀποστέλλουσι συνεδρεύσοντας
ἐς Ἀμφικτυονίαν πᾶσαν· ἀπὸ δὲ ἐθνῶν τῶν κατειλεγμέ-
νων ἑκάστῃ πόλει ἀνὰ μέρος ἐς Ἀμφικτυόνας καὶ ἐν χρό-
νου περιόδῳ συντελεῖν ἔστιν.
6 4. Ἐσελθόντι δὲ ἐς τὴν πόλιν εἰσὶν ἐφεξῆς ναοί· καὶ
ὁ μὲν πρῶτος αὐτῶν ἐρείπια ἦν, ὁ ἐπὶ τούτῳ δὲ κενὸς
καὶ ἀγαλμάτων καὶ ἀνδριάντων· ὁ δὲ αὐτῶν τρίτος καὶ
ὁ τέταρτος, ὁ μὲν τῶν ἐν Ῥώμῃ βασιλευσάντων εἶχεν οὐ
πολλῶν τινῶν εἰκόνας, ὁ τέταρτος δὲ Ἀθηνᾶς καλεῖται
Προνοίας. Τῶν δὲ ἀγαλμάτων τὸ ἐν τῷ προνάῳ Μασσα-
λιωτῶν ἀνάθημά ἐστι, μεγέθει τοῦ ἔνδον ἀγάλματος μεῖ-
ζον. Οἱ δὲ Μασσαλιῶται Φωκαέων εἰσὶν ἄποικοι τῶν ἐν 817
Ἰωνίᾳ, μοῖρα καὶ αὕτη τῶν ποτὲ Ἅρπαγον τὸν Μῆδον

φυγόντων ἐκ Φωκαίας· γενόμενοι δὲ ναυσὶν ἐπικρατέστεροι Καρχηδονίων, τήν τε γῆν ἣν ἔχουσιν ἐκτήσαντο καὶ ἐπὶ μέγα ἀφίκοντο εὐδαιμονίας. τῶν μὲν δὴ Μασ- 7
σαλιωτῶν χαλκοῦν τὸ ἀνάθημά ἐστι· χρυσοῦ δὲ ἀσπίδα ὑπὸ Κροίσου τοῦ Λυδοῦ τῇ Ἀθηνᾷ τῇ Προνοίᾳ δοθεῖσαν, ἐλέγετο ὑπὸ τῶν Δελφῶν ὡς Φιλόμηλος αὐτὴν ἐσύλησε. πρὸς δὲ τῷ ἱερῷ τῆς Προνοίας Φυλάκου τέμενός ἐστιν ἥρωος· καὶ ὁ Φύλακος οὗτος ὑπὸ Δελφῶν ἔχει φήμην κατὰ τὴν ἐπιστρατείαν σφίσιν ἀμῦναι τὴν Περσῶν.
Ἐν δὲ τοῦ γυμνασίου τῷ ὑπαίθρῳ πεφυκέναι ποτὲ 8
ἀγρίαν φασὶν ὕλην, καὶ Ὀδυσσέα, ἡνίκα ὡς τὸν Αὐτόλυκον ἀφικόμενος μετὰ τοῦ Αὐτολύκου τῶν παίδων ἐθήρευε, τότε αὐτὸν τὸ τραῦμα τὸ ὑπὲρ τοῦ γόνατος ἐνταῦθα σχεῖν ὑπὸ τοῦ συός. 5. Τραπομένῳ δὲ ἐς ἀριστερὰν ἀπὸ τοῦ γυμνασίου, καὶ ὑποκαταβάντι οὐ πλέον, ἐμοὶ δοκεῖν, ἢ τρία στάδια, ποταμός ἐστιν ὀνομαζόμενος Πλεῖστος· οὗτος ὁ Πλεῖστος ἐπὶ Κίρραν τὸ ἐπίνειον Δελφῶν καὶ τὴν ταύτῃ κάτεισι θάλασσαν. Ἐκ δὲ τοῦ γυμνασίου τὴν ἐς 9
τὸ ἱερὸν ἀνιόντι ἔστιν ἐν δεξιᾷ τῆς ὁδοῦ τὸ ὕδωρ τῆς Κασταλίας, καὶ πιεῖν ἡδύ. δοῦναι δὲ τὸ ὄνομα τῇ πηγῇ γυναῖκα λέγουσιν ἐπιχωρίαν, οἱ δὲ ἄνδρα Κastάλιον. Πανύασις δὲ ὁ Πολυάρχου πεποιηκὼς ἐς Ἡρακλέα ἔπη θυγατέρα Ἀχελῴου τὴν Κασταλίαν φησὶν εἶναι· λέγει γὰρ δὴ περὶ τοῦ Ἡρακλέους·

Παρνησὸν νιφόεντα θοοῖς διὰ ποσσὶ περήσας
ἵκετο Κασταλίης Ἀχελωΐδος ἄμβροτον ὕδωρ.

Ἤκουσα δὲ καὶ ἄλλο τοιόνδε, τὸ ὕδωρ τῇ Κασταλίᾳ πο- 10
ταμοῦ δῶρον εἶναι τοῦ Κηφισοῦ. τοῦτο ἐποίησε καὶ Ἀλκαῖος ἐν προοιμίῳ τῷ ἐς Ἀπόλλωνα· βεβαιοῦνται δὲ οὐχ ἥκιστα οἱ Λιλαιεῖς, οἳ ἐς τοῦ Κηφισοῦ τὴν πηγὴν πέμματα ἐπιχώρια καὶ ἄλλα ὁπόσα νομίζουσιν ἀφιᾶσιν

ἔν τισιν εἰρημέναις ἡμέραις, καὶ αὖθις ἐν τῇ Κασταλίᾳ 818
φασὶν αὐτὰ ἀναφαίνεσθαι.

IX. Δελφοῖς δὲ ἡ πόλις ἄναντες διὰ πάσης παρέχεται σχῆμα· κατὰ τὰ αὐτὰ δὲ τῇ πόλει τῇ ἄλλῃ καὶ ὁ ἱερὸς περίβολος τοῦ Ἀπόλλωνος. οὗτος δὲ μεγέθει μέγας καὶ ἀνωτάτω τοῦ ἄστεώς ἐστι· τέτμηνται δὲ καὶ ἔξοδοι δι᾽ αὐτοῦ συνεχεῖς. Ὁπόσα δὲ τῶν ἀναθημάτων εἶναί μοι λόγου μάλιστα ἄξια ἐφαίνετο, ποιησόμεθα αὐτῶν
2 μνήμην. Ἀθλητὰς μὲν οὖν καὶ ὅσοι ἀγωνισταὶ μουσικῆς τῶν ἀνθρώπων τοῖς πλείοσιν ἐγένοντο μετὰ οὐδενὸς λογισμοῦ, οὐ πάνυ τι ἡγοῦμαι σπουδῆς ἀξίους· ἀθλητὰς δὲ ὁπόσοι τι καὶ ὑπελίποντο ἐς δόξαν, ἐν λόγῳ σφᾶς ἐδήλωσα τῷ ἐς Ἠλείους. Φαΰλῳ δὲ Κροτωνιάτῃ, — Ὀλυμπίασι μὲν οὐκ ἔστιν αὐτῷ νίκη, τὰς δὲ Πυθοῖ πεντάθλου δύο ἀνείλετο καὶ σταδίου τὴν τρίτην· ἐναυμάχησε δὲ καὶ ἐναντία τοῦ Μήδου ναῦν τε παρασκευασάμενος οἰκείαν, καὶ Κροτωνιατῶν ὁπόσοι ἐπεδήμουν τῇ Ἑλλάδι ἀνεβίβασε — τούτου ἐστὶν ἀνδριὰς ἐν Δελφοῖς. τὰ μὲν δὴ ἐς
3 τὸν Κροτωνιάτην οὕτως εἶχεν. 2. Ἐσελθόντι δὲ ἐς τὸ τέμενος χαλκοῦς ταῦρος τέχνη μὲν Θεοπρόπου ἐστὶν Αἰγινήτου, Κορκυραίων δὲ ἀνάθημα. λέγεται δὲ ὡς ταῦρος ἐν τῇ Κορκύρᾳ καταλιπὼν τὰς ἄλλας βοῦς καὶ ἀπὸ τῆς νομῆς κατερχόμενος ἐμυκᾶτο ἐπὶ θαλάσσῃ· γινομένου δὲ ἐπὶ ἡμέρᾳ πάσῃ τοῦ αὐτοῦ κάτεισιν ἐπὶ θάλασσαν ὁ βουκόλος, καὶ εἶδεν ἰχθύων τῶν θύννων ἀτέκμαρτόν
4 τι ἀριθμῷ πλῆθος. καὶ ὁ μὲν δῆλα τοῖς ἐν τῇ πόλει Κορκυραίοις ἐποίησεν· οἱ δέ, ἑλεῖν γὰρ τοὺς θύννους προαιρούμενοι τὴν ἄλλως ταλαιπωρίαν εἶχον, θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς· καὶ οὕτω Ποσειδῶνί τε ἐκεῖνον θύουσι τὸν ταῦρον, καὶ αὐτίκα μετὰ τὴν θυσίαν αἱροῦσι τοὺς ἰχθῦς, καί σφισι τὸ ἀνάθημα ἐν Ὀλυμπίᾳ τε καὶ
5 ἐν Δελφοῖς ἐστιν ἡ δεκάτη τῆς ἄγρας. 3. Ἐφεξῆς δὲ

Τεγεατῶν ἀναθήματα ἀπὸ Λακεδαιμονίων Ἀπόλλων
819 ἐστὶ καὶ Νίκη, καὶ οἱ ἐπιχώριοι τῶν ἡρώων, Καλλιστώ
τε ἡ Λυκάονος καὶ Ἀρκὰς ὁ ἐπώνυμος τῆς γῆς καὶ οἱ τοῦ
Ἀρκάδος παῖδες Ἔλατος καὶ Ἀφείδας καὶ Ἀζάν, ἐπὶ δὲ
αὐτοῖς Τρίφυλος· τούτῳ δὲ ἦν οὐκ Ἐρατὼ τῷ Τριφύλῳ
μήτηρ, ἀλλὰ Λαοδάμεια ἡ Ἀμύκλα τοῦ ἐν Λακεδαίμονι
βασιλεύσαντος· ἀνάκειται δὲ καὶ Ἔρασος Τριφύλου παῖς.
Οἱ δὲ εἰργασμένοι τὰ ἀγάλματα Παυσανίας ἐστὶν Ἀπολ- 6
λωνιάτης, οὗτος μὲν τόν τε Ἀπόλλωνα καὶ Καλλιστώ,
τὴν δὲ Νίκην καὶ τοῦ Ἀρκάδος τὴν εἰκόνα ὁ Σικυώνιος
Δαίδαλος· Ἀντιφάνης δὲ Ἀργεῖος καὶ Σαμόλας Ἀρκάς,
οὗτος μὲν τὸν Τρίφυλον καὶ Ἀζᾶνα, Ἔλατον δὲ καὶ Ἀφεί-
δαντά τε καὶ Ἔρασον ὁ Ἀργεῖος. Ταῦτα μὲν δὴ οἱ Τε-
γεᾶται ἔπεμψαν ἐς Δελφοὺς Λακεδαιμονίους, ὅτε ἐπὶ
σφᾶς ἐστρατεύσαντο, αἰχμαλώτους ἑλόντες· 4. Λακε- 7
δαιμονίων δὲ ἀπαντικρὺ τούτων ἀναθήματά ἐστιν ἀπ'
Ἀθηναίων, Διόσκουροι καὶ Ζεὺς καὶ Ἀπόλλων τε καὶ
Ἄρτεμις, ἐπὶ δὲ αὐτοῖς Ποσειδῶν τε καὶ Λύσανδρος ὁ
Ἀριστοκρίτου στεφανούμενος ὑπὸ τοῦ Ποσειδῶνος, Ἄβας
τε ὃς τῷ Λυσάνδρῳ τότε ἐμαντεύετο, καὶ Ἕρμων ὁ τὴν
ναῦν τοῦ Λυσάνδρου τὴν στρατηγίδα κυβερνῶν. τοῦ- 8
τον μὲν δὴ τὸν Ἕρμωνα Θεόκοσμος ποιήσειν ἔμελλεν ὁ
Μεγαρεὺς ἅτε ὑπὸ τῶν Μεγαρέων ἐγγραφέντα ἐς τὴν
πολιτείαν· οἱ δὲ Διόσκουροι Ἀντιφάνους εἰσὶν Ἀργείου,
καὶ ὁ μάντις τέχνη Πίσωνος ἐκ Καλαυρείας τῆς Τροιζη-
νίων· Ἀθηνόδωρος δὲ καὶ Δαμέας, ὁ μὲν τὴν Ἄρτεμίν
τε καὶ Ποσειδῶνα εἰργάσατο, ἔτι δὲ τὸν Λύσανδρον,
Ἀθηνόδωρος δὲ τὸν Ἀπόλλωνα ἐποίησε καὶ τὸν Δία·
οὗτοι δὲ Ἀρκάδες εἰσὶν ἐκ Κλείτορος. Ἀνάκεινται δὲ καὶ 9
ὄπισθεν τῶν κατειλεγμένων ὅσοι συγκατειργάσαντο τῷ
Λυσάνδρῳ τὰ ἐν Αἰγὸς ποταμοῖς ἢ αὐτῶν Σπαρτιατῶν
ἢ ἀπὸ τῶν συμμαχησάντων· εἰσὶ δὲ οἵδε, Ἄρακος μὲν

καὶ Ἐριάνθης, ὁ μὲν αὐτῶν ἐκ Λακεδαίμονος, ὁ δὲ Ἐριάν-
θης Βοιώτιος * * * ὑπὲρ τοῦ Μίμαντος, ἐντεῦθεν μὲν 820
Ἀστυκράτης, Χῖοι δὲ Κηφισοκλῆς καὶ Ἑρμόφαντός τε καὶ
Ἱκέσιος, Τίμαρχος δὲ καὶ Διαγόρας Ῥόδιοι, Κνίδιος δὲ
Θεόδαμος, ἐκ δὲ Ἐφέσου Κιμμέριος, καὶ Μιλήσιος Αἰαντί-
10 δης. Τούτους μὲν δὴ ἐποίησε Τίσανδρος, τοὺς δὲ ἐφε-
ξῆς Ἄλυπος Σικυώνιος, Θεόπομπον Μύνδιον καὶ Κλεο-
μήδην Σάμιον καὶ ἐξ Εὐβοίας Ἀριστοκλέα τε Καρύστιον
καὶ Αὐτόνομον Ἐρετριέα καὶ Ἀριστόφαντον Κορίνθιον
καὶ Ἀπολλόδωρον Τροιζήνιον καὶ ἐξ Ἐπιδαύρου Δίωνα
τῆς ἐν τῇ Ἀργολίδι. ἐχόμενοι δὲ τούτων Ἀξιόνικός ἐστιν
Ἀχαιὸς ἐκ Πελλήνης, ἐκ δὲ Ἑρμιόνος Θεάρης, καὶ Φω-
κεύς τε Πυρρίας καὶ Κώμων Μεγαρεὺς καὶ Ἀγασιμένης
Σικυώνιος, ἐκ δὲ Ἀμβρακίας καὶ Κορίνθου τε καὶ Λευ-
κάδος Τηλυκράτης καὶ Πυθόδοτος Κορίνθιος καὶ Ἀμ-
βρακιώτης Εὐαντίδας· τελευταῖοι δὲ Ἐπικυρίδας καὶ
Ἐτεόνικος Λακεδαιμόνιοι· Πατροκλέους δὲ καὶ Κανά-
11 χου φασὶν ἔργα. 5. Τὴν δὲ πληγὴν Ἀθηναῖοι τὴν ἐν
Αἰγὸς ποταμοῖς οὐ μετὰ τοῦ δικαίου συμβῆναί σφισιν
ὁμολογοῦσι· προδοθῆναι γὰρ ἐπὶ χρήμασιν ὑπὸ τῶν
στρατηγησάντων, Τυδέα δὲ εἶναι καὶ Ἀδείμαντον οἳ τὰ
δῶρα ἐδέξαντο παρὰ Λυσάνδρου. καὶ ἐς ἀπόδειξιν τοῦ
λόγου Σιβύλλης παρέχονται τῶν χρησμῶν·

Καὶ τότ' Ἀθηναίοισι βαρύστονα κήδεα θήσει
Ζεὺς ὑψιβρεμέτης, οὗπερ κράτος ἐστὶ μέγιστον,
νηυσὶ φερεπτολέμοισι μάχην καὶ δηϊοτῆτα,
ὀλλυμέναις δολεροῖσι τρόποις κακότητι νομήων.

Τὰ δὲ ἕτερα ἐκ Μουσαίου χρησμῶν μνημονεύουσι·

Καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος
ἡγεμόνων κακότητι· παραιφασίη δέ τις ἔσται, 821
ἡττᾶλοισ' ἠμούσουσι πόλιν, τίσουσι δὲ ποινήν.

12 ταῦτα μὲν δὴ ἐπὶ τοσοῦτον εἰρήσθω· 6. τὸν δὲ ὑπὲρ

τῆς καλουμένης Θυρέας Λακεδαιμονίων ἀγῶνα καὶ Ἀρ-
γείων, Σίβυλλα μὲν καὶ τοῦτον προεθέσπισεν ὡς συμ-
βήσοιτο ἐξ ἴσου ταῖς πόλεσιν, Ἀργεῖοι δὲ ἀξιοῦντες ἐσχη-
κέναι πλέον ἐν τῷ ἔργῳ χαλκοῦν ἵππον, τὸν δούρειον
δῆθεν, ἀπέστειλαν ἐς Δελφούς· τὸ δὲ ἔργον Ἀντιφά-
νους ἐστὶν Ἀργείου.

X. Τῷ βάθρῳ δὲ τῷ ὑπὸ τὸν ἵππον τὸν δούρειον
[δὴ] ἐπίγραμμα μέν ἐστιν ἀπὸ δεκάτης τοῦ Μαραθωνίου
ἔργου τεθῆναι τὰς εἰκόνας· εἰσὶ δὲ Ἀθηνᾶ τε καὶ Ἀπόλ-
λων καὶ ἀνὴρ τῶν στρατηγησάντων Μιλτιάδης· ἐκ δὲ
τῶν ἡρώων καλουμένων Ἐρεχθεύς τε καὶ Κέκροψ καὶ
Πανδίων, [οὗτοι μὲν δὴ] καὶ Λεώς τε καὶ Ἀντίοχος ὁ ἐκ
Μήδας Ἡρακλεῖ γενόμενος τῆς Φύλαντος, ἔτι δὲ Αἰγεύς
τε καὶ παίδων τῶν Θησέως Ἀκάμας, οὗτοι μὲν καὶ φυ-
λαῖς Ἀθήνῃσιν ὀνόματα κατὰ μάντευμα ἔδοσαν τὸ ἐκ
Δελφῶν· ὁ δὲ Μελάνθου Κόδρος καὶ Θησεὺς καὶ Φυ-
λεύς, οὗτοι δὲ οὐκέτι τῶν ἐπωνύμων εἰσί. τοὺς μὲν δὴ 2
κατειλεγμένους Φειδίας ἐποίησε, καὶ ἀληθεῖ λόγῳ δε-
κάτη καὶ οὗτοι τῆς μάχης εἰσίν· Ἀντίγονον δὲ καὶ τὸν
παῖδα Δημήτριον καὶ Πτολεμαῖον τὸν Αἰγύπτιον χρόνῳ
ὕστερον ἀπέστειλαν ἐς Δελφούς, τὸν μὲν Αἰγύπτιον
καὶ εὐνοίᾳ τινὶ ἐς αὐτόν, τοὺς δὲ Μακεδόνας τῷ ἐς αὐ-
τοὺς δέει.

2. Πλησίον δὲ τοῦ ἵππου καὶ ἄλλα ἀναθήματά ἐστιν 3
Ἀργείων, οἱ ἡγεμόνες τῶν ἐς Θήβας ὁμοῦ Πολυνείκει
στρατευσάντων, Ἄδραστός τε ὁ Ταλαοῦ καὶ Τυδεὺς
Οἰνέως καὶ οἱ ἀπόγονοι Προίτου Καπανεὺς Ἱππόνου καὶ
Ἐτέοκλος ὁ Ἴφιος, Πολυνείκης τε καὶ ὁ Ἱππομέδων
822 ἀδελφῆς Ἀδράστου παῖς· Ἀμφιαράου δὲ καὶ ἅρμα ἐγγὺς
πεποίηται καὶ ἐφεστηκὼς Βάτων ἐπὶ τῷ ἅρματι, ἡνίο-
χός τε τῶν ἵππων καὶ τῷ Ἀμφιαράῳ καὶ ἄλλως προσή-
κων κατὰ οἰκειότητα· τελευταῖος δὲ Ἀλιθέρσης ἐστὶν

4 αὐτῶν. Οὗτοι μὲν δὴ Ὑπατοδώρου καὶ Ἀριστογείτονός
εἰσιν ἔργα, καὶ ἐποίησαν σφᾶς, ὡς αὐτοὶ Ἀργεῖοι λέ-
γουσιν, ἀπὸ τῆς νίκης ἥντινα ἐν Οἰνόῃ τῇ Ἀργείᾳ αὐτοί
τε καὶ Ἀθηναίων ἐπίκουροι Λακεδαιμονίους ἐνίκησαν.
Ἀπὸ δὲ τοῦ αὐτοῦ, ἐμοὶ δοκεῖν, ἔργου καὶ τοὺς Ἐπι-
γόνους ὑπὸ Ἑλλήνων καλουμένους ἀνέθεσαν οἱ Ἀργεῖοι.
κεῖνται γὰρ δὴ εἰκόνες καὶ τούτων, Σθένελος καὶ Ἀλ-
κμαίων, κατὰ ἡλικίαν, ἐμοὶ δοκεῖν, πρὸ Ἀμφιλόχου
τετιμημένος, ἐπὶ δὲ αὐτοῖς Πρόμαχος καὶ Θέρσανδρος
καὶ Αἰγιαλεύς τε καὶ Διομήδης· ἐν μέσῳ δὲ Διομήδους
5 καὶ τοῦ Αἰγιαλέως ἐστὶν Εὐρύαλος. Ἀπαντικρὺ δὲ αὐ-
τῶν ἀνδριάντες εἰσὶν ἄλλοι· τούτους δὲ ἀνέθεσαν οἱ
Ἀργεῖοι τοῦ οἰκισμοῦ τοῦ Μεσσηνίων Θηβαίοις καὶ Ἐπα-
μεινώνδᾳ μετασχόντες. ἡρώων δέ εἰσιν αἱ εἰκόνες, Δα-
ναὸς μὲν βασιλέων ἰσχύσας ἐν τῷ Ἄργει μέγιστον, Ὑπερ-
μνήστρα δὲ ἅτε καθαρὰ χεῖρας μόνη τῶν ἀδελφῶν· παρὰ
δὲ αὐτὴν καὶ ὁ Λυγκεὺς καὶ ἅπαν τὸ ἐφεξῆς αὐτῶν γένος
τὸ ἐς Ἡρακλέα τε καὶ ἔτι πρότερον καθῆκον ἐς Περσέα.
6 3. Ταραντίνων δὲ οἱ ἵπποι οἱ χαλκοῖ καὶ αἰχμάλωτοι
γυναῖκες ἀπὸ Μεσσαπίων εἰσίν, ὁμόρων τῇ Ταραντί-
νων βαρβάρων, Ἀγελάδα δὲ ἔργα τοῦ Ἀργείου. Τά-
ραντα δὲ ἀπῴκισαν μὲν Λακεδαιμόνιοι, οἰκιστὴς δὲ
ἐγένετο Σπαρτιάτης Φάλανθος. στελλομένῳ δὲ ἐς ἀποι-
κίαν τῷ Φαλάνθῳ λόγιον ἦλθεν ἐκ Δελφῶν ὑετοῦ αὐ-
τὸν αἰσθόμενον ὑπὸ αἴθρᾳ, τηνικαῦτα καὶ χώραν κτή-
7 σεσθαι καὶ πόλιν. τὸ μὲν δὴ παραυτίκα οὔτε ἰδίᾳ τὸ 823
μάντευμα ἐπισκεψάμενος οὔτε πρὸς τῶν ἐξηγητῶν τινὰ
ἀνακοινώσας κατέσχε ταῖς ναυσὶν ἐς Ἰταλίαν· ὡς δέ οἱ
νικῶντι τοὺς βαρβάρους οὐκ ἐγίνετο οὔτε τινὰ ἑλεῖν
τῶν πόλεων οὔτε ἐπικρατῆσαι χώρας, ἐς ἀνάμνησιν
ἀφικνεῖτο τοῦ χρησμοῦ, καὶ ἀδύνατα ἐνόμιζέν οἱ τὸν
θεὸν χρῆσαι· μὴ γὰρ ἄν ποτε ἐν καθαρῷ καὶ αἰθρίῳ τῷ

ἀέρι ὑσθῆναι. Καὶ αὐτὸν ἡ γυνὴ ἀθύμως ἔχοντα, ἠκολουθήκει γὰρ οἴκοθεν, τά τε ἄλλα ἐφιλοφρονεῖτο, καὶ ἐς τὰ γόνατα ἐσθεμένη τὰ αὑτῆς τοῦ ἀνδρὸς τὴν κεφαλὴν ἐξέλεγε τοὺς φθεῖρας· καί πως ὑπὸ εὐνοίας δακρῦσαι παρίσταται τῇ γυναικὶ ὁρώσῃ τοῦ ἀνδρὸς ἐς οὐδὲν προχωροῦντα τὰ πράγματα. προέχει δὲ ἀφειδέστερον 8
τῶν δακρύων, καί, ἔβρεχε γὰρ τοῦ Φαλάνθου τὴν κεφαλήν, συνίησί τε τῆς μαντείας, ὄνομα γὰρ δὴ ἦν Αἴθρα τῇ γυναικί, καὶ οὕτω τῇ ἐπιούσῃ νυκτὶ Τάραντα τῶν βαρβάρων εἷλε μεγίστην καὶ εὐδαιμονεστάτην τῶν ἐπὶ θαλάσσῃ πόλεων. 4. *Τάραντα δὲ τὸν ἥρω Ποσειδῶνός φασι καὶ ἐπιχωρίας νύμφης παῖδα εἶναι, ἀπὸ δὲ τοῦ ἥρωος τεθῆναι τὰ ὀνόματα τῇ πόλει τε καὶ τῷ ποταμῷ· καλεῖται γὰρ δὴ Τάρας κατὰ τὰ αὐτὰ τῇ πόλει καὶ ὁ ποταμός.*

XI. *Πλησίον δὲ τοῦ ἀναθήματος τοῦ Ταραντίνων Σικυωνίων ἐστὶ θησαυρός· χρήματα δὲ οὔτε ἐνταῦθα ἴδοις ἂν οὔτε ἐν ἄλλῳ τῶν θησαυρῶν. Κνίδιοι δὲ ἐκόμισαν ἀγάλματα ἐς Δελφοὺς Τριόπαν οἰκιστὴν τῆς Κνίδου παρεστῶτα ἵππῳ καὶ Λητὼ καὶ Ἀπόλλωνά τε καὶ Ἄρτεμιν ἀφιέντας τῶν βελῶν ἐπὶ Τιτυόν· τὰ δὲ καὶ τετρωμένος ἐστὶν ἤδη τὸ σῶμα. ταῦτα ἕστηκε παρὰ τὸν Σικυωνίων θησαυρόν.*

2. *Ἐποιήθη δὲ καὶ ὑπὸ Σιφνίων ἐπὶ αἰτίᾳ τοιᾷδε* 2
θησαυρός. Σιφνίοις ἡ νῆσος χρυσοῦ μέταλλα ἤνεγκε, καὶ αὐτοὺς τῶν προσιόντων ἐκέλευσεν ὁ θεὸς ἀποφέρειν δεκάτην ἐς Δελφούς· οἱ δὲ τὸν θησαυρὸν ᾠκοδομήσαντο καὶ ἀπέφερον τὴν δεκάτην. ὡς δὲ ὑπὸ ἀπλη-
824 *στίας ἐξέλιπον τὴν φοράν, ἐπικλύσασα ἡ θάλασσα ἀφανῆ τὰ μέταλλά σφισιν ἐποίησεν.* 3. *Ἀνέθεσαν δὲ καὶ ἀν-* 3
δριάντας Λιπαραῖοι ναυμαχίᾳ κρατήσαντες Τυρρηνῶν. οἱ δὲ Λιπαραῖοι οὗτοι Κνιδίων μὲν ἦσαν ἄποικοι, τῆς

δὲ ἀποικίας ἡγεμόνα γενέσθαι φασὶν ἄνδρα Κνίδιον· ὄνομα δὲ εἶναί οἱ Πένταθλον Ἀντίοχος ὁ Ξενοφάνους Συρακούσιος ἐν τῇ Σικελιώτιδι συγγραφῇ φησί. λέγει δὲ καὶ ὡς ἐπὶ Παχύνῳ τῇ ἄκρᾳ τῇ ἐν Σικελίᾳ κτίσαντες πόλιν αὐτοὶ μὲν ἐκπίπτουσιν ὑπὸ Ἐλύμων καὶ Φοινίκων πολέμῳ πιεσθέντες, τὰς νήσους δὲ ἔσχον ἐρήμους ἔτι ἢ ἀναστήσαντες τοὺς ἐνοικοῦντας, ἃς [καὶ] κατὰ τὰ ἔπη τὰ Ὁμήρεια Αἰόλου καὶ ἐς ἡμᾶς ἔτι ὀνομάζουσι.
4 τούτων Λιπάραν μὲν κτίσαντες πόλιν ἐνταῦθα οἰκοῦσιν, Ἱέραν δὲ καὶ Στρογγύλην καὶ Διδύμας γεωργοῦσι διαβαίνοντες ναυσὶν ἐς αὐτάς. Ἐν δὲ τῇ Στρογγύλῃ καὶ πῦρ δῆλόν ἐστιν ἀνιὸν ἐκ τῆς γῆς. καὶ ἐν Ἱέρᾳ δὲ πῦρ τε αὐτόματον ἐπὶ ἄκρας ἀνακαίεται τῆς νήσου, καὶ ἐπὶ θαλάσσῃ λουτρά ἐστιν ἐπιτήδεια, εἴ δέξεταί σε ἠπίως τὸ ὕδωρ, ἐπεὶ ἄλλως γε χαλεπὸν ὑπὸ ζεστότητός ἐστιν ἐμβαίνεσθαι.

5 4. Οἱ δὲ θησαυροὶ Θηβαίων ἀπὸ ἔργου τῶν ἐς πόλεμον, καὶ Ἀθηναίων ἐστὶν ὡσαύτως· Κνιδίους δὲ οὐκ οἶδα εἰ ἐπὶ νίκῃ τινὶ ἢ ἐς ἐπίδειξιν εὐδαιμονίας ᾠκοδομήσαντο, ἐπεὶ Θηβαίοις γε ἀπὸ ἔργου τοῦ ἐν Λεύκτροις καὶ Ἀθηναίοις ἀπὸ τῶν ἐς Μαραθῶνα ἀποβάντων ὁμοῦ Δάτιδί εἰσιν οἱ θησαυροί. Κλεωναῖοι δὲ ἐπιέσθησαν μὲν κατὰ τὸ αὐτὸ Ἀθηναίοις ὑπὸ νόσου τῆς λοιμώδους, κατὰ δὲ μάντευμα ἐκ Δελφῶν ἔθυσαν τράγον ἀνίσχοντι ἔτι τῷ 825 ἡλίῳ, καί, εὕραντο γὰρ λύσιν τοῦ κακοῦ, τράγον χαλκοῦν ἀποπέμπουσι τῷ Ἀπόλλωνι. Ποτιδαιατῶν δὲ τῶν ἐν Θράκῃ καὶ Συρακουσίων, τῶν μέν ἐστιν ὁ θησαυρὸς ἀπὸ τοῦ Ἀττικοῦ τοῦ μεγάλου πταίσματος, Ποτιδαιᾶται δὲ εὐσεβείᾳ τῇ ἐς τὸν θεὸν ἐποίησαν.

6 5. Ὠικοδόμησαν δὲ καὶ Ἀθηναῖοι στοὰν ἀπὸ χρημάτων ἃ ἐν τῷ πολέμῳ σφίσιν ἐγένετο ἀπό τε Πελοποννησίων καὶ ὅσοι Πελοποννησίοις ἦσαν τοῦ Ἑλληνικοῦ σύμμαχοι. Ἀνάκειται δὲ καὶ πλοίων τὰ ἄκρα κοσμήματα

*καὶ ἀσπίδες χαλκαῖ· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτοῖς
ἀριθμεῖ τὰς πόλεις ἀφ' ὧν οἱ Ἀθηναῖοι τὰ ἀκροθίνια
ἀπέστειλαν, τήν τε Ἠλείων καὶ Λακεδαιμονίων, Σι-
κυῶνά τε καὶ Μέγαρα, καὶ Πελληνέας Ἀχαιῶν, Ἀμβρα-
κίαν τε καὶ Λευκάδα καὶ αὐτὴν Κόρινθον· γενέσθαι
δὲ ἀπὸ τῶν ναυμαχιῶν τούτων καὶ θυσίαν Θησεῖ καὶ
τῷ Ποσειδῶνι ἐπὶ τῷ ὀνομαζομένῳ Ῥίῳ. καί μοι φαί-
νεται τὸ ἐπίγραμμα ἐς Φορμίωνα τὸν Ἀσωπίχου ἔχειν
καὶ ἐς τοῦ Φορμίωνος τὰ ἔργα.*

XII. *Πέτρα δέ ἐστιν ἀνίσχουσα ὑπὲρ τῆς γῆς· ἐπὶ
ταύτῃ Δελφοὶ στᾶσάν φασιν ᾆσαι τοὺς χρησμοὺς ὄνομα
Ἡροφίλην, Σίβυλλαν δὲ ἐπίκλησιν *** τὴν πρότερον
γενομένην. ταύτην ταῖς μάλιστα ὁμοίως οὖσαν ἀρχαίαν
εὕρισκον, ἣν θυγατέρα Ἕλληνες Διὸς καὶ Λαμίας τῆς
Ποσειδῶνός φασιν εἶναι, καὶ χρησμούς τε αὐτὴν γυναι-
κῶν πρώτην ᾆσαι καὶ ὑπὸ τῶν Λιβύων Σίβυλλαν λέ-
γουσιν ὀνομασθῆναι. Ἡ δὲ Ἡροφίλη νεωτέρα μὲν ἐκεί- 2
νης, φαίνεται δὲ ὅμως πρὸ τοῦ πολέμου γεγονυῖα καὶ
826 αὕτη τοῦ Τρωϊκοῦ, καὶ Ἑλένην τε προεδήλωσεν ἐν τοῖς
χρησμοῖς ὡς ἐπ' ὀλέθρῳ τῆς Ἀσίας καὶ Εὐρώπης τρα-
φήσοιτο ἐν Σπάρτῃ, καὶ ὡς Ἴλιον ἁλώσεται δι' αὐτὴν
ὑπὸ Ἑλλήνων. Δήλιοι δὲ καὶ ὕμνον μέμνηνται τῆς γυ-
ναικὸς ἐς Ἀπόλλωνα. καλεῖ δὲ οὐχ Ἡροφίλην μόνον,
ἀλλὰ καὶ Ἄρτεμιν ἐν τοῖς ἔπεσιν αὑτήν, καὶ Ἀπόλλωνος
γυνὴ γαμετή, τοτὲ δὲ ἀδελφὴ καὶ αὖθις θυγάτηρ φησὶν
εἶναι. ταῦτα μὲν δὴ μαινομένη τε καὶ ἐκ τοῦ θεοῦ κάτο- 3
χος πεποίηκεν· ἑτέρωθι δὲ εἶπε τῶν χρησμῶν ὡς μητρὸς
μὲν ἀθανάτης εἴη μιᾶς τῶν ἐν Ἴδῃ νυμφῶν πατρὸς δὲ
ἀνθρώπου· καὶ οὕτω λέγει τὰ ἔπη·*

Εἰμὶ δ' ἐγὼ γεγαυῖα μέσον θνητοῦ τε θεᾶς τε,
νύμφης ἀθανάτης, πατρὸς δ' ἐκ σιτοφάγοιο,
μητρόθεν Ἰδογενής, πατρὶς δέ μοί ἐστιν ἐρυθρή

Μάρπησσος, μητρὸς ἱερή, ποταμός τ' Ἀϊδωνεύς.
4 2. Ἦν δὲ ἔτι καὶ νῦν ἐν τῇ Ἴδῃ τῇ Τρωϊκῇ πόλεως Μαρ-
πήσσου τὰ ἐρείπια, καὶ ἐν αὐτοῖς οἰκήτορες ὅσον ἑξή-
κοντα ἄνθρωποι· ὑπέρυθρος δὲ πᾶσα ἡ περὶ τὴν Μάρ-
πησσον γῆ καὶ δεινῶς ἐστιν αὐχμώδης, ὥστε καὶ τῷ
Ἀϊδωνεῖ ποταμῷ καταδύεσθαί τε ἐς τὴν χώραν καὶ ἀνα-
σχόντι τὸ αὐτὸ αὖθις πάσχειν, τέλος δὲ καὶ ἀφανίζεσθαι
κατὰ τῆς γῆς, αἴτιον ἐμοὶ δοκεῖν ἐστιν ὅτι λεπτή τε κατὰ 827
τοῦτο καὶ σηραγγώδης ἐστὶν ἡ Ἴδη. Ἀπέχει δὲ Ἀλεξαν-
δρείας τῆς ἐν τῇ Τρῳάδι τεσσαράκοντα ἡ Μάρπησσος
5 καὶ διακόσια στάδια. 3. Τὴν δὲ Ἡροφίλην οἱ ἐν τῇ
Ἀλεξανδρείᾳ ταύτῃ νεωκόρον τε τοῦ Ἀπόλλωνος γενέ-
σθαι τοῦ Σμινθέως, καὶ ἐπὶ τῷ ὀνείρατι τῷ Ἑκάβης
χρῆσαί φασιν αὐτὴν ἃ δὴ καὶ ἐπιτελεσθέντα ἴσμεν. αὕτη
ἡ Σίβυλλα ᾤκησε μὲν τὸ πολὺ τοῦ βίου ἐν Σάμῳ, ἀφί-
κετο δὲ καὶ ἐς Κλάρον τὴν Κολοφωνίων καὶ ἐς Δῆλόν
τε καὶ ἐς Δελφούς· ὁπότε δὲ ἀφίκοιτο, ἐπὶ ταύτης ἱστα-
6 μένη τῆς πέτρας ᾖδε. τὸ μέντοι χρεὼν αὐτὴν ἐπέλαβεν
ἐν τῇ Τρῳάδι, καί οἱ τὸ μνῆμα ἐν τῷ ἄλσει τοῦ Σμιν-
θέως ἐστί, καὶ ἐλεγεῖον ἐπὶ τῆς στήλης·

Ἅδ' ἐγὼ ἁ Φοίβοιο σαφηγορίς εἰμι Σίβυλλα,
τῷδ' ὑπὸ λαϊνέῳ σάματι κευθομένα,
παρθένος αὐδάεσσα τὸ πρίν, νῦν δ' αἰὲν ἄναυδος,
μοίρᾳ ὑπὸ στιβαρᾷ τάνδε λαχοῦσα πέδαν,
ἀλλὰ πέλας Νύμφαισι καὶ Ἑρμῇ τῷδ' ὑπόκειμαι,
μοῖραν ἔχοισ' Ἑκάτω τᾶς τότ' ἀνακτορίας.

ὁ μὲν δὴ παρὰ τὸ μνῆμα ἕστηκεν Ἑρμῆς λίθου τετρά-
γωνον σχῆμα· ἐξ ἀριστερᾶς δὲ ὕδωρ τε κατερχόμενον
7 ἐς κρήνην καὶ τῶν Νυμφῶν ἐστὶ τὰ ἀγάλματα. 4. Ἐρυ-
θραῖοι δέ, ἀμφισβητοῦσι γὰρ τῆς Ἡροφίλης προθυμό-
τατα Ἑλλήνων, Κώρυκόν τε καλούμενον ὄρος καὶ ἐν
τῷ ὄρει σπήλαιον ἀποφαίνουσι, τεχθῆναι τὴν Ἡροφί-

λην ἐν αὐτῷ λέγοντες, Θεοδώρου δὲ ἐπιχωρίου ποιμένος
καὶ νύμφης παῖδα εἶναι· Ἰδαίαν δὲ ἐπίκλησιν γενέσθαι
τῇ νύμφῃ κατ' ἄλλο μὲν οὐδέν, τῶν δὲ χωρίων τὰ δα-
σέα ὑπὸ τῶν ἀνθρώπων ἴδας τότε ὀνομάζεσθαι. τὸ δὲ
ἔπος τὸ ἐς τὴν Μάρπησσον καὶ τὸν ποταμὸν τὸν Ἀϊδω-
νέα, τοῦτο οἱ Ἐρυθραῖοι τὸ ἔπος ἀφαιροῦσιν ἀπὸ τῶν
χρησμῶν.

Τὴν δὲ ἐπὶ ταύτῃ χρησμοὺς κατὰ ταὐτὰ εἰποῦσαν 8
ἐκ Κύμης τῆς ἐν Ὀπικοῖς εἶναι, καλεῖσθαι δὲ [αὐτὴν]
828 Δημὼ συνέγραψεν Ὑπέροχος ἀνὴρ Κυμαῖος. χρησμὸν
δὲ οἱ Κυμαῖοι τῆς γυναικὸς ταύτης οὐδένα εἶχον ἐπι-
δείξασθαι, λίθου δὲ ὑδρίαν ἐν Ἀπόλλωνος ἱερῷ δει-
κνύουσιν οὐ μεγάλην, τῆς Σιβύλλης ἐνταῦθα κεῖσθαι
φάμενοι τὰ ὀστᾶ. 5. Ἐπετράφη δὲ καὶ ὕστερον τῆς Δη- 9
μοῦς παρὰ Ἑβραίοις τοῖς ὑπὲρ τῆς Παλαιστίνης γυνὴ
χρησμολόγος, ὄνομα δὲ αὐτῇ Σάββη· Βηρόσου δὲ εἶναι
πατρὸς καὶ Ἐρυμάνθης μητρός φασι Σάββην· οἱ δὲ αὐ-
τὴν Βαβυλωνίαν, ἕτεροι δὲ Σίβυλλαν καλοῦσιν Αἰ-
γυπτίαν.

Φαεννὶς δὲ θυγάτηρ βασιλεύσαντος ἀνδρὸς ἐν Χάοσι 10
καὶ αἱ Πέλειαι παρὰ Δωδωναίοις ἐμαντεύσαντο μὲν ἐκ
θεοῦ καὶ αὗται, Σίβυλλαι δὲ ὑπὸ ἀνθρώπων οὐκ ἐκλή-
θησαν. τῆς μὲν δὴ πυθέσθαι τὴν ἡλικίαν καὶ ἐπιλέξα-
σθαι τοὺς χρησμούς *** Ἀντιόχου γὰρ μετὰ τὸ ἁλῶ-
ναι Δημήτριον αὐτίκα ἐς τὴν ἀρχὴν καθισταμένου
γέγονε Φαεννίς. τὰς Πελειάδας δὲ Φημονόης τε ἔτι
προτέρας γενέσθαι λέγουσι, καὶ ᾆσαι γυναικῶν πρώτας
τάδε τὰ ἔπη·

Ζεὺς ἦν, Ζεὺς ἐστί, Ζεὺς ἔσσεται· ὦ μεγάλε Ζεῦ.
Γᾶ καρποὺς ἀνίει, διὸ κλῄζετε ματέρα γαῖαν.

Χρησμολόγους δὲ ἄνδρας Κύπριόν τε Εὔκλουν καὶ 11
Ἀθηναῖον Μουσαῖον τὸν Ἀντιοφήμου καὶ Λύκον τὸν

Πανδίονος, τούτους τε γενέσθαι καὶ ἐκ Βοιωτίας Βάκιν φασὶ κατάσχετον ἄνδρα ἐκ νυμφῶν· τούτων πλὴν Λύκου τῶν ἄλλων ἐπελεξάμην τοὺς χρησμούς.

Τοσαῦται μὲν ἄχρι ἐμοῦ λέγονται γυναῖκες καὶ ἄνδρες ἐκ θεοῦ μαντεύσασθαι· ἐν δὲ τῷ χρόνῳ τῷ πολλῷ καὶ αὖθις γένοιτο ἂν ἕτερα τοιαῦτα.

XIII. *Βίσωνος δὲ ταύρου τῶν Παιονικῶν χαλκοῦ
πεποιημένην κεφαλὴν Δρωπίων Λέοντος ἔπεμψεν ἐς
Δελφοὺς βασιλεὺς Παιόνων.* 2. *οὗτοι οἱ βίσωνες χαλε-
πώτατοι θηρίων εἰσὶν ἁλίσκεσθαι ζῶντες, καὶ δίκτυα* 829
*οὐκ ἂν οὕτω γένοιτο ἰσχυρὰ τῇ ἐμβολῇ. θηρεύονται δὲ
οὗτοι τρόπον τοιόνδε. ἐπειδὰν χωρίον οἱ ἀγρεύοντες
πρανὲς εὕρωσι καθῆκον ἐς κοιλότητα, πρῶτα μὲν φρά-
γματι ἰσχυρῷ πέριξ ὠχυρώσαντο, δεύτερον δὲ τὸ κά-
ταντες καὶ τὸ περὶ τῷ πέρατι ὁμαλὸν αὐτοῦ νεοδάρτοις
βύρσαις κατεστόρεσαν· ἢν δὲ τύχωσιν ἀποροῦντες βυρ-
σῶν, τότε καὶ τὰ αὖα τῶν δερμάτων ὑπὸ ἐλαίου σφίσιν*
2 *ὀλισθηρὰ ποιεῖται. Τὸ δὲ ἐντεῦθεν οἱ μάλιστα ἱππεύειν
ἀγαθοὶ συνελαύνουσιν ἐς τὸ εἰρημένον χωρίον τοὺς
βίσωνας· οἱ δὲ εὐθὺς ἐν ταῖς πρώταις τῶν βυρσῶν ὀλι-
σθόντες κατὰ τοῦ πρανοῦς κυλίνδονται, ἕως κατε-
νεχθῶσιν ἐς τὸ ὁμαλόν. ἐρριμμένοι δὲ ἐνταῦθα ἠμέλην-
ται κατ' ἀρχάς· τετάρτῃ δὲ ἢ πέμπτῃ μάλιστα ἡμέρᾳ
τῶν μὲν ἤδη τοῦ θυμοῦ τὸ πολὺ ὁ λιμὸς ἀφαιρεῖ καὶ ἡ*
3 *ταλαιπωρία, οἱ δέ σφισιν, οἷς τέχνη τιθασεύειν, προσ-
φέρουσιν ἔτι κειμένοις πίτυος τῆς ἡμέρου καρπὸν προ-
εκλέψαντες ἐκ τῶν [ἐλαχίστων] ἐλύτρων· ἑτέρας δὲ οὐκ
ἂν τροφῆς τό γε παραυτίκα ἅψαιτο τὰ θηρία· τέλος δὲ
διαλαβόντες δεσμοῖς ἄγουσι. καὶ τοὺς μὲν τρόπον αἱ-
ροῦσι τὸν εἰρημένον.*
4 3. *Τοῦ βίσωνος δὲ τῆς κεφαλῆς κατάντικρὺ τῆς
χαλκῆς ἀνδριάς ἐστι θώρακά τε ἐνδεδυκὼς καὶ χλαμύδα*

ἐπὶ τῷ θώρακι· Ἀνδρίων δὲ ἀνάθημα οἱ Δελφοὶ λέγου-
σιν Ἀνδρέα εἶναι τὸν οἰκιστήν. τό τε ἄγαλμα τοῦ Ἀπόλ-
λωνος καὶ Ἀθηνᾶς τε καὶ Ἀρτέμιδος Φωκέων ἀναθήματά
ἐστιν ἀπὸ Θεσσαλῶν ὁμόρων τε πλὴν ὅσον οἱ Λοκροὶ
σφᾶς οἱ Ἐπικνημίδιοι διείργουσι, καὶ ἀεὶ πολεμίων ὄν-
των. Ἀνέθεσαν δὲ καὶ οἱ ἐν Φαρσάλῳ Θεσσαλοί, καὶ 5
Μακεδόνων οἱ ὑπὸ τῇ Πιερίᾳ πόλιν Δῖον οἰκοῦντες,
Κυρηναῖοί τε τοῦ Ἑλληνικοῦ τοῦ ἐν Λιβύῃ, οὗτοι μὲν
τὸ ἅρμα καὶ ἐπὶ τῷ ἅρματι ἄγαλμα Ἄμμωνος, Μακεδό-
νες δὲ οἱ ἐν Δίῳ τὸν Ἀπόλλωνα ὃς εἰλημμένος ἐστὶ τῆς
ἐλάφου, Φαρσάλιοι δὲ Ἀχιλλέα τε ἐπὶ ἵππῳ, καὶ ὁ Πά-
τροκλος συμπαραθεῖ οἱ τῷ ἵππῳ. Κορίνθιοι δὲ οἱ Δω-
ριεῖς ᾠκοδόμησαν θησαυρὸν καὶ οὗτοι· καὶ ὁ χρυσὸς ὁ
ἐκ Λυδῶν ἀνέκειτο ἐνταῦθα. Τὸ δὲ ἄγαλμα τοῦ Ἡρα- 6
830 κλέους ἀνάθημά ἐστι Θηβαίων, ὅτε Φωκεῦσιν ἐπολέ-
μησαν τὸν ἱερὸν καλούμενον πόλεμον. εἰσὶ καὶ εἰκόνες
χαλκαῖ Φωκέων ἀναθέντων, ἡνίκα δευτέρᾳ συμβολῇ
τὸ ἱππικὸν ἐτρέψαντο τὸ ἐκ Θεσσαλίας. Φλιάσιοι δὲ
ἐκόμισαν ἐς Δελφοὺς Δία τε χαλκοῦν καὶ ὁμοῦ τῷ Διὶ
ἄγαλμα Αἰγίνης. 4. Ἐκ δὲ Μαντινείας τῆς Ἀρκάδων
Ἀπόλλων χαλκοῦς ἐστιν ἀνάθημα· οὗτος οὐ πόρρω τοῦ
Κορινθίων ἐστὶ θησαυροῦ.

Ἡρακλῆς δὲ καὶ Ἀπόλλων ἔχονται τοῦ τρίποδος καὶ 7
ἐς μάχην περὶ αὐτοῦ καθίστανται· Λητὼ μὲν δὴ καὶ
Ἄρτεμις Ἀπόλλωνα, Ἀθηνᾶ δὲ Ἡρακλέα ἐπέχουσι τοῦ
θυμοῦ. Φωκέων καὶ τοῦτό ἐστιν ἀνάθημα, ὅτε σφίσιν
ἐπὶ τοὺς Θεσσαλοὺς Τελλίας ἡγήσατο Ἠλεῖος. τὰ μὲν
δὴ ἄλλα ἀγάλματα Δίυλλός τε ἐν κοινῷ καὶ Ἀμυκλαῖος,
τὴν δὲ Ἀθηνᾶν καὶ Ἄρτεμιν Χίονίς ἐστιν εἰργασμένος·
Κορινθίους δὲ εἶναί φασιν αὐτούς. Λέγεται δὲ ὑπὸ 8
Δελφῶν Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος ἐλθόντι ἐπὶ τὸ χρη-
στήριον τὴν πρόμαντιν Ξενόκλειαν οὐκ ἐθελῆσαί οἱ

χρᾶν διὰ τοῦ Ἰφίτου τὸν φόνον· τὸν δὲ ἀράμενον τὸν τρίποδα ἐκ τοῦ ναοῦ φέρειν ἔξω, εἰπεῖν τε δὴ τὴν πρόμαντιν·

ἄλλος ἄρ' Ἡρακλέης Τιρύνθιος, οὐχὶ Κανωβεύς·

πρότερον γὰρ ἔτι ὁ Αἰγύπτιος Ἡρακλῆς ἀφίκετο ἐς Δελφούς. τότε δὲ ὁ Ἀμφιτρύωνος τόν τε τρίποδα ἀποδίδωσι τῷ Ἀπόλλωνι, καὶ παρὰ τῆς Ξενοκλείας ὁπόσα ἐδεῖτο ἐδιδάχθη. παραδεξάμενοι δὲ οἱ ποιηταὶ τὸν λόγον μάχην Ἡρακλέους πρὸς Ἀπόλλωνα ὑπὲρ τρίποδος ᾄδουσιν.

9 5. *Ἐν κοινῷ δὲ ἀνέθεσαν ἀπὸ ἔργου τοῦ Πλαταιᾶσιν οἱ Ἕλληνες χρυσοῦν τρίποδα δράκοντι ἐπικείμενον χαλκῷ. ὅσον μὲν δὴ χαλκὸς ἦν τοῦ ἀναθήματος, σῶον καὶ ἐς ἐμὲ ἔτι ἦν· οὐ μέντοι κατὰ τὰ αὐτὰ καὶ τὸν χρυ-*
10 *σὸν οἱ Φωκέων ὑπελίποντο ἡγεμόνες. Ταραντῖνοι δὲ καὶ ἄλλην δεκάτην ἐς Δελφοὺς ἀπὸ βαρβάρων Πευκετίων ἀπέστειλαν· τέχνη μὲν τὰ ἀναθήματα Ὀνάτα τοῦ Αἰγινήτου καὶ Καλύνθου τε ἐστικωσι εργου, εἰκόνες δὲ καὶ πεζῶν καὶ ἱππέων, βασιλεὺς Ἰαπύγων Ὦπις ἥκων τοῖς Πευκετίοις σύμμαχος. οὗτος μὲν δὴ εἴκασται τεθνεῶτι ἐν τῇ μάχῃ, οἱ δὲ αὐτῷ κειμένῳ ἐφεστηκότες ὁ ἥρως Τάρας ἐστὶ καὶ Φάλανθος ὁ ἐκ Λακεδαίμονος, καὶ* 831
οὐ πόρρω τοῦ Φαλάνθου δελφίς· πρὶν γὰρ δὴ ἐς Ἰταλίαν ἀφικέσθαι ναυαγίᾳ τε ἐν τῷ πελάγει τῷ Κρισαίῳ τὸν Φάλανθον χρήσασθαι καὶ ὑπὸ δελφῖνος ἐκκομισθῆναί φασιν ἐς τὴν γῆν.

XIV. *Οἱ δὲ πελέκεις Περικλύτου τοῦ Εὐθυμάχου Τενεδίου ἀνδρος ἐπὶ λόγῳ ἀνάθημά εἰσιν ἀρχαίῳ.* 2. *Κύκνον παῖδα εἶναι Ποσειδῶνος καὶ βασιλεύειν φασὶν ἐν Κολώναις· αἱ δὲ ᾠκοῦντο ἐν τῇ γῇ τῇ Τρῳάδι αἱ*
2 *Κολῶναι κατὰ νῆσον κείμεναι Λεύκοφρυν. Ἔχοντος δὲ θυγατέρα ὄνομα Ἡμιθέαν τοῦ Κύκνου καὶ υἱὸν καλού-*

μενον Τέννην ἐκ Προκλείας, ἣ Κλυτίου μὲν ἦν θυγάτηρ, ἀδελφὴ δὲ Καλήτορος, ὃν Ὅμηρος ἐν Ἰλιάδι ἀποθανεῖν φησὶν ὑπὸ Αἴαντος, ὅτε ὑπὸ τὴν Πρωτεσιλάου ναῦν ἔφερεν ὁ Καλήτωρ τὸ πῦρ, — ταύτης οὖν προαποθανούσης ἡ ἐπεισελθοῦσα Φυλονόμη ἡ Κραγάσου, διήμαρτε γὰρ ἐρασθεῖσα τοῦ Τέννου, ψεύδεται πρὸς τὸν ἄνδρα ὡς αὐτὴ μὲν οὐκ ἐθέλουσα, τὸν δὲ αὐτῇ Τέννην συγγενέσθαι θελήσαντα· καὶ ὁ Κύκνος πείθεται τῇ ἀπάτῃ, καὶ ἐς λάρνακα ἐνθέμενος ὁμοῦ τῇ ἀδελφῇ Τέννην ἐς θάλασσαν σφᾶς ἀφίησι. σώζονταί τε δὴ πρὸς 3
τὴν νῆσον οἱ παῖδες τὴν Λεύκοφρυν, καὶ ὄνομα ἡ νῆσος τὸ νῦν ἔσχεν ἀπὸ τοῦ Τέννου. Κύκνος δέ, οὐ γὰρ τὸν πάντα ἔμελλε χρόνον ἀγνοήσειν ἀπατώμενος, ἔπλει παρὰ τὸν υἱὸν ἄγνοιάν τε ὁμολογήσων τὴν αὑτοῦ καὶ παραιτησόμενος τὸ ἁμάρτημα· προσορμισαμένου δὲ τῇ νήσῳ καὶ ἐξάψαντος ἀπὸ τῆς νεὼς πρός τινα ἢ πέτραν ἢ δένδρον τοὺς κάλους, Τέννης πελέκει σφᾶς ἀπέκοψεν ὑπὸ τοῦ θυμοῦ. Ἐπὶ τούτῳ μὲν ἐς τοὺς ἀρνουμένους στε- 4
ρεῶς λέγεσθαι καθέστηκεν ὡς ὁ δεῖνα ὅστις δὴ Τενεδίῳ πελέκει τόδε τι ἀποκόψειε. Τέννην μὲν ὑπὸ Ἀχιλλέως ἀποθανεῖν ἀμύνοντα τῇ οἰκείᾳ φασὶν Ἕλληνες· Τενέδιοι δὲ ἀνὰ χρόνον ὑπὸ ἀσθενείας προσεχώρησαν τοῖς Ἀλεξάνδρειαν ἐν τῇ ἠπείρῳ τῇ Τρῳάδι ἔχουσιν.

3. Ἕλληνες δὲ οἱ ἐναντία βασιλέως πολεμήσαντες 5
832 ἀνέθεσαν μὲν Δία ἐς Ὀλυμπίαν χαλκοῦν, ἀνέθεσαν δὲ καὶ ἐς Δελφοὺς Ἀπόλλωνα ἀπὸ ἔργων τῶν ἐν ταῖς ναυσὶν ἐπί τε Ἀρτεμισίῳ καὶ ἐν Σαλαμῖνι. Λέγεται δὲ καὶ ὡς Θεμιστοκλῆς ἀφίκοιτο ἐς Δελφοὺς λαφύρων τῶν Μηδικῶν κομίζων τῷ Ἀπόλλωνι· ἐρωτήσαντα δὲ ὑπὲρ τῶν ἀναθημάτων εἰ ἐντὸς ἀναθήσει τοῦ ναοῦ, ἐκέλευεν αὐτὸν ἡ Πυθία τὸ παράπαν ἀποφέρειν ἐκ τοῦ ἱεροῦ. καὶ ἔχει οὕτω τὰ ἐς τοῦτο τοῦ χρησμοῦ·

Μή μοι Περσῆος σκύλων περικαλλέα κόσμον
νηῷ ἐγκαταθῇς· οἶκόνδ' ἀπόπεμπε τάχιστα.

6 *Θαῦμα οὖν ἐποιούμεθα εἰ ἀπηξίωσεν ἐκείνου μόνου μὴ προσέσθαι τὰ ἀπὸ τῶν Μήδων. καὶ οἱ μὲν ἀπώσασθαι ἂν τὸν θεὸν καὶ ἅπαντα ὁμοίως ἡγοῦντο ὅσα ἀπὸ τοῦ Πέρσου, εἰ, ὥσπερ ὁ Θεμιστοκλῆς, καὶ οἱ ἄλλοι πρότερον ἢ ἀναθεῖναι σφᾶς ἐπήροντο τὸν Ἀπόλλωνα· οἱ δὲ εἰδότα τὸν θεὸν ὅτι ἱκέτης τοῦ Πέρσου γενήσοιτο ὁ Θεμιστοκλῆς, ἐπὶ τούτῳ τὰ δῶρα ἔφασαν οὐκ ἐθελῆσαι λαβεῖν, ἵνα μὴ ἀναθέντι τὸ ἔχθος ἄπαυστον ποιήσῃ ἀπὸ τοῦ Μήδου. Στρατείαν δὲ τὴν ἐπὶ τὴν Ἑλλάδα [ἀπὸ] τοῦ βαρβάρου ἔστιν εὑρεῖν προρρηθεῖσαν μὲν ἐν τοῖς Βάκιδος χρησμοῖς, πρότερον δὲ ἔτι Εὔκλῳ τὰ ἐς αὐτὴν πεποιημένα ἐστί.*

7 4. *Δελφῶν δὲ ἀνάθημά ἐστιν αὐτῶν πλησίον τοῦ βωμοῦ τοῦ μεγάλου λύκος χαλκοῦς. λέγουσι δὲ τῶν τοῦ θεοῦ χρημάτων συλήσαντα ἄνθρωπον, τὸν μὲν ὁμοῦ τῷ χρυσίῳ κατακρύψαντα ἔχειν αὐτὸν ἔνθα τοῦ Παρνασοῦ μάλιστα ἦν συνεχὲς ὑπὸ ἀγρίων δένδρων, λύκον δὲ ἐπιθέσθαι οἷ καθεύδοντι, καὶ ἀποθανεῖν τε ὑπὸ τοῦ λύκου τὸν ἄνθρωπον, καὶ ὡς ἐς τὴν πόλιν ὁσημέραι φοιτῶν ὠρύετο ὁ λύκος· ἐπεὶ δὲ οὐκ ἄνευ θεοῦ παραγίνεσθαί σφισιν ὑπελάμβανον, οὕτως ἐπακολουθοῦσι τῷ θηρίῳ, καὶ ἀνευρίσκουσί τε τὸ ἱερὸν χρυσίον καὶ ἀνέθεσαν λύκον τῷ θεῷ χαλκοῦν.* 833

XV. *Φρύνης δὲ εἰκόνα ἐπίχρυσον Πραξιτέλης μὲν εἰργάσατο ἐραστὴς καὶ οὗτος, ἀνάθημα δὲ αὐτῆς Φρύνης ἐστὶν ἡ εἰκών. Τὰ δὲ ἐφεξῆς ταύτῃ, τὰ μὲν ἀγάλματα τοῦ Ἀπόλλωνος, Ἐπιδαύριοι τὸ ἕτερον οἱ ἐν τῇ Ἀργολίδι ἀπὸ Μήδων, τὸ δὲ αὐτῶν Μεγαρεῖς ἀνέθεσαν Ἀθηναίους μάχῃ πρὸς Νισαίᾳ κρατήσαντες. Πλαταιέων δὲ βοῦς ἐστίν, ἡνίκα ἐν τῇ σφετέρᾳ καὶ οὗτοι Μαρδό-*

νιον τὸν Γωβρύου μετὰ Ἑλλήνων ἠμύναντο τῶν ἄλλων.
Καὶ αὖθις δύο Ἀπόλλωνος, τὸ μὲν Ἡρακλεωτῶν τῶν
πρὸς τῷ Εὐξείνῳ, τὸ δὲ Ἀμφικτυόνων ἐστίν, ὅτε Φω-
κεῦσιν ἐπεργαζομένοις τοῦ θεοῦ τὴν χώραν ἐπέβαλον
χρημάτων ζημίαν. Ὁ δὲ Ἀπόλλων οὗτος καλεῖται μὲν 2
ὑπὸ Δελφῶν Σιτάλκας, μέγεθος δὲ πέντε πηχῶν καὶ
τριάκοντά ἐστι. στρατηγοὶ δὲ οἱ Αἰτωλοὶ καὶ Ἀρτέμιδος,
τὸ δὲ Ἀθηνᾶς, δύο τε Ἀπόλλωνος ἀγάλματα ἔστιν Αἰ-
τωλῶν, ἡνίκα σφίσιν ἐξειργάσθη τὰ ἐς Γαλάτας. 2. Στρα-
τιὰν δὲ τὴν Κελτῶν, ὡς ἐκ τῆς Εὐρώπης διαβήσοιτο ἐς
τὴν Ἀσίαν ἐπ' ὀλέθρῳ τῶν πόλεων, Φαεννὶς προεδή-
λωσεν ἐν τοῖς χρησμοῖς γενεᾷ πρότερον ἢ ἐπράχθη τὸ
ἔργον·

Δὴ τότ' ἀμειψάμενος στεινὸν πόρον Ἑλλησπόντου 3
αὐλήσει Γαλατῶν ὀλοὸς στρατός, οἵ ῥ' ἀθεμίστως
Ἀσίδα πορθήσουσι· θεὸς δ' ἔτι κύντερα θήσει
πᾶσι μάλ' οἳ ναίουσι παρ' ἠϊόνεσσι θαλάσσης
εἰς ὀλίγον· τάχα γάρ σφιν ἀοσσητῆρα Κρονίων
ὁρμήσει, ταύροιο διοτρεφέος φίλον υἱόν,
ὃς πᾶσιν Γαλάτῃσιν ὀλέθριον ἦμαρ ἐφήσει.

Παῖδα δὲ εἶπε ταύρου τὸν ἐν Περγάμῳ βασιλεύσαντα
Ἄτταλον· τὸν δὲ αὐτὸν τοῦτον καὶ ταυρόκερων προσεί-
ρηκε χρηστήριον.

Ἱππικοῦ δὲ ἡγεμόνας ἀναβεβηκότας ἐπὶ ἵππους Φε- 4
ραῖοι παρὰ τῷ Ἀπόλλωνι ἔστησαν τρεψάμενοι τὴν Ἀττι-
κὴν ἵππον. 3. Τὸν δὲ φοίνικα ἀνέθεσαν Ἀθηναῖοι τὸν
χαλκοῦν, καὶ αὐτὸν καὶ Ἀθηνᾶς ἄγαλμα ἐπίχρυσον ἐπὶ
834 τῷ φοίνικι, ἀπὸ ἔργων ὧν ἐπ' Εὐρυμέδοντι ἐν ἡμέρᾳ
τῇ αὐτῇ τὸ μὲν πεζῇ, τὸ δὲ ναυσὶν ἐν τῷ ποταμῷ κατώρ-
θωσαν. τούτου τοῦ ἀγάλματος ἐνιαχοῦ τὸν ἐπ' αὐτῷ
χρυσὸν ἐθεώμην λελυμασμένον. ἐγὼ μὲν δὴ τὸ ἔγκλημα 5
ἐς κακούργους τε ἦγον καὶ φῶρας ἀνθρώπους· Κλειτό-

δημος δέ, ὁπόσοι τὰ Ἀθηναίων ἐπιχώρια ἔγραψαν ὁ ἀρχαιότατος, οὗτος ἐν τῷ λόγῳ φησὶ τῷ Ἀττικῷ, ὅτε Ἀθηναῖοι παρεσκευάζοντο ἐπὶ Σικελίᾳ τὸν στόλον, ὡς ἔθνος τι ἄπειρον κοράκων κατῆρε τότε ἐς Δελφούς, καὶ περιέκοπτόν τε τοῦ ἀγάλματος τούτου καὶ ἀπέρρησσον τοῖς ῥάμφεσιν ἀπ᾽ αὐτοῦ τὸν χρυσόν· λέγει δὲ καὶ ὡς τὸ δόρυ καὶ τὰς γλαῦκας καὶ ὅσος καρπὸς ἐπὶ τῷ φοίνικι ἐπεποίητο ἐς μίμησιν τῆς ὀπώρας, κατακλάσαιεν καὶ
6 ταῦτα οἱ κόρακες. Ἀθηναίοις μὲν δὴ καὶ ἄλλα σημεῖα μὴ ἐκπλεῦσαι σφᾶς ἀπαγορεύοντα ἐς Σικελίαν διηγήσατο ὁ Κλειτόδημος. 4. Κυρηναῖοι δὲ ἀνέθεσαν ἐν Δελφοῖς Βάττον ἐπὶ ἅρματι, ὃς ἐς Λιβύην ἤγαγε σφᾶς ναυσὶν ἐκ Θήρας. ἡνίοχος μὲν τοῦ ἅρματός ἐστι Κυρήνη, ἐπὶ δὲ τῷ ἅρματι Βάττος τε καὶ Λιβύη στεφανοῦσά ἐστιν
7 αὐτόν· ἐποίησε δὲ Ἀμφίων Ἀκέστορος Κνώσιος. Ἐπεὶ δὲ ᾤκισε Βάττος τὴν Κυρήνην, λέγεται καὶ τῆς φωνῆς γενέσθαι οἱ τοιόνδε ἴαμα· ἐπιὼν τῶν Κυρηναίων τὴν χώραν ἐν τοῖς ἐσχάτοις αὐτῆς ἐρήμοις ἔτι οὖσι θεᾶται λέοντα, καὶ αὐτὸν τὸ δεῖμα τὸ ἐκ τῆς θέας βοῆσαι σαφὲς καὶ μέγα ἠνάγκασεν. Οὐ πόρρω δὲ τοῦ Βάττου καὶ ἄλλον ἔστησαν οἱ Ἀμφικτυόνες Ἀπόλλωνα ἀπὸ τοῦ ἀδικήματος τοῦ ἐς τὸν θεὸν τῶν Φωκέων.

XVI. Τῶν δὲ ἀναθημάτων ἃ οἱ βασιλεῖς ἀπέστειλαν οἱ Λυδῶν, οὐδὲν ἔτι ἦν αὐτῶν εἰ μὴ σιδηροῦν μόνον τὸ ὑπόθημα τοῦ Ἀλυάττου κρατῆρος. τοῦτο Γλαύκου μέν ἐστιν ἔργον τοῦ Χίου, σιδήρου κόλλησιν ἀνδρὸς εὑρόντος· ἔλασμα δὲ ἕκαστον τοῦ ὑποθήματος ἐλάσματι ἄλλῳ προσεχὲς οὐ περόναις ἐστὶν ἢ κέντροις, μόνη δὲ ἡ κόλλα συνέχει τε καὶ ἔστιν αὕτη τῷ σιδήρῳ δεσμός.
2 σχῆμα δὲ τοῦ ὑποθήματος κατὰ πύργον μάλιστα ἐς μύ- 835
ουρον ἀνιόντα ἀπὸ εὐρυτέρου τοῦ κάτω· ἑκάστη δὲ πλευρὰ τοῦ ὑποθήματος οὐ διὰ πάσης πέφρακται, ἀλλά

εἰσιν αἱ πλάγιαι τοῦ σιδήρου ζῶναι ὥσπερ ἐν κλίμακι
οἱ ἀναβασμοί· τὰ δὲ ἐλάσματα τοῦ σιδήρου τὰ ὀρθὰ
ἀνέστραπται κατὰ τὰ ἄκρα ἐς τὸ ἐκτός, καὶ ἕδρα τοῦτο
ἦν τῷ κρατῆρι.

2. Τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλόν, λίθου 3
πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ γῆς πάσης
αὐτοί τε λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινὶ Πίνδαρος
ὁμολογοῦντά σφισιν ἐποίησε. Λακεδαιμονίων δὲ ἀνά- 4
θημά ἐστιν ἐνταῦθα, Καλάμιδος δὲ ἔργον, Ἑρμιόνη ἡ
Μενελάου θυγάτηρ, καὶ συνοικήσασα Ὀρέστῃ τῷ Ἀγα-
μέμνονος καὶ ἔτι πρότερον Νεοπτολέμῳ τῷ Ἀχιλλέως.
Εὐρύδαμον δὲ στρατηγόν τε Αἰτωλῶν καὶ στρατοῦ τοῦ
Γαλατῶν ἐναντία ἡγησάμενον ἀνέθεσαν οἱ Αἰτωλοί.

3. Ἔστι δὲ ἐν τοῖς Κρητικοῖς ὄρεσι καὶ κατ' ἐμὲ ἔτι 5
Ἔλυρος πόλις· οὗτοι οὖν αἶγα χαλκῆν ἀπέστειλαν ἐς
Δελφούς. δίδωσι δὲ νηπίοις ἡ αἲξ Φυλακίδῃ καὶ Φιλάν-
δρῳ γάλα· παῖδας δὲ αὐτοὺς οἱ Ἐλύριοί φασιν Ἀπόλ-
λωνός τε εἶναι καὶ Ἀκακαλλίδος νύμφης, συγγενέσθαι
δὲ τῇ Ἀκακαλλίδι Ἀπόλλωνα ἐν πόλει Τάρρᾳ καὶ οἴκῳ
Καρμάνορος.

Καρύστιοι δὲ οἱ Εὐβοεῖς βοῦν καὶ οὗτοι χαλκοῦν 6
παρὰ τῷ Ἀπόλλωνι ἔστησαν ἀπὸ ἔργου τοῦ Μηδικοῦ.
βοῦς δὲ οἱ Καρύστιοι καὶ οἱ Πλαταιεῖς τὰ ἀναθήματα
ἐποιήσαντο, ὅτι ἐμοὶ δοκεῖν ἀπωσάμενοι τὸν βάρβαρον
τήν τε ἄλλην βεβαίως ἐκτήσαντο εὐδαιμονίαν καὶ ἀροῦν
ἐλευθέραν τὴν γῆν. στρατηγῶν δὲ εἰκόνας καὶ Ἀπόλ-
λωνά τε καὶ Ἄρτεμιν τὸ ἔθνος τὸ Αἰτωλικὸν ἀπέστειλαν
καταστρεψάμενοι τοὺς ὁμόρους σφίσιν Ἀκαρνᾶνας.

4. Παραλογώτατον δὲ ἐπυνθανόμην ὑπάρξαν Λιπα- 7
ραίοις ἐς Τυρσηνούς. τοὺς γὰρ δὴ Λιπαραίους ἐναντία
ναυμαχῆσαι τῶν Τυρσηνῶν ναυσὶν ὡς ἐλαχίσταις ἐκέ-
836 λευσεν ἡ Πυθία. πέντε οὖν ἀνάγονται τριήρεσιν ἐπὶ

τοὺς Τυρσηνούς· οἱ δέ, ἀπηξίουν γὰρ μὴ ἀποδεῖν Λι-
παραίων τὰ ναυτικά, ἀντανάγονταί σφισιν ἴσαις ναυσί.
ταύτας τε οὖν αἱροῦσιν οἱ Λιπαραῖοι καὶ ἄλλας πέντε
ὑστέρας σφίσιν ἀνταναχθείσας, καὶ τρίτην νεῶν πεν-
τάδα καὶ ὡσαύτως τετάρτην ἐχειρώσαντο. Ἀνέθεσαν
οὖν ἐς Δελφοὺς ταῖς ἁλούσαις ναυσὶν ἀριθμὸν ἴσα
8 Ἀπόλλωνος ἀγάλματα. Ἐχεκρατίδης δὲ ἀνὴρ Λαρισαῖος
τὸν Ἀπόλλωνα ἀνέθηκε τὸν μικρόν, καὶ ἁπάντων πρῶ-
τον τεθῆναι τῶν ἀναθημάτων τοῦτό φασιν οἱ Δελφοί.

XVII. Βαρβάρων δὲ τῶν πρὸς τῇ ἑσπέρᾳ οἱ ἔχοντες
Σαρδώ, εἰκόνα οὗτοι χαλκῆν τὸν ἐπώνυμόν σφισιν ἀπέ-
στειλαν. 2. Ἡ δὲ Σαρδὼ μέγεθος μὲν καὶ εὐδαιμονίαν
ἐστὶν ὁμοία ταῖς μάλιστα ἐπαινουμέναις· ὄνομα δὲ αὐτῇ
τὸ ἀρχαῖον ὅ τι μὲν ὑπὸ τῶν ἐπιχωρίων ἐγένετο οὐκ
οἶδα, Ἑλλήνων δὲ οἱ κατ' ἐμπορίαν ἐσπλέοντες Ἰχνοῦ-
σαν ἐκάλεσαν, ὅτι τὸ σχῆμα τῇ νήσῳ κατ' ἴχνος μάλιστά
ἐστιν ἀνθρώπου. μῆκος δὲ αὐτῆς εἴκοσι στάδιοι καὶ
ἑκατόν εἰσι καὶ χίλιοι, εὖρος δὲ ἐς εἴκοσί τε καὶ τετρα-
2 κοσίους πεντήκοντα. Πρῶτοι δὲ διαβῆναι λέγονται ναυ-
σὶν ἐς τὴν νῆσον Λίβυες· ἡγεμὼν δὲ τοῖς Λίβυσιν ἦν
Σάρδος ὁ Μακήριδος, Ἡρακλέους δὲ ἐπονομασθέντος
ὑπὸ Αἰγυπτίων τε καὶ Λιβύων. Μακήριδι μὲν δὴ αὐτῷ
τὰ ἐπιφανέστατα ὁδὸς ἐγένετο ἡ ἐς Δελφούς· Σάρδῳ δὲ
ἡγεμονία τε ὑπῆρξε τῶν Λιβύων ἡ ἐς τὴν Ἰχνοῦσαν,
καὶ τὸ ὄνομα ἀπὸ τοῦ Σάρδου τούτου μετέβαλεν ἡ νῆσος.
Οὐ μέντοι τούς γε αὐτόχθονας ἐξέβαλεν ὁ τῶν Λιβύων
στόλος, σύνοικοι δὲ ὑπ' αὐτῶν οἱ ἐπελθόντες ἀνάγκῃ
μᾶλλον ἢ ὑπὸ εὐνοίας ἐδέχθησαν. καὶ πόλεις μὲν οὔτε
οἱ Λίβυες οὔτε τὸ γένος τὸ ἐγχώριον ἠπίσταντο ποιή-
σασθαι· σποράδες δὲ ἐν καλύβαις τε καὶ σπηλαίοις, ὡς
3 ἕκαστοι τύχοιεν, ᾤκησαν. 3. Ἔτεσι δὲ ὕστερον μετὰ τοὺς
Λίβυας ἀφίκοντο ἐκ τῆς Ἑλλάδος ἐς τὴν νῆσον οἱ μετ'

837 Ἀρισταίου. παῖδα δὲ λέγουσιν Ἀρισταῖον Ἀπόλλωνός
τε εἶναι καὶ Κυρήνης· ἐπὶ δὲ τοῦ Ἀκταίωνος περισσῶς
ἀλγήσαντα τῇ συμφορᾷ καὶ Βοιωτίᾳ τε καὶ πάσῃ τῇ Ἑλ-
λάδι κατὰ ταὐτὰ ἀχθόμενον, οὕτως ἐς τὴν Σαρδὼ με-
τοικῆσαί φασιν αὐτόν. Οἱ δὲ καὶ Δαίδαλον ἀποδρᾶναι 4
τηνικαῦτα Καμίκου διὰ τὴν ἐπιστρατείαν τὴν Κρητῶν
καὶ ἀποικίας ἐς τὴν Σαρδὼ μετασχεῖν τῷ Ἀρισταίῳ νο-
μίζουσιν· ἔχοι δ' ἂν λόγον οὐδένα Αὐτονόῃ τῇ Κάδμου
συνοικήσαντι τῷ Ἀρισταίῳ Δαίδαλον ἢ ἀποικίας ἢ ἄλ-
λου τινὸς μετεσχηκέναι, ὃς ἡλικίαν κατὰ Οἰδίποδα ἦν
βασιλεύοντα ἐν Θήβαις. Πόλιν δ' οὖν οἰκίζουσιν οὐ-
δεμίαν οὐδ' οὗτοι, ὅτι ἀριθμῷ τε καὶ ἰσχύϊ ἐλάσσονες
ἐμοὶ δοκεῖν ἢ κατὰ πόλεως ἦσαν οἰκισμόν. 4. Μετὰ δὲ 5
Ἀρισταῖον Ἴβηρες ἐς τὴν Σαρδὼ διαβαίνουσιν ὑπὸ ἡγε-
μόνι τοῦ στόλου Νώρακι, καὶ ᾠκίσθη Νώρα πόλις ὑπὸ
αὐτῶν· ταύτην πρώτην γενέσθαι πόλιν μνημονεύουσιν
ἐν τῇ νήσῳ· παῖδα δὲ Ἐρυθείας τε τῆς Γηρυόνου καὶ
Ἑρμοῦ λέγουσιν εἶναι τὸν Νώρακα. Τετάρτη δὲ μοῖρα
Ἰολάου Θεσπιέων τε καὶ ἐκ τῆς Ἀττικῆς στρατιὰ κατῆ-
ρεν ἐς Σαρδώ, καὶ Ὀλβίαν μὲν πόλιν οἰκίζουσιν, ἰδίᾳ
δὲ Ὀγρύλην οἱ Ἀθηναῖοι διασώζοντες τῶν δήμων τῶν
οἴκοι τινὸς τὸ ὄνομα· ἢ καὶ αὐτὸς τοῦ στόλου μετεῖχεν
Ὀγρύλος. Ἔστι δ' οὖν καὶ κατ' ἐμὲ ἔτι χωρία τε Ἰο-
λάϊα ἐν τῇ Σαρδοῖ, καὶ Ἰόλαος παρὰ τῶν οἰκητόρων ἔχει
τιμάς. Ἰλίου δὲ ἁλισκομένης ἄλλοι τε ἐκφεύγουσι τῶν 6
Τρώων καὶ οἱ ἀποσωθέντες μετὰ Αἰνείου· τούτων
μοῖρα ἀπενεχθεῖσα ὑπὸ ἀνέμων ἐς Σαρδὼ ἀνεμίχθησαν
τοῖς προενοικοῦσιν Ἕλλησι. καταστῆναι δὲ ἐς μάχην
τῷ Ἑλληνικῷ καὶ τοῖς Τρωσὶν ἐκώλυσε τοὺς βαρβάρους·
παρασκευῇ τε γὰρ ἴσοι τῇ ἁπάσῃ τὰ ἐς πόλεμον ἦσαν,
838 καὶ ὁ Θόρσος ποταμὸς διὰ μέσου σφίσι ῥέων τῆς χώρας
ἐπ' ἴσης καὶ ἀμφοτέροις διαβαίνειν παρεῖχε δέος. Ὕστε- 7

ρον μέντοι πολλοῖς ἔτεσιν οἱ Λίβυες ἐπεραιώθησάν τε
αὖθις ἐς τὴν νῆσον στόλῳ μείζονι καὶ ἦρξαν ἐς τὸ Ἑλ-
ληνικὸν πολέμου. τὸ μὲν δὴ Ἑλληνικὸν ἐς ἅπαν ἐπέ-
λαβε φθαρῆναι, ἢ ὀλίγον ἐγένετο ἐξ αὐτοῦ τὸ ὑπολει-
φθέν· οἱ δὲ Τρῶες ἐς τῆς νήσου τὰ ὑψηλὰ ἀναφεύγουσι,
καταλαβόντες δὲ ὄρη δύσβατα ὑπὸ σκολόπων τε καὶ
κρημνῶν Ἰλιεῖς μὲν ὄνομα καὶ ἐς ἐμὲ ἔτι ἔχουσι, Λίβυσι
μέντοι τὰς μορφὰς καὶ τῶν ὅπλων τὴν σκευὴν καὶ ἐς
8 τὴν πᾶσαν δίαιταν ἐοίκασιν. 5. Ἔστι δὲ νῆσος οὐ πολὺ
ἀπέχουσα τῆς Σαρδοῦς, Κύρνος ὑπὸ Ἑλλήνων, ὑπὸ δὲ
Λιβύων τῶν ἐνοικούντων καλουμένη Κορσική. ἐκ ταύ-
της μοῖρα οὐκ ἐλαχίστη στάσει πιεσθεῖσα ἀφίκετο ἐς
τὴν Σαρδώ, καὶ ᾤκησαν τῆς χώρας ἀποτεμόμενοι τῆς ἐν
τοῖς ὄρεσιν· ὑπὸ μέντοι τῶν ἐν τῇ Σαρδοῖ τῷ ὀνόματι
9 ὀνομάζονται τῷ οἴκοθεν Κορσοί. Καρχηδόνιοι δὲ ὅτε
ναυτικῷ μάλιστα ἴσχυσαν, κατεστρέψαντο μὲν καὶ ἅπαν-
τας τοὺς ἐν τῇ Σαρδοῖ πλὴν Ἰλιέων τε καὶ Κορσῶν, τού-
τοις δὲ μὴ ἐς δουλείαν ὑπαχθῆναι τὸ ἐχυρὸν ἤρκεσε
τῶν ὀρῶν, ᾤκισαν δὲ ἐν τῇ νήσῳ καὶ αὐτοὶ πόλιν οἱ
Καρχηδόνιοι, Κάραλίν τε καὶ Σύλκους. τοῦ δὲ ἐπικου-
ρικοῦ τῶν Καρχηδονίων Λίβυες ἢ Ἴβηρες ἐς ἀμφισβή-
τησιν λαφύρων ἀφικόμενοι καὶ ὡς εἶχον ὀργῆς ἀποστάν-
τες ἐσῳκίσαντο ἐς τὰ ὑψηλὰ καὶ οὗτοι τῆς νήσου. Βα-
λαροὶ τὸ ὄνομά ἐστιν αὐτοῖς κατὰ γλῶσσαν τὴν Κυρ-
νίων· Βαλαροὺς γὰρ τοὺς φυγάδας καλοῦσιν οἱ Κύρ-
10 νιοι. 6. Γένη μὲν τοσαῦτα τὴν Σαρδὼ καὶ ἐσῳκισμένα
οὕτω νέμεται· τῆς δὲ νήσου τὰ πρὸς τῆς ἄρκτου καὶ
ἠπείρου τῆς κατὰ Ἰταλίαν ἐστὶν ὄρη δύσβατα τὰ πέρατα
συνάπτοντα ἀλλήλοις· καὶ ἦν παραπλέῃς, ναυσὶν οὔτε
ὅρμους παρέχεται κατὰ τοῦτο ἡ νῆσος, πνεύματά τε ἄτα-
κτα καὶ ἰσχυρὰ αἱ ἄκραι τῶν ὀρῶν καταπέμπουσιν ἐς
11 τὴν θάλασσαν. Ἔστι δὲ καὶ ἄλλα διὰ μέσης αὐτῆς ὄρη 839

χθαμαλώτερα. ὁ δὲ ἀὴρ ὁ ἐνταῦθα θολερός τε ὡς ἐπίπαν ἐστὶ καὶ νοσώδης· αἴτιοι δὲ οἵ τε ἅλες οἱ πηγνύμενοι καὶ ὁ νότος βαρὺς καὶ βίαιος ἐγκείμενος· οἱ ἄνεμοί τε οἱ ἀπὸ τῆς ἄρκτου διὰ τὸ ὑψηλὸν τῶν ὀρῶν τῶν πρὸς τῆς Ἰταλίας κωλύονται πνέοντες θέρους ὥρᾳ τόν τε ἀέρα τὸν ταύτῃ καὶ τὴν γῆν ἀναψύχειν. Οἱ δὲ τὴν Κύρνον σταδίους φασὶν οὐ πλέονας ἀπὸ τῆς Σαρδοῦς ἢ ὀκτὼ τῇ θαλάσσῃ διείργεσθαι, ὀρεινήν τε οὖσαν καὶ ἐς ὕψος διὰ πάσης ἀνήκουσαν· τὸν Ζέφυρον οὖν καὶ Βορέαν ὑπὸ τῆς Κύρνου κωλύεσθαι νομίζουσι μὴ καὶ
ἄχρι τῆς Σαρδοῦς ἐξικνεῖσθαι. Ὄφεις δὲ οὔτε οἱ ἐπὶ 12
συμφορᾷ τῇ ἀνθρώπων οὔτε ὅσον ἀνώλεθρον αὐτῶν, οὐδὲ οἱ λύκοι τρέφεσθαι πεφύκασιν. οἱ δὲ κριοὶ μέγεθος μὲν τοὺς ἑτέρωθι οὐχ ὑπερβάλλουσιν, εἶδος δέ ἐστιν αὐτοῖς ὁποῖον ἐν πλαστικῇ τις ἂν τῇ Αἰγιναίᾳ ποιήσειεν ἀγρίου κριοῦ· τὰ μέντοι ἀμφὶ τὸ στῆθος δασύτερά ἐστιν αὐτοῖς ἢ ὡς πρὸς Αἰγιναίαν τέχνην εἰκάσαι· κέρατα δὲ οὐ διεστηκότα ἀπὸ τῆς κεφαλῆς, ἀλλὰ ἐς εὐθὺ παρὰ τὰ ὦτα ἔχουσιν ἐληλιγμένα· ὠκύτητι δὲ ἅπαντα
τὰ θηρία ὑπερήρκασι. 7. Πλὴν δὲ ἢ βοτάνης μιᾶς 13
καθαρεύει καὶ ἀπὸ φαρμάκων ἡ νῆσος, ἃ ἐργάζεται θάνατον· ἡ πόα δὲ ἡ ὀλέθριος σελίνῳ μέν ἐστιν ἐμφερής, τοῖς φαγοῦσι δὲ γελῶσιν ἐπιγίνεσθαι τὴν τελευτὴν λέγουσιν. ἐπὶ τούτῳ δὲ Ὅμηρός τε καὶ οἱ ἔπειτα ἄνθρωποι τὸν ἐπὶ οὐδενὶ ὑγιεῖ Σαρδάνιον γέλωτα ὀνομάζουσι. φύεται δὲ μάλιστα ἡ πόα περὶ τὰς πηγάς, οὐ μέντοι μεταδίδωσί γε καὶ τῷ ὕδατι τοῦ ἰοῦ. τὸν μὲν δὴ περὶ τῆς Σαρδοῦς λόγον ἐπεισηγαγόμεθα ἐς τὴν Φωκίδα συγγραφήν, ὅτι οὐχ ἥκιστα καὶ ἐς ταύτην οἱ Ἕλληνες τὴν νῆσον ἀνηκόως εἶχον.

840 XVIII. Τὸν δὲ ἵππον, ὃς ἐφεξῆς τῇ εἰκόνι ἐστὶ τοῦ Σάρδου, Ἀθηναῖος Καλλίας Λυσιμαχίδου πατρὸς ἀνα-

θεῖναί φησιν, ἰδίᾳ περιποιησάμενος ἀπὸ τοῦ πρὸς Πέρσας πολέμου χρήματα. 2. Ἀχαιοὶ δὲ ἀνέθεσαν Ἀθηνᾶς ἄγαλμα πόλιν τῶν ἐν Αἰτωλίᾳ παραστησάμενοι πολιορκίᾳ· τῇ πόλει δὲ ἣν εἷλον Φάνα τοὔνομα ἦν. γενέσθαι δὲ χρόνον φασὶν οὐκ ὀλίγον τῇ πολιορκίᾳ· καὶ ὡς ἀδυνάτως εἶχον ἑλεῖν τὴν πόλιν, θεωροὺς ἀποστέλλουσιν
2 ἐς Δελφούς, καὶ αὐτοῖς ἀφίκετο μάντευμα·

Γῆς Πέλοπος ναέται καὶ Ἀχαιίδος, οἳ ποτὶ Πυθὼ
ἤλθετε πευσόμενοι ὥς κε πτολίεθρον ἕλητε,
ἀλλ' ἄγε δὴ φράζεσθε λάχος πόσον ἦμαρ ἕκαστον
λαῶν πινόντων ῥύεται πόλιν, ἡ δὲ πέπωκεν·
οὕτω γάρ κεν ἕλοιτε Φάναν πυργήρεα κώμην.

3 Οὐ συνιέντες οὖν ὁποῖόν τι ἤθελεν ὁ χρησμὸς λέγειν, οἱ μὲν οἴκαδε ἀποπλεῖν ἐβουλεύοντο διαλύσαντες τὴν πολιορκίαν, οἱ δὲ ἐντὸς τοῦ τείχους οἵ τε ἄλλοι ἐν οὐδενὶ λόγῳ σφᾶς ἐποιοῦντο καὶ γυνὴ πρόεισιν ἐκ τοῦ τείχους ὕδωρ ἐκ τῆς ὑπὸ τῷ τείχει λαβεῖν πίδακος. Ἐπιδραμόντες δὲ ἐκ τοῦ στρατεύματος αἰχμάλωτόν τε τὴν γυναῖκα αἱροῦσι, καὶ διδάσκονται παρ' αὐτῆς οἱ Ἀχαιοὶ ὅτι τὸ ὀλίγον τὸ ἐκ τῆς πίδακος ὕδωρ, ὁπότε ἐφ' ἑκάστης λάβοιεν τῆς νυκτός, διεμετροῦντο αὐτό, καὶ ἄλλο ἦν τοῖς ἔνδον ἀλέξημα οὐδὲν ἐς δίψαν. οὕτω δὴ συγχέαντες οἱ Ἀχαιοὶ τὴν πηγὴν τὸ πόλισμα αἱροῦσι.

4 3. Ῥόδιοι δὲ οἱ ἐν Λίνδῳ παρὰ ταύτην τὴν Ἀθηνᾶν τὸ ἄγαλμα ἔστησαν τοῦ Ἀπόλλωνος. ἀνέθεσαν δὲ καὶ Ἀμβρακιῶται χαλκοῦν ὄνον, νυκτομαχίᾳ Μολοσσοὺς νικήσαντες. λόχον μέν σφισιν ἐν νυκτὶ οἱ Μολοσσοὶ παρεσκεύασαν· ὄνου δέ, ὃς ἐλαυνόμενος ἐκ τοῦ ἀγροῦ
τότε ἔτυχεν, ὄνον θήλειαν διώκοντος σὺν ὕβρει τε τῇ 841
ἄλλῃ καὶ τραχύτητι τοῦ φθέγματος, ὡσαύτως δὲ καὶ τοῦ ἀνδρὸς ὃς τὸν ὄνον ἤλαυνε βοῶντος ἀσαφῆ τε καὶ ἄκοσμα, οὕτως οἵ τε ἐκ τῆς ἐνέδρας τῶν Μολοσσῶν ἐξανί-

σταντο ταραχθέντες, καὶ οἱ Ἀμβρακιῶται φωράσαντες
τὰ ἐπὶ σφίσι βεβουλευμένα ἐπιχειροῦσιν ἐν τῇ νυκτί,
καὶ ἐκράτησαν μάχῃ τῶν Μολοσσῶν.

4. Ὀρνεᾶται δὲ οἱ ἐν τῇ Ἀργολίδι πολέμῳ σφᾶς 5
Σικυωνίων πιεζόντων τῷ Ἀπόλλωνι εὔξαντο, εἰ ἀπώ-
σαιντο ἐκ τῆς πατρίδος τῶν Σικυωνίων τὸν στρατόν,
πομπήν τε ἐν Δελφοῖς αὐτῷ στελεῖν ὁσημέραι καὶ ἱερεῖα
θύσειν οἷα δὴ καὶ ὅσα ἀριθμόν. νικῶσί τε δὴ μάχῃ
τοὺς Σικυωνίους, καὶ ὥς σφισιν ἐφ' ἡμέρας πάσης ἀπο-
διδοῦσι τὰ κατὰ τὴν εὐχὴν δαπάνη τε ἦν μεγάλη καὶ
μείζων ἔτι τοῦ ἀναλώματος ἡ ταλαιπωρία, οὕτω δὴ σό-
φισμα εὑρίσκουσιν ἀναθεῖναι τῷ θεῷ θυσίαν τε καὶ
πομπὴν χαλκᾶ ποιήματα.

5. Ἔστιν ἐνταῦθα καὶ ἄθλων τῶν Ἡρακλέους τὸ 6
ἐς τὴν ὕδραν, ἀνάθημά τε ὁμοῦ Τισαγόρου καὶ τέχνη,
σιδήρου καὶ ἡ ὕδρα καὶ ὁ Ἡρακλῆς. σιδήρου δὲ ἐργα-
σίαν τὴν ἐπὶ ἀγάλμασι χαλεπωτάτην καὶ πόνου συμβέ-
βηκεν εἶναι πλείστου· θαύματος μὲν δὴ καὶ τοῦ Τισα-
γόρου τὸ ἔργον, ὅστις δὴ ὁ Τισαγόρας, θαύματος δὲ
οὐκ ἐλαχίστου καὶ ἐν Περγάμῳ λέοντός τε καὶ ὑὸς ἀγρίου
κεφαλαί, σιδήρου καὶ αὗται· Διονύσῳ δὲ ἀναθήματα
σφᾶς ἐποιήσαντο.

6. Φωκέων δὲ οἱ ἔχοντες Ἐλάτειαν, ἀντέσχον γὰρ 7
τῇ Κασσάνδρου πολιορκίᾳ Ὀλυμπιοδώρου σφίσιν ἐξ
Ἀθηνῶν ἀμύνοντος, λέοντα τῷ Ἀπόλλωνι χαλκοῦν ἀπο-
πέμπουσιν ἐς Δελφούς. ὁ δὲ Ἀπόλλων ὁ ἐγγυτάτω τοῦ
λέοντος Μασσαλιωτῶν ἐστὶν ἀπὸ τῆς πρὸς Καρχηδο-
νίους ἀπαρχὴ ναυμαχίας.

7. Πεποίηται δὲ ὑπὸ Αἰτωλῶν τρόπαιόν τε καὶ γυ-
ναικὸς ἄγαλμα ὡπλισμένης, ἡ Αἰτωλία δῆθεν· ταῦτα
842 ἀνέθεσαν ἐπιθέντες οἱ Αἰτωλοὶ Γαλάταις δίκην ὠμότη-

τος ἐς Καλλιέας. Ἐπίχρυσος δὲ εἰκών, ἀνάθημα Γοργίου τοῦ ἐκ Λεοντίνων, αὐτὸς Γοργίας ἐστίν.

XIX. Παρὰ δὲ τὸν Γοργίαν ἀνάθημά ἐστιν Ἀμφικτυόνων Σκιωναῖος Σκύλλις, ὃς καταδῦναι καὶ ἐς τὰ βαθύτατα θαλάσσης πάσης ἔχει φήμην· ἐδιδάξατο δὲ καὶ Ὕδ-
2 ναν τὴν θυγατέρα δύεσθαι. οὗτοι περὶ τὸ ὄρος τὸ Πήλιον ἐπιπεσόντος ναυτικῷ τῷ Ξέρξου βιαίου χειμῶνος προσεξειργάσαντό σφισιν ἀπώλειαν, τάς τε ἀγκύρας καὶ εἰ δή τι ἄλλο ἔρυμα ταῖς τριήρεσιν ἦν ὑφέλκοντες. Ἀντὶ τούτου μὲν οἱ Ἀμφικτυόνες καὶ αὐτὸν Σκύλλιν καὶ τὴν παῖδα ἀνέθεσαν· ἐν δὲ τοῖς ἀνδριᾶσιν ὁπόσους Νέρων ἔλαβεν ἐκ Δελφῶν, ἐν τούτοις τὸν ἀριθμὸν καὶ τῆς Ὕδνης ἀπεπλήρωσεν ἡ εἰκών. [καταδύονται δὲ ἐς θάλασσαν γένους τοῦ θήλεος αἱ καθαρῶς ἔτι παρθένοι.]
3 2. Τὸ ἀπὸ τούτου δὲ ἔρχομαι διηγησόμενος λόγον Λέσβιον. ἁλιεῦσιν ἐν Μηθύμνῃ τὰ δίκτυα ἀνείλκυσεν ἐκ θαλάσσης πρόσωπον ἐλαίας ξύλου πεποιημένον· τοῦτο ἰδέαν παρείχετο φέρουσαν μέν τι ἐς τὸ θεῖον, ξένην δὲ καὶ ἐπὶ θεοῖς Ἑλληνικοῖς οὐ καθεστῶσαν. ἤροντο οὖν οἱ Μηθυμναῖοι τὴν Πυθίαν ὅτου θεῶν ἢ καὶ ἡρώων ἐστὶν ἡ εἰκών· ἡ δὲ αὐτοὺς σέβεσθαι Διόνυσον Φαλλῆνα ἐκέλευσεν. ἐπὶ τούτῳ οἱ Μηθυμναῖοι ξόανον μὲν τὸ ἐκ τῆς θαλάσσης παρὰ σφίσιν ἔχοντες καὶ θυσίαις καὶ εὐχαῖς τιμῶσι, χαλκοῦν δὲ ἀποπέμπουσιν ἐς Δελφούς.
4 3. Τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν Ἄρτεμις καὶ Λητὼ καὶ Ἀπόλλων καὶ Μοῦσαι, δύσις τε Ἡλίου, καὶ Διόνυσός τε καὶ αἱ γυναῖκες αἱ Θυιάδες. τὰ μὲν δὴ πρῶτα αὐτῶν Ἀθηναῖος Πραξίας μαθητὴς Καλάμιδός ἐστιν ἐργασάμενος· χρόνου δὲ ὡς ὁ ναὸς ἐποιεῖτο ἐγγινομένου Πραξίαν μὲν ἔμελλεν ἀπάξειν τὸ χρεών, τὰ δὲ ὑπο- 843
λειπόμενα τοῦ ἐν τοῖς ἀετοῖς κόσμου ἐποίησεν Ἀνδροσθένης, γένος μὲν καὶ οὗτος Ἀθηναῖος, μαθητὴς δὲ Εὐ-

κάδμου. Ὅπλα δὲ ἐπὶ τῶν ἐπιστυλίων χρυσᾶ, Ἀθηναῖοι μὲν τὰς ἀσπίδας ἀπὸ τοῦ ἔργου τοῦ Μαραθῶνι ἀνέθεσαν, Αἰτωλοὶ δὲ τά τε ὄπισθε καὶ τὰ ἐν ἀριστερᾷ Γαλατῶν δὴ ὅπλα· σχῆμα δὲ αὐτῶν ἐστιν ἐγγυτάτω τῶν Περσικῶν γέῤῥων.

4. Γαλατῶν δὲ τῆς ἐς τὴν Ἑλλάδα ἐπιστρατείας ἔχει
μέν τινα μνήμην καὶ ἡ ἐς τὸ βουλευτήριον ἡμῖν τὸ Ἀτ- 5
τικὸν συγγραφή· προάγειν δὲ ἐς τὸ σαφέστερον τὰ ἐς
αὐτοὺς ἠθέλησα ἐν τῷ λόγῳ τῷ ἐς Δελφούς, ὅτι ἔργων
τῶν ἐπὶ τοὺς βαρβάρους τὰ μέγιστα Ἕλλησιν ἐνταῦθα
ἦν. Ὑπερόριον μὲν οἱ Κελτοὶ στρατείαν πρώτην ὑπὸ
ἡγεμόνι ἐποιήσαντο Καμβαύλῃ· προελθόντες δὲ ἄχρι
τῆς Θρᾴκης τὸ πρόσω τῆς πορείας οὐκ ἀπεθάρσησαν,
καταγνόντες αὑτῶν ὅτι ὀλίγοι τε ἦσαν καὶ οὐκ ἀξιό-
μαχοι κατ' ἀριθμὸν Ἕλλησιν. Ἐπεὶ δὲ καὶ δεύτερον
ἐπιφέρειν ἐδόκει ὅπλα ἐπὶ τὴν ἄλλων, ἐνῆγον δὲ μά- 6
λιστα οἱ ὁμοῦ Καμβαύλῃ ἐκστρατεύσαντες ἅτε λῃστειῶν
τε ἤδη γεγευμένοι καὶ ἁρπαγῆς καὶ κερδῶν ἐς ἔρωτα
ἥκοντες, πολὺς μὲν δὴ πεζός, οὐκ ἐλάχιστοι δὲ ἠθροί-
σθησαν καὶ ἐς τὸ ἱππικόν. ἐς μοίρας οὖν τρεῖς ἔνεμον
οἱ ἡγεμόνες τὸν στρατόν, καὶ ἄλλος ἐξ αὐτῶν ἐπὶ ἄλλην
ἐτέτακτο ἰέναι χώραν. Ἐπὶ μὲν οὖν Θρᾷκας καὶ τὸ ἔθ- 7
νος τὸ Τριβαλλῶν ἔμελλε Κερέθριος ἡγήσεσθαι· τοῖς
δὲ ἐς Παιονίαν ἰοῦσι Βρέννος ἦσαν καὶ Ἀκιχώριος ἄρ-
χοντες· Βόλγιος δὲ ἐπὶ Μακεδόνας τε καὶ Ἰλλυριοὺς
ἤλασε, καὶ ἐς ἀγῶνα πρὸς Πτολεμαῖον κατέστη τότε ἔχον-
τα τὴν Μακεδόνων βασιλείαν. Πτολεμαῖος δὲ ἦν οὗτος
ὃς Σέλευκόν τε ἐδολοφόνησε τὸν Ἀντιόχου, καταπεφευ-
γὼς ὅμως ἱκέτης ὡς αὐτόν, καὶ εἶχεν ἐπίκλησιν Κεραυ-
νὸς διὰ τὸ ἄγαν τολμηρόν. καὶ ὁ μὲν αὐτός τε ὁ Πτολε-
μαῖος ἀπέθανεν ἐν τῇ μάχῃ, καὶ τῶν Μακεδόνων ἐγέ-
νετο οὐκ ἐλαχίστη φθορά· προελθεῖν δὲ ὡς ἐπὶ τὴν

Ἑλλάδα οὐδὲ τότε ἐθάρσησαν οἱ Κελτοί, καὶ ὁ δεύτερος
8 οὕτω στόλος ἐπανῆλθεν ἐς τὴν οἰκείαν. 5. Ἔνθα δὴ ὁ 844
Βρέννος πολὺς μὲν ἐν συλλόγοις τοῖς κοινοῖς, πολὺς δὲ
καθ' ἕκαστον ἦν τῶν ἐν τέλει Γαλατῶν ἐπὶ τὴν Ἑλλάδα
ἐπαίρων στρατεύεσθαι, ἀσθένειάν τε Ἑλλήνων τὴν ἐν
τῷ παρόντι διηγούμενος, καὶ ὡς χρήματα πολλὰ μὲν ἐν
τῷ κοινῷ, πλείονα δὲ ἐν ἱεροῖς τά τε ἀναθήματα καὶ
ἄργυρος καὶ χρυσός ἐστιν ἐπίσημος. ἀνέπεισέ τε δὴ τοὺς
Γαλάτας ἐλαύνειν ἐπὶ τὴν Ἑλλάδα, καὶ αὐτῷ συνάρχον-
τας ἄλλους τε προσείλετο τῶν ἐν τέλει καὶ τὸν Ἀκιχώριον.
9 6. Ὁ δὲ ἀθροισθεὶς στρατὸς πεζοὶ μὲν μυριάδες ἐγένοντο
πεντεκαίδεκα προσόντων σφίσι δισχιλίων, οἱ δὲ ἱππεύ-
οντες τετρακόσιοι καὶ δισμύριοι. τοσοῦτοι μὲν ἦσαν τῶν
ἱππέων τὸ ἀεὶ ἐνεργόν, ἀριθμὸς δὲ αὐτῶν ὁ ἀληθὴς
διακόσιοί τε καὶ χίλιοι καὶ ἓξ μυριάδες· δύο γὰρ οἰκέ-
ται περὶ ἕκαστον τῶν ἱππευόντων ἦσαν, ἀγαθοὶ καὶ αὐ-
10 τοὶ τὰ ἱππικὰ καὶ ἵππους ὁμοίως ἔχοντες. Γαλατῶν δὲ
τοῖς ἱππεύουσιν ἀγῶνος συνεστηκότος ὑπομένοντες τῆς
τάξεως ὄπισθεν οἱ οἰκέται τοσάδε σφίσιν ἐγίνοντο χρή-
σιμοι· τῷ γὰρ ἱππεῖ συμβὰν ἢ τῷ ἵππῳ πεσεῖν, τὸν μὲν
ἵππον παρεῖχεν ἀναβῆναι τῷ ἀνδρί, τελευτήσαντος δὲ
τοῦ ἀνδρὸς ὁ δοῦλος ἀντὶ τοῦ δεσπότου τὸν ἵππον ἀνέ-
βαινεν· εἰ δὲ ἀμφοτέρους ἐπιλάβοι τὸ χρεών, ἐνταῦθα
ἕτοιμος ἦν ἱππεύς. λαμβανόντων δὲ τραύματα αὐτῶν
ὁ μὲν ὑπεξῆγε τῶν δούλων ἐς τὸ στρατόπεδον τὸν
τραυματίαν, ὁ δὲ καθίστατο ἐς τὴν τάξιν ἀντὶ τοῦ ἀπελ-
11 θόντος. Ταῦτα ἐμοὶ δοκεῖν ἐνομίσθη τοῖς Γαλάταις ἐς
μίμησιν τοῦ ἐν Πέρσαις ἀριθμοῦ τῶν μυρίων, οἳ ἐκα-
λοῦντο Ἀθάνατοι. διάφορα δὲ ἦν, ὅτι κατελέγοντο ἀντὶ
τῶν ἀποθνησκόντων ὑπὸ μὲν Περσῶν τῆς μάχης ὕστε-
ρον, Γαλάταις δὲ ὑπ' αὐτὴν τοῦ ἔργου τὴν ἀκμὴν ὁ
ἀριθμὸς ἀπεπληροῦτο τῶν ἱππέων. τοῦτο ὠνόμαζον τὸ

845 σύνταγμα τριμαρκισίαν τῇ ἐπιχωρίῳ φωνῇ· καὶ ἵππον
τὸ ὄνομα ἴστω τις μάρκαν ὄντα ὑπὸ τῶν Κελτῶν. πα- 12
ρασκευῇ μὲν τοσαύτῃ καὶ μετὰ διανοίας τοιαύτης ἐπὶ
τὴν Ἑλλάδα ὁ Βρέννος ἤλαυνε.

XX. Τοῖς δέ γε Ἕλλησι κατεπεπτώκει μὲν ἐς ἅπαν
τὰ φρονήματα, τὸ δὲ ἰσχυρὸν τοῦ δείματος προῆγεν ἐς
ἀνάγκην τῇ Ἑλλάδι ἀμύνειν. ἑώρων δὲ τὸν ἐν τῷ πα-
ρόντι ἀγῶνα οὐχ ὑπὲρ ἐλευθερίας γενησόμενον, καθὰ
ἐπὶ τοῦ Μήδου ποτέ, οὐδὲ δοῦσιν ὕδωρ καὶ γῆν τὰ ἀπὸ
τούτου σφίσιν ἄδειαν φέροντα· ἀλλὰ τά τε ἐς Μακε-
δόνας καὶ Θρᾷκας καὶ Παίονας τὰ ἐπὶ τῆς προτέρας κα-
ταδρομῆς τῶν Γαλατῶν ἔτι σφίσιν ἔκειτο ἐν μνήμῃ,
καὶ τὰ ἐν τῷ παρόντι τὰ ἐς Θεσσαλοὺς παρανομήματα
ἀπηγγέλλετο. ὡς οὖν ἀπολωλέναι δέον ἢ ἐπικρατεστέ-
ρους εἶναι, κατ' ἄνδρα τε ἰδίᾳ καὶ αἱ πόλεις διέκειντο ἐν
κοινῷ.

2. Πάρεστι δέ, ὅστις ἐθέλοι καὶ ἀνταριθμῆσαι τούς XX, 1.
τε ἐπὶ βασιλέα Ξέρξην ἐς Πύλας καὶ τοὺς τότε ἐναντία
Γαλατῶν ἀθροισθέντας. ἐπὶ μέν γε τὸν Μῆδον ἀφί-
κοντο τοσοίδε Ἑλλήνων· Λακεδαιμόνιοι οἱ μετὰ Λεω-
νίδου τριακοσίων οὐ πλείονες, Τεγεᾶται πεντακόσιοι
καὶ ἐκ Μαντινείας ἴσοι, παρὰ δὲ Ὀρχομενίων Ἀρκά-
δων εἴκοσί τε καὶ ἑκατόν, ἀπὸ δὲ τῶν ἄλλων χίλιοι τῶν
ἐν Ἀρκαδίᾳ πόλεων, ὀγδοήκοντα δὲ ἐκ Μυκηνῶν, καὶ
ἐκ Φλιοῦντος διακόσιοι, διπλάσιοι δὲ τούτων Κορίν-
θιοι· παρεγένοντο δὲ καὶ Βοιωτῶν ἑπτακόσιοι ἐκ Θε-
σπείας καὶ Θηβαίων τετρακόσιοι. χίλιοι δὲ Φωκέων
ἐφύλασσον μὲν τὴν ἀτραπὸν ἐν τῇ Οἴτῃ, προσέστω δὲ
τῷ παντὶ Ἑλληνικῷ καὶ ὁ ἀριθμὸς ὁ τούτων. Λοκροὺς 2
δὲ τοὺς ὑπὸ τῷ ὄρει τῇ Κνήμιδι Ἡρόδοτος μὲν οὐχ
846 ὑπήγαγεν ἐς ἀριθμόν, ἀλλ' ἀφικέσθαι σφᾶς ἀπὸ πα-
σῶν ἔφη τῶν πόλεων· τεκμήρασθαι δὲ ἀριθμὸν καὶ

τούτων ἔστιν ἐγγύτατα τοῦ ἀληθοῦς· ἐς Μαραθῶνα
γὰρ Ἀθηναῖοι σὺν ἡλικίᾳ τε τῇ ἀχρείῳ καὶ δούλοις ἐνα-
κισχιλίων ἀφίκοντο οὐ πλείους· τὸ οὖν μάχιμον Λο-
κρῶν τὸ ἐς Θερμοπύλας ἐλθὸν οὐκ ἂν ὑπέρ γε ἑξακι-
σχιλίους ἀριθμοίη τις. οὕτω γένοιτο ἂν ὁ σύμπας
στρατὸς διακόσιοι καὶ χίλιοι καὶ μύριοι. φαίνονται δὲ
οὐδὲ οὗτοι τὸν χρόνον πάντα ἐπὶ τῇ φρουρᾷ τῶν Πυ-
λῶν καταμείναντες· πλὴν γὰρ Λακεδαιμονίων τε αὐ-
τῶν καὶ Θεσπιέων καὶ Μυκηναίων προαπέλιπον τὸ πέ-
3 ρας τῆς μάχης οἱ λοιποί. 3. Ἐπὶ δὲ τοὺς ἀπὸ Ὠκεανοῦ
βαρβάρους τοσοίδε ἐς Θερμοπύλας ἀφίκοντο Ἕλληνες·
ὁπλῖται μύριοι καὶ ἵππος πεντακοσία παρὰ Βοιωτῶν·
ἐβοιωτάρχουν δὲ Κηφισόδοτος καὶ Θεαρίδας καὶ Διογέ-
νης καὶ Λύσανδρος. ἐκ δὲ Φωκέων ἱππεῖς πεντακόσιοι
καὶ ἐς τρισχιλίους ὁ ἀριθμὸς τῶν πεζῶν· στρατηγοὶ δὲ
4 Φωκέων Κριτόβουλός τε ἦν καὶ Ἀντίοχος. Λοκροὺς δὲ
τοὺς ἐπὶ Ἀταλάντῃ τῇ νήσῳ Μειδίας ἦγεν· ἀριθμὸς δὲ
αὐτῶν ἑπτακόσιοι, καὶ ἱππικόν σφισιν οὐ προσῆν. πα-
ρὰ δὲ Μεγαρέων ἀφίκοντο ὁπλῖται τετρακόσιοι· τού-
των ἦγε τὸ ἱππικὸν Μεγαρεύς. Αἰτωλῶν δὲ πλείστη
τε ἐγένετο στρατιὰ καὶ ἐς πᾶσαν μάχης ἰδέαν, ἡ μὲν ἵπ-
πος οὐ λέγουσιν ὁπόση, ψιλοὶ δὲ ἐνενήκοντα καὶ * *
ἑπτακισχιλίων ἀριθμὸν ἦσαν οἱ ὁπλιτεύοντες· Αἰτω-
λοὺς δὲ ἦγον Πολύαρχος καὶ Πολύφρων τε καὶ Λακρά-
5 της. Ἀθηναίων δὲ στρατηγὸς μὲν Κάλλιππος ἦν ὁ Μοι-
ροκλέους, καθὰ ἐδήλωσα καὶ ἐν τοῖς προτέροις τοῦ λό-
γου, δύναμις δὲ τριήρεις τε αἱ πλώϊμοι πᾶσαι, πεντα-
κόσιοι δὲ ἐς τὸ ἱππικόν, χίλιοι δὲ ἐτάσσοντο ἐν τοῖς
πεζοῖς· καὶ ἡγεμονίαν οὗτοι κατ' ἀξίωμα εἶχον τὸ ἀρ-
χαῖον. βασιλέων δὲ ξενικὰ πεντακόσιοί τε ἐκ Μακεδο-
νίας καὶ ἐκ τῆς Ἀσίας ἴσοι σφίσιν ἀφίκοντο ἀριθμόν· 847
ἄρχοντες δὲ τῶν μὲν παρ' Ἀντιγόνου πεμφθέντων

Ἀριστόδημος ἦν Μακεδών, τῶν δὲ παρὰ Ἀντιόχου τε καὶ ἐκ τῆς Ἀσίας Τελέσαρχος τῶν ἐπὶ Ὀρόντῃ Σύρων.

4. *Τοῖς δὲ ἐς Θερμοπύλας ἀθροισθεῖσιν Ἑλλήνων,* 6
ὡς ἐπύθοντο περί τε Μαγνησίαν καὶ γῆν τὴν Φθιῶτιν ὄντα ἤδη τῶν Γαλατῶν τὸν στρατόν, ἔδοξεν ἤδη ψιλούς τε ἐς χιλίους καὶ [ἐς] τὴν ἵππον ἀπολέξαντας ἀποστεῖλαι σφᾶς ἐπὶ τὸν Σπερχειόν, ἵνα μηδὲ τὸν ποταμὸν διαβῆναι τοῖς βαρβάροις ἄνευ ἀγῶνός τε καὶ κινδύνων ἐγγένηται. οἱ δὲ ἐλθόντες τὰς γεφύρας τε καταλύουσι καὶ αὐτοὶ παρὰ τὴν ὄχθην ἐστρατοπεδεύσαντο. Ἦν δὲ οὐδὲ ὁ Βρέννος οὔτε πάντα ἀσύνετος, οὔτε ἀπείρως εἶχεν, ὡς ἂν τις βάρβαρος, σοφίσματα ἐς πολεμίους ἐξευρεῖν. εὐθὺς οὖν τῇ ἐπιούσῃ νυκτὶ οὐ καθότι ἦν τὰ 7
ἀρχαῖα τῷ ποταμῷ ζεύγματα, ἀλλὰ ἐς τὸ κάτω, ὡς μή τις τοῖς Ἕλλησι διαβαινόντων γένοιτο αἴσθησις, καὶ ᾗ μάλιστα ὁ Σπερχειὸς διεχεῖτο ἐς πλέον τοῦ πεδίου καὶ ἕλος τε ἐποίει καὶ λίμνην ἀντὶ βιαίου καὶ στενοῦ ῥεύματος, κατὰ τοῦτο ὁ Βρέννος ὅσον μυρίους τῶν Γαλατῶν ἀπέστειλεν, ὁπόσοι τε νεῖν ἠπίσταντο ἐξ αὐτῶν καὶ ὅστις τῷ μήκει τοῦ σώματος ἐτύγχανεν ὢν ὑπὲρ τοὺς πολλούς· εἰσὶ δὲ καὶ ἄλλως οἱ Κελτοὶ μακρῷ πάντας ὑπερηρκότες μήκει τοὺς ἀνθρώπους. Οὗτοι μὲν οὖν 8
διαβαίνουσιν ἐν τῇ νυκτὶ διανηχόμενοι ὧδε τὸ λιμνῶδες τοῦ ποταμοῦ, καὶ τὰ ὅπλα, τοὺς ἐπιχωρίους θυρεούς, ἐποιεῖτο ἕκαστος ἀντὶ σχεδίας· οἱ δὲ αὐτῶν μήκιστοι διελθεῖν ἐμβαδὸν τὸ ὕδωρ ἐδυνήθησαν. Οἱ δὲ Ἕλληνες οἱ ἐπὶ τῷ Σπερχειῷ, πυνθάνονται γὰρ ὅτι κατὰ τὸ ἕλος διέβη μοῖρα τῶν βαρβάρων, αὐτίκα ἐς τὸ στράτευμα ἀναχωροῦσι.

XXI. *Βρέννος δὲ τοῖς περὶ τὸν Μαλιακὸν κόλπον οἰκοῦσι ζευγνύναι τὸν Σπερχειὸν ἐπέτασσεν· οἱ δὲ ἤνυον τὸ ἔργον σπουδῇ τῷ τε ἐκείνου δέει, καὶ ἀπελ-*

θεῖν ἐκ τῆς χώρας σφίσιν ἐπιθυμοῦντες τοὺς βαρβά-
9 ρους μηδὲ ἐπὶ πλέον κακουργεῖν μένοντας. Ὁ δὲ ὡς
κατὰ τὰς γεφύρας διεβίβασε τὴν στρατιάν, ἐχώρει 848
πρὸς τὴν Ἡράκλειαν· καὶ διήρπασαν μὲν τὰ ἐκ τῆς
χώρας οἱ Γαλάται καὶ ἀνθρώπους τοὺς ἐπὶ τῶν ἀγρῶν
ἐγκαταληφθέντας ἐφόνευσαν, τὴν πόλιν δὲ οὐχ εἷλον.
ἔτει γὰρ πρότερον τούτων οἱ Αἰτωλοὶ συντελεῖν τοὺς
Ἡρακλεώτας ἠνάγκασαν ἐς τὸ Αἰτωλικόν· τότε οὖν
ἠμύνοντο ὡς περὶ πόλεως οὐδέν τι Ἡρακλεώταις μᾶλ-
λον ἢ καὶ αὐτοῖς προσηκούσης. ἦν δὲ καὶ τῷ Βρέννῳ
τὰ μὲν Ἡρακλεωτῶν ἐλάσσονος φροντίδος, ἀγώνισμα
δὲ ἐποιεῖτο ἐξελάσαι τε ἐκ τῶν στενῶν τοὺς ἀντικαθη-
μένους καὶ παρελθεῖν ἐς τὴν ἐντὸς Θερμοπυλῶν Ἑλ-
λάδα.

XXI, 1. 2. Προελθὼν οὖν ἀπὸ τῆς Ἡρακλείας, ἐπυνθάνετο
γὰρ παρὰ αὐτομόλων τοὺς συνειλεγμένους ἐς Πύλας
ἀπὸ ἑκάστης πόλεως, ὑπερεφρόνει τε τοῦ Ἑλληνικοῦ,
καὶ ἦρχεν ἐς τὴν ἐπιοῦσαν μάχης ἅμα ἀνίσχοντι τῷ
ἡλίῳ, οὔτε Ἕλληνα ἔχων μάντιν οὔτε ἱεροῖς ἐπιχωρίοις
χρώμενος, εἰ δὴ ἔστι γε μαντεία Κελτική. ἐνταῦθα οἱ
Ἕλληνες ἐν σιγῇ τε ἐπῄεσαν καὶ ἐν κόσμῳ· καὶ ὡς ἀφί-
κοντο ἐς χεῖρας, οὔτε σφίσιν οἱ πεζοὶ τοσοῦτο ἀπὸ τῆς
τάξεως ἐξέθεον ὥστε τὴν φάλαγγα ἐπιταράσσειν τὴν οἰ-
κείαν, καὶ οἱ ψιλοὶ μένοντες κατὰ χώραν τά τε ἀκόντια
2 ἔπεμπον καὶ ὅσα ἀπὸ τῶν τόξων ἢ σφενδονῶν. τὰ δὲ
ἱππικὰ ἀμφοτέροις ἀχρεῖα ἐγένετο ἅτε οὐ στενοῦ μόνον
χωρίου τοῦ κατὰ τὰς Πύλας ὄντος, ἀλλὰ καὶ ὑπὸ αὐτο-
φυοῦς πέτρας λείου καὶ διὰ τῶν ῥευμάτων τὸ συνεχὲς
τὰ πλείονα καὶ ὀλισθηροῦ. Τοῖς δὲ Γαλάταις τὰ μὲν τῆς
σκευῆς ἀσθενέστερα ἦν· θυρεοὺς γὰρ τοὺς ἐπιχωρίους
εἶχον, καὶ ἄλλο σφίσιν οὐκ ἦν ὅπλον σκέπη σώματος·
3 πλέον δὲ ἔτι ἐμπειρίᾳ τῇ ἐς τὰ πολεμικὰ ἀπέδεον. Οἱ

δὲ ἐν ὀργῇ τε ἐπὶ τοὺς ἐναντίους καὶ θυμῷ μετὰ οὐδε-
νὸς λογισμοῦ, καθάπερ τὰ θηρία, ἐχώρουν· καὶ οὔτε
849 πελέκεσι διαιρουμένους ἢ ὑπὸ μαχαιρῶν ἡ ἀπόνοια
τοὺς ἐμπνέοντας ἔτι ἀπέλειπεν, οὔτε ὅσοι βέλεσι καὶ
ἀκοντίοις διεπείροντο, ὑφῄρουν τοῦ θυμοῦ, μέχρι οὗ
παρέμενεν ἡ ψυχή· οἱ δὲ καὶ ἐκ τῶν τραυμάτων τὰ δό-
ρατα οἷς ἐβέβληντο ἀνασπῶντες ἠφίεσάν τε ἐς τοὺς Ἕλ-
ληνας καὶ ἐχρῶντο ἐκ χειρός. Ἐν τούτῳ δὲ οἱ ἐπὶ τῶν 4
τριήρων Ἀθηναῖοι μόγις μὲν καὶ οὐκ ἄνευ κινδύνου,
παραπλεύσαντες δὲ ὅμως διὰ τῆς ἰλύος, ἣ ἐπὶ πλεῖστον
ἐπέχει τῆς θαλάσσης, καὶ τὰς ναῦς ὅτι ἐγγύτατα τῶν
βαρβάρων σχόντες, βέλεσί τε παντοίοις ἐς τὰ πλάγια
καὶ τοξεύμασιν ἐς αὐτοὺς ἐχρῶντο. Καμνόντων δὲ λό-
γου μειζόνως τῶν Κελτῶν, καὶ ἅτε ἐν στενοχωρίᾳ μι-
κρὰ μὲν δρώντων διπλάσια δὲ καὶ τετραπλάσια πασχόν-
των; ἀναχωρεῖν ἐς τὸ στρατόπεδον ἐσήμαινόν σφισιν οἱ
ἡγεμόνες. οἱ δὲ ἀτάκτως καὶ σὺν οὐδενὶ ἀναστρέφον-
τες κόσμῳ πολλοὶ μὲν συνεπατήθησαν ὑπὸ ἀλλήλων,
πολλοὶ δὲ ἐς τὸ τέλμα ἐμπεσόντες ἠφανίσθησαν κατὰ
τοῦ πηλοῦ, καὶ ἀπώλεια οὐκ ἐλάσσων ἀναχωροῦσιν αὐ-
τοῖς ἢ ἐν τοῦ ἀγῶνος συνέβη τῇ ἀκμῇ.

3. Τοὺς μὲν δὴ Ἕλληνας τὸ Ἀττικὸν ὑπερεβάλετο 5
ἀρετῇ τὴν ἡμέραν ταύτην· αὐτῶν δὲ Ἀθηναίων Κυ-
δίας μάλιστα ἐγένετο ἀγαθός, νέος τε ἡλικίαν καὶ τότε
ἐς ἀγῶνα ἐλθὼν πολέμου πρῶτον. ἀποθανόντος δὲ
ὑπὸ τῶν Γαλατῶν τὴν ἀσπίδα οἱ προσήκοντες ἀνέθεσαν
τῷ Ἐλευθερίῳ Διί, καὶ ἦν τὸ ἐπίγραμμα

Ἧμαι δὴ ποθέουσα νέαν ἔτι Κυδίου ἥβην
    ἀσπὶς ἀριζήλου φωτός, ἄγαλμα Διί,
ἇς διὰ δὴ πρώτας λαιὸν τότε πῆχυν ἔτεινεν,
    εὖτ' ἐπὶ τὸν Γαλάταν ἤκμασε θοῦρος Ἄρης.

Τοῦτο μὲν δὴ ἐπεγέγραπτο πρὶν ἢ τοὺς ὁμοῦ Σύλλᾳ 6

καὶ ἄλλα τῶν Ἀθήνησι καὶ τὰς ἐν τῇ στοᾷ τοῦ Ἐλευθερίου Διὸς καθελεῖν ἀσπίδας. 4. Τότε δὲ ἐν ταῖς Θερμοπύλαις οἱ μὲν Ἕλληνες μετὰ τὴν μάχην τούς τε αὑτῶν ἔθαπτον καὶ ἐσκύλευον τοὺς βαρβάρους. Οἱ Γα- 850
λάται δὲ οὔτε ὑπὲρ ἀναιρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο, ἐποιοῦντό τε ἐπ' ἴσης γῆς σφᾶς τυχεῖν ἢ θηρία τε αὐτῶν ἐμφορηθῆναι καὶ ὅσον τεθνεῶσι πολέ-
7 *μιόν ἐστιν ὀρνίθων. Ὀλιγώρως δὲ αὐτοὺς ἐς τῶν ἀπογινομένων ἔχειν τὰς ταφὰς δύο ἐμοὶ δοκεῖν τὰ ἀναπείθοντα ἦν, πολεμίους τε ἄνδρας ἐκπλῆξαι, καὶ ὅτι ἔστι τεθνεώτων οὐ δι' ἔθους οἶκτος αὐτοῖς. Ἀπέθανον δὲ παρὰ τὴν μάχην τεσσαράκοντα μὲν τοῦ Ἑλληνικοῦ, τοὺς δὲ τῶν βαρβάρων οὐχ οἷόν τε ἦν ἀκριβῶς ἐξευρεῖν· πολὺ γὰρ καὶ τὸ ἀφανισθὲν κατὰ τῆς ἰλύος ἐγένετο ἐξ αὐτῶν.*

XXII. *Ἑβδόμῃ δὲ ὕστερον μετὰ τὴν μάχην λόχος τῶν Γαλατῶν ἀνελθεῖν ἐς τὴν Οἴτην ἐπεχείρησε κατὰ Ἡράκλειαν· ἀτραπὸς δὲ στενὴ καὶ ταύτῃ μετ' αὐτὰ τὰ ἐρείπια ἀνήκει τὰ Τραχῖνος· ἦν δὲ καὶ ἱερὸν Ἀθηνᾶς τότε ὑπὲρ τῆς * * Τραχινίδος καὶ ἀναθήματα ἐν αὐτῷ. ἔς τε οὖν τὴν Οἴτην ἀναβήσεσθαι κατὰ τὴν ἀτραπὸν ἤλπιζον, καὶ ἅμα προσέσεσθαί σφισιν ἐν παρέργῳ τὰ ἐκ τοῦ ἱεροῦ * * * τὴν φρουρὰν οιομενου Τελεσάρχῳ. καὶ νικῶσι μὲν τοὺς βαρβάρους τῇ μάχῃ, αὐτὸς δὲ ἔπεσεν ὁ Τελέσαρχος, ἀνήρ, εἴπερ τις καὶ ἄλλος, πρόθυμος ἐς τὰ Ἑλλήνων.*

2 2. *Οἱ μὲν δὴ ἡγεμόνες τῶν βαρβάρων οἱ ἄλλοι κατεπεπλήγεσαν τὸ Ἑλληνικόν, καὶ ἠπόρουν ἅμα ὑπὲρ τῶν μελλόντων, ἐς οὐδέν σφισι πλέον προχωροῦντα ὁρῶντες τὰ ἐν χερσί· τῷ δὲ Βρέννῳ λογισμὸς παρίστατο ὡς, εἰ ἀναγκάσει τοὺς Αἰτωλοὺς οἴκαδε ἐς τὴν Αἰτωλίαν ἀναχωρῆσαι, ῥᾴων ἤδη γενήσοιτο ὁ πόλεμος αὐ-*

τῷ πρὸς τὸ Ἑλληνικόν. Ἀπολέξας οὖν τῆς στρατιᾶς μυ-
ριάδας τοῦ πεζοῦ τέσσαρας καὶ ὅσον ὀκτακοσίους ἱπ-
πέας, Ὀρεστόριόν τε αὐτοῖς καὶ Κόμβουτιν ἐφίστησιν
ἄρχοντας· οἳ ὀπίσω κατὰ τοῦ Σπερχειοῦ τὰς γεφύρας 3
851 καὶ αὖθις διὰ Θεσσαλίας ὁδεύσαντες ἐμβάλλουσιν ἐς
τὴν Αἰτωλίαν. καὶ τὰ ἐς Καλλιέας Κόμβουτις οἱ ἐργα-
σάμενοι καὶ Ὀρεστόριος ἦσαν, ἀνοσιώτατά τε ὧν ἀκοῇ
ἐπιστάμεθα, καὶ οὐδὲν τοῖς ἀνθρώπων τολμήμασιν
ὅμοια. γένος μέν γε πᾶν ἐξέκοψαν τὸ ἄρσεν, καὶ ὁμοί-
ως γέροντές τε καὶ τὰ νήπια ἐπὶ τῶν μητέρων τοῖς
μαστοῖς ἐφονεύετο· τούτων δὲ καὶ τὰ ὑπὸ τοῦ γάλα-
κτος πιότερα ἀποκτείνοντες ἔπινόν τε οἱ Γαλάται τοῦ
αἵματος καὶ ἥπτοντο τῶν σαρκῶν. Γυναῖκες δὲ καὶ 4
ὅσαι ἐν ὥρᾳ τῶν παρθένων, ὅσαι μὲν φρονήματός τι
αὐτῶν εἶχον, ἑαυτὰς ἔφθησαν ὡς ἡλίσκετο ἡ πόλις δι-
ειργασμέναι· τὰς δὲ ἔτι περιούσας ἐς ἰδέαν ὕβρεως
πᾶσαν μετὰ ἀνάγκης ἦγον ἰσχυρᾶς, ἅτε ἴσον μὲν ἐλέου,
ἴσον δὲ τὰς φύσεις καὶ ἔρωτος ἀπέχοντες. καὶ ὅσαι μὲν
τῶν γυναικῶν ταῖς μαχαίραις τῶν Γαλατῶν ἐπετύγχα-
νον, αὐτοχειρίᾳ τὰς ψυχὰς ἠφίεσαν· ταῖς δὲ οὐ μετὰ
πολὺ ὑπάρξειν τὸ χρεὼν ἔμελλεν ἥ τε ἀσιτία καὶ ἡ
ἀϋπνία, ἀστόργων βαρβάρων ἐκ διαδοχῆς ἀλλήλοις
ὑβριζόντων· οἱ δὲ καὶ ἀφιείσαις τὰς ψυχάς, οἱ δὲ καὶ
ἤδη νεκραῖς συνεγίνοντο ὅμως. 3. Αἰτωλοὶ δὲ πεπυ- 5
σμένοι τε παρὰ ἀγγέλων ἦσαν ὁποῖαι σφᾶς κατειλήφε-
σαν συμφοραί, καὶ αὐτίκα ὡς τάχους εἶχον ἀναστήσαν-
τες ἀπὸ τῶν Θερμοπυλῶν τὴν δύναμιν ἠπείγοντο ἐς
τὴν Αἰτωλίαν, τά τε παθήματα τῶν Καλλιέων ἐν ὀργῇ
ποιούμενοι, καὶ πλέον ἔτι τὰς οὐχ ἑαλωκυίας πω δια-
σώσασθαι πόλεις προθυμούμενοι. Ἐξεστρατεύοντο δὲ
καὶ οἴκοθεν ἀπὸ τῶν πόλεων πασῶν οἱ ἐν ἡλικίᾳ, ἀνα-
μεμιγμένοι δ᾽ ἦσαν ὑπὸ ἀνάγκης τε καὶ φρονήματος καὶ

*οἱ γεγηρακότες· συνεστρατεύοντο δέ σφισι καὶ αἱ γυ-
ναῖκες ἑκουσίως, πλέον ἐς τοὺς Γαλάτας καὶ τῶν ἀν-
6 δρῶν τῷ θυμῷ χρώμεναι. 4. Ὡς δὲ οἱ βάρβαροι συλήσαν-
τες τούς τε οἴκους καὶ τὰ ἱερὰ καὶ ἐνέντες πῦρ ἐς τὸ Κάλ-
λιον ἐκομίζοντο τὴν αὐτήν, ἐνταῦθα Πατρεῖς μὲν ἐπι-
κουροῦντες Αἰτωλοῖς Ἀχαιῶν μόνοι προσέκειντο ἐξ
ἐναντίας τοῖς βαρβάροις ἅτε ὁπλιτεύειν δεδιδαγμένοι,
καὶ ὑπὸ πλήθους τε τῶν Γαλατῶν καὶ τῆς ἐς τὰ ἔργα
ἀπονοίας μάλιστα ἐταλαιπώρησαν· οἱ δὲ Αἰτωλοὶ καὶ
αἱ γυναῖκες αἱ Αἰτωλαὶ παρὰ πᾶσαν τεταγμένοι τὴν* 852
*ὁδὸν ἐσηκόντιζόν τε ἐς τοὺς βαρβάρους, καὶ οὐδὲν ἄλλο
ὅτι μὴ τοὺς ἐπιχωρίους ἐχόντων θυρεοὺς ὀλίγα αὐτῶν
ἡμάρτανον, διώκοντάς τε ἀπέφευγον οὐ χαλεπῶς, καὶ
ἀναστρέφουσιν ἀπὸ τῆς διώξεως ἐπέκειντο αὖθις σπου-
7 δῇ. Καλλιεῦσι δὲ καίπερ δεινὰ οὕτω παθοῦσιν ὡς
μηδὲ τὰ ὑπὸ Ὁμήρου πεποιημένα ἔς τε Λαιστρυγόνας
καὶ ἐς Κύκλωπα ἐκτὸς εἶναι δοκεῖν ἀληθείας, ὅμως κα-
τὰ τὴν ἀξίαν ἐγίνετο ἡ ὑπὲρ αὐτῶν δίκη· ἀπὸ γὰρ τῶν
τεσσάρων μυριάδων προσόντων σφίσιν ὀκτακοσίων
ἐλάσσονες ἡμίσεων ἐς τὸ στρατόπεδον οἱ βάρβαροι τὸ
πρὸς Θερμοπύλαις ἀπεσώθησαν.
8 5. Περὶ δὲ τοὺς Ἕλληνας ἐν τῷ αὐτῷ χρόνῳ τοὺς
ἐν Θερμοπύλαις συνέβαινεν ἄλλα τοιαῦτα. ἀτραπός
ἐστι διὰ τοῦ ὄρους τῆς Οἴτης μία μὲν ἡ ὑπὲρ Τραχῖνος,
ἀπότομός τε τὰ πλείω καὶ ὄρθιος δεινῶς, ἑτέρα δὲ ἡ διὰ
τῆς Αἰνιάνων ὁδεῦσαι στρατῷ ῥάων, δι' ἧς καὶ Ὑδάρ-
νης ποτὲ Μῆδος κατὰ νώτου τοῖς περὶ Λεωνίδην ἐπέ-
9 θετο Ἕλλησι. Κατὰ ταύτην τὴν ὁδὸν ἐπηγγέλλοντο
ἄξειν Βρέννον οἱ Ἡρακλεῶται καὶ οἱ Αἰνιᾶνες, οὐ κα-
κονοίᾳ τῇ ἐς τὸ Ἑλληνικόν, τοὺς δὲ Κελτοὺς ἐκ τῆς χώ-
ρας σφίσιν ἀπελθεῖν μηδὲ ἐγκαθημένους φθείρειν περὶ
πολλοῦ ποιούμενοι. καί μοι φαίνεται Πίνδαρος ἀληθῆ*

καὶ ἐν τῷδε εἰπεῖν, ὃς πάντα τινὰ ὑπὸ κακῶν οἰκείων
ἔφη πιέζεσθαι, ἐπὶ δὲ ἀλλοτρίοις κήδεσιν ἀπήμαντον
εἶναι. Τότε δὲ ἡ τῶν Αἰνιάνων καὶ [ἡ] τῶν Ἡρακλεω- 10
τῶν ὑπόσχεσις ἐπήγειρε τὸν Βρέννον· καὶ Ἀκιχώριον
μὲν κατέλειπεν ἐπὶ τῇ στρατιᾷ, προειπών, ἐπειδὰν πε-
ριλάβωσιν αὐτοὶ τὸ Ἑλληνικόν, τηνικαῦτα καὶ ἐκείνοις
ἐφόδου καιρὸν εἶναι· ἀπολέξας δὲ αὐτὸς μυριάδας τοῦ
853 στρατοῦ τέσσαρας ἐποιεῖτο τὴν ὁδὸν διὰ τῆς ἀτραποῦ.
καί πως ἐπ' ἐκείνης συνέβαινε τῆς ἡμέρας τήν τε ὁμί- 11
χλην κατὰ τοῦ ὄρους καταχεῖσθαι πολλὴν καὶ ἀμαυρὸν
ὑπ' αὐτῆς εἶναι τὸν ἥλιον, ὥστε τῶν Φωκέων τοῖς
ἔχουσιν ἐπὶ τῇ ἀτραπῷ τὴν φρουρὰν οὐ πρότερον ἐπιόν-
τες οἱ βάρβαροι παρέσχοντο αἴσθησιν πρὶν ἢ πλησίον
ἐγεγόνεσαν. Ἐνταῦθα δὲ οἱ μὲν μάχης ἦρχον, οἱ δὲ
ἠμύνοντο ἐρρωμένως, τέλος δὲ ἐβιάσθησαν καὶ ἀνα-
χωροῦσιν ἀπὸ τῆς ἀτραποῦ· καταδραμόντες μέντοι παρὰ
τοὺς συμμάχους καὶ ἀπαγγείλαντες τὰ παρόντα ἔφθη-
σαν πρὶν ἢ ἀκριβῆ καὶ πανταχόθεν τελέαν γενέσθαι
τοῦ Ἑλληνικοῦ τὴν κύκλωσιν. ἔνθα δὴ οἱ ἐπὶ τῶν τρι- 12
ήρων Ἀθηναῖοι φθάνουσιν ὑπεξαγαγόντες ἐκ τῶν Θερ-
μοπυλῶν τὸ Ἑλληνικόν. καὶ οἱ μὲν κατὰ τὰς πατρίδας
ἕκαστοι τὰς αὑτῶν ἐσκεδάσθησαν.

XXIII. Ὁ δὲ Βρέννος οὐδένα ἔτι ἐπισχὼν χρόνον,
πρὶν ἢ τοὺς ἀπὸ τοῦ στρατοπέδου τοῦ σὺν τῷ Ἀκιχωρίῳ
παραγενέσθαι, τὴν ὁδὸν ἐποιεῖτο ἐπὶ τοὺς Δελφούς. οἱ
δὲ καταφεύγουσιν ὑπὸ δείματος ἐπὶ τὸ χρηστήριον· καὶ
ὁ θεὸς σφᾶς οὐκ εἴα φοβεῖσθαι, φυλάξειν δὲ αὐτὸς
ἐπηγγέλλετο τὰ ἑαυτοῦ. 2. Οἱ δὲ ἀφικόμενοι τιμωρεῖν 13
τῷ θεῷ τοσοίδε ἐγένοντο Ἑλλήνων· Φωκεῖς μὲν ἀπὸ
τῶν πόλεων πασῶν, ἐκ δὲ Ἀμφίσσης ὁπλῖται τετρακό-
σιοι, παρὰ δὲ Αἰτωλῶν ὀλίγοι μέν τινες αὐτίκα, ὅτε
ἐπύθοντο ἐς τὸ πρόσω χωροῦντας τοὺς βαρβάρους, δια-

κοσίους δὲ καὶ χιλίους Φιλόμηλος ἤγαγεν ὕστερον. τὸ δὲ μάλιστα ἐν ἀκμῇ τῶν Αἰτωλῶν ἐτράπετο ἐπὶ τὴν μετὰ τοῦ Ἀκιχωρίου στρατιάν, καὶ μάχης μὲν οὐκ ἦρχον, ὁδευόντων δὲ ἐπέκειντο ἀεὶ τοῖς ἐσχάτοις, ἁρπάζοντές τε τὰ τῶν σκευαγωγούντων καὶ αὐτοὺς τοὺς ἄνδρας φονεύοντες· καὶ ἡ πορεία κατὰ ταύτην μάλιστα ἐγίνετό σφισι βραδεῖα τὴν αἰτίαν. κατέλειπε δὲ καὶ περὶ τὴν Ἡράκλειαν ὁ Ἀκιχώριος μοῖραν, οἳ ἔμελλον φρουρήσειν τὰ ἐπὶ τοῦ στρατοπέδου χρήματα. 854

XXIII. 1. 3. Βρέννῳ δὲ καὶ τῇ στρατιᾷ τῶν τε Ἑλλήνων οἱ ἐς Δελφοὺς ἀθροισθέντες ἀντετάξαντο, καὶ τοῖς βαρβάροις ἀντεσήμαινε τὰ ἐκ τοῦ θεοῦ ταχύ τε καὶ ὧν ἴσμεν φανερώτατα. ἥ τε γὰρ γῆ πᾶσα, ὅσην ἐπεῖχεν ἡ τῶν Γαλατῶν στρατιά, βιαίως καὶ ἐπὶ πλεῖστον ἐσείετο τῆς
2 ἡμέρας, βρονταί τε καὶ κεραυνοὶ συνεχεῖς ἐγίνοντο· καὶ οἱ μὲν ἐξέπληττόν τε τοὺς Κελτοὺς καὶ δέχεσθαι τοῖς ὠσὶ τὰ παραγγελλόμενα ἐκώλυον, τὰ δὲ ἐκ τοῦ οὐρανοῦ οὐκ ἐς ὅντινα κατασκήψαι μόνον, ἀλλὰ καὶ τοὺς πλησίον καὶ αὐτοὺς ὁμοίως καὶ τὰ ὅπλα ἐξῆπτε. Τά τε τῶν ἡρώων τηνικαῦτά σφισιν ἐφάνη φάσματα, ὁ Ὑπέροχος καὶ ὁ Λαόδοκός τε καὶ Πύρρος· οἱ δὲ καὶ τέταρτον τὸν
3 Φύλακον ἐπιχώριον Δελφοῖς ἀπαριθμοῦσιν ἥρωα. Ἀπέθανον δὲ καὶ αὐτῶν παρὰ τὸ ἔργον τῶν Φωκέων ἄλλοι τε ἀριθμὸν πολλοὶ καὶ Ἀλεξίμαχος, ὃς ἐν τῇ μάχῃ ταύτῃ μάλιστα Ἑλλήνων ἡλικίας τε τῷ ἀκμάζοντι καὶ ἰσχύϊ σώματος καὶ τῷ ἐρρωμένῳ τοῦ θυμοῦ κατεχρήσατο ἐς τῶν βαρβάρων τὸν φόνον· Φωκεῖς δὲ εἰκόνα τοῦ Ἀλεξιμάχου ποιησάμενοι ἀπέστειλαν τῷ Ἀπόλλωνι ἐς Δελ-
4 φούς. Τοιούτοις μὲν οἱ βάρβαροι παρὰ πᾶσαν τὴν ἡμέραν παθήμασί τε καὶ ἐκπλήξει συνείχοντο· τὰ δὲ ἐν τῇ νυκτὶ πολλῷ σφᾶς ἔμελλεν ἀλγεινότερα ἐπιλήψεσθαι· ῥῖγός τε γὰρ ἰσχυρὸν καὶ νιφετὸς ἦν ὁμοῦ τῷ ῥίγει,

πέτραι τε ἀπολισθάνουσαι τοῦ Παρνασοῦ μεγάλαι καὶ
κρημνοὶ καταρρηγνύμενοι σκοπὸν τοὺς βαρβάρους εἶχον,
καὶ αὐτοῖς οὐ κατὰ ἕνα ἢ δύο, ἀλλὰ κατὰ τριάκοντα
καὶ ἔτι πλείοσιν, ὡς ἕκαστοι ἐν τῷ αὐτῷ φρουροῦντες
ἢ καὶ ἀναπαυόμενοι τύχοιεν, ἀθρόοις ἡ ἀπώλεια ἐγένετο
ὑπὸ τῆς ἐμβολῆς τῶν κρημνῶν. 4. Ἅμα δὲ τῷ ἡλίῳ 5
ἀνίσχοντι οἱ Ἕλληνες ἐπῄεσάν σφισιν ἐκ τῶν Δελφῶν,
οἱ μὲν ἄλλοι τὴν ἐπὶ τὸ στράτευμα εὐθεῖαν, οἱ Φωκεῖς
δὲ ἅτε καὶ μᾶλλον ἔχοντες τῶν χωρίων ἐμπείρως κατέ-
855 βησάν τε διὰ τῆς χιόνος κατὰ τὰ ἀπότομα τοῦ Παρνα-
σοῦ, καὶ ἔλαθον κατὰ νώτου γενόμενοι τοῖς Κελτοῖς,
ἠκόντιζόν τε ἐς αὐτοὺς καὶ ἐτόξευον σὺν οὐδενὶ ἀπὸ
τῶν βαρβάρων δείματι. Οἱ δὲ ἀρχομένης μὲν τῆς μάχης, 6
καὶ μάλιστα οἱ περὶ τὸν Βρέννον, οὗτοι δὲ μήκιστοί τε
ἦσαν καὶ ἀλκιμώτατοι τῶν Γαλατῶν, τότε μὲν ὑπὸ προ-
θυμίας ἔτι ἀντεῖχον βαλλόμενοί τε πανταχόθεν καὶ οὐχ
ἧσσον ὑπὸ τοῦ ῥίγους, μάλιστα οἱ τραυματίαι, ταλαι-
πωροῦντες· ὡς δὲ καὶ ὁ Βρέννος ἔλαβε τραύματα, ἐκεῖ-
νον μὲν λιποψυχήσαντα ἐκκομίζουσιν ἐκ τῆς μάχης, οἱ
δὲ βάρβαροι πανταχόθεν σφίσιν ἐγκειμένων τῶν Ἑλλή-
νων ὑπέφευγόν τε ἄκοντες καὶ ἑαυτῶν τοὺς ἀδυνάτους
διὰ τραύματα ἕπεσθαι καὶ ἀρρωστίαν φονεύουσι.

5. Καὶ οἱ μὲν ἐστρατοπεδεύσαντο ἔνθα ἡ νὺξ κατε- 7
λάμβανεν ἀναχωροῦντας· ἐν δὲ τῇ νυκτὶ φόβος σφίσιν
ἐμπίπτει Πανικός· τὰ γὰρ ἀπὸ αἰτίας οὐδεμιᾶς δείματα
ἐκ τούτου φασὶ γίνεσθαι. ἐνέπεσε μὲν ἐς τὸ στράτευμα
ἡ ταραχὴ περὶ βαθεῖαν τὴν ἑσπέραν, καὶ ὀλίγοι τὸ κατ'
ἀρχὰς ἐγένοντο οἱ παραχθέντες ἐκ τοῦ νοῦ, ἐδόξαζόν τε
οὗτοι κτύπου τε ἐπελαυνομένων ἵππων καὶ ἐφόδου πο-
λεμίων (αἰσθάνεσθαι)· μετὰ δὲ οὐ πολὺ καὶ ἐς ἅπαντας
διέδρα ἡ ἄνοια. ἀναλαβόντες οὖν τὰ ὅπλα καὶ διαστάν- 8
τες ἔκτεινόν τε ἀλλήλους καὶ ἀνὰ μέρος ἐκτείνοντο,

οὔτε γλώσσης τῆς ἐπιχωρίου συνιέντες, οὔτε τὰς ἀλλήλων μορφὰς οὐδὲ τῶν θυρεῶν καθορῶντες τὰ σχήματα· ἀλλὰ ἀμφοτέραις ταῖς τάξεσιν ὁμοίως ὑπὸ τῆς ἐν τῷ παρόντι ἀνοίας οἵ τε ἄνδρες οἱ ἀνθεστηκότες εἶναί σφισιν Ἕλληνες καὶ αὐτοὶ καὶ τὰ ὅπλα ἐφαίνοντο καὶ Ἑλλάδα ἀφιέναι τὴν φωνήν, ἥ τε ἐκ τοῦ θεοῦ μανία πλεῖστον ἐξειργάσατο ὑπ' ἀλλήλων τοῖς Γαλάταις τὸν φόνον.

9 *Τῶν δὲ Φωκέων ὅσοι κατελείποντο κατὰ τοὺς ἀγροὺς* 856
φυλακῆς βοσκημάτων ἕνεκα, πρῶτοί τε ἤσθοντο καὶ ἀπαγγέλλουσι τοῖς Ἕλλησι τὰ ἐν τῇ νυκτὶ κατασχόντα τοὺς βαρβάρους· ἀναθαρσήσαντες δὲ οἱ Φωκεῖς προθυμότερον ἔτι ἐνέκειντο τοῖς Κελτοῖς, διὰ φυλακῆς τε πλείονος τὰς ἐπαύλεις ἐποιοῦντο, καὶ τὰ ἐς βίου χρείαν οὐ περιεώρων σφᾶς ἐκ τῆς χώρας ἀμαχεὶ λαμβάνοντας· ἐγεγόνει τε αὐτίκα τοῖς Γαλάταις διὰ παντὸς τοῦ στρατοῦ καὶ σίτου καὶ ὅσα ἐς τροφὴν ἄλλα ἔνδεια ἰσχυρά.

10 6. *Πλῆθος δὲ τὸ ἐν τῇ Φωκίδι αὐτῶν ἀναλωθέν, ὀλίγῳ μὲν ἑξακισχιλίων ἐλάσσονες οἱ ἐν ταῖς μάχαις, οἱ δὲ ἐν τῇ χειμερίῳ διαφθαρέντες νυκτὶ καὶ ὕστερον οἱ ἐν τῷ Πανικῷ δείματι ἐγένοντο ὑπὲρ τοὺς μυρίους, τοσοῦτοι δὲ ἄλλοι καὶ ὑπὸ τοῦ λιμοῦ.*

11 7. *Ἀθηναίων δὲ ἄνδρες ἐπισκεψόμενοι μὲν ἀφίκοντο τὰ ἐν Δελφοῖς· τότε δὲ ἐπανήκοντες τά τε ἄλλα ἤγγελλον ὁποῖα συμβεβήκει τοῖς βαρβάροις, καὶ τὰ ἐκ τοῦ θεοῦ κατειληφότα. οἱ δὲ αὐτοί τε ἐξεστρατεύοντο, καὶ ὡς τὴν Βοιωτίαν διώδευον, οἱ Βοιωτοί σφισιν ἀνεμίχθησαν· οὕτω δὴ ἀμφότεροι τοῖς βαρβάροις ἐπακολουθοῦν-*
12 *τες ἐλόχων τε καὶ ἔκτεινον τοὺς ἀεὶ ἐσχάτους. τοῖς δὲ φεύγουσιν ὁμοῦ τῷ Βρέννῳ καὶ οἱ περὶ τὸν Ἀκιχώριον ἐν τῇ προτέρᾳ νυκτὶ ἀνεμίχθησαν· βραδεῖαν γὰρ τὴν πορείαν ἐποίησάν σφισιν οἱ Αἰτωλοί, τοῖς τε ἀκοντίοις ἐς αὐτοὺς ἀφειδέστερον καὶ ὅτῳ τύχοιεν καὶ ἄλλῳ χρώ-*

μενοι, ὥστε ἐς τὸ στρατόπεδον τὸ πρὸς τῇ Ἡρακλείᾳ μοῖρα οὐ πολλὴ διέφυγεν ἐξ αὐτῶν. 8. Τῷ δὲ Βρέννῳ κατὰ μὲν τὰ τραύματα ἐλείπετο ἔτι σωτηρίας ἐλπίς· τῶν δὲ πολιτῶν φόβῳ φασὶν αὐτὸν καὶ τῇ αἰδοῖ πλέον, ἅτε τῶν ἐν τῇ Ἑλλάδι κακῶν αἴτιον, ἑκουσίως ἀφεῖναι τὴν ψυχὴν ἀκράτου πίνοντα τοῦ οἴνου. Καὶ τὸ ἀπὸ τούτου 13
δὲ οἱ βάρβαροι μέχρι μὲν τοῦ Σπερχειοῦ χαλεπῶς ἐκομίσθησαν, τῶν Αἰτωλῶν βιαίως σφίσιν ἐγκειμένων· ὡς δὲ ἀφίκοντο ἐπὶ τὸν Σπερχειόν, [οἱ] ἐντεῦθεν ὑποκαθήμενοι Θεσσαλοὶ καὶ οἱ Μαλιεῖς ἐνεφορήθησαν οὕτω σφῶν ὡς μηδένα οἴκαδε ἀποσωθῆναι.

9. Ἐγένετο δὲ τῶν Κελτῶν στρατεία τε ἐπὶ τὴν Ἑλ- 14
λάδα καὶ ἡ ἀπώλεια Ἀναξικράτους Ἀθήνησιν ἄρχοντος,
857 δευτέρῳ δὲ ἔτει τῆς πέμπτης ὀλυμπιάδος ἐπὶ εἴκοσι καὶ ἑκατόν, ἣν Λάδας Αἰγιεὺς ἐνίκα στάδιον· τῷ δὲ ἔτει τῷ ἐφεξῆς Δημοκλέους Ἀθήνησιν ἄρχοντος, οἱ δὲ αὖθις ἐς τὴν Ἀσίαν διαβαίνουσιν οἱ Κελτοί. ταῦτα μὲν δὴ οὕτω γενόμενα ἴστω τις.

XXIV. Ἐν δὲ τῷ προνάῳ τῷ ἐν Δελφοῖς γεγραμμένα ἐστὶν ὠφελήματα ἀνθρώποις ἐς βίον· ἐγράφη δὲ ὑπὸ ἀνδρῶν οὓς γενέσθαι σοφοὺς λέγουσιν Ἕλληνες. οὗτοι δὲ ἦσαν ἐκ μὲν Ἰωνίας Θαλῆς τε Μιλήσιος καὶ Πριηνεὺς Βίας, Αἰολέων δὲ τῶν ἐν Λέσβῳ Πιττακὸς Μιτυληναῖος, ἐκ δὲ Δωριέων τῶν ἐν τῇ Ἀσίᾳ Κλεόβουλος Λίνδιος, καὶ Ἀθηναῖός τε Σόλων καὶ Σπαρτιάτης Χίλων· τὸν δὲ ἕβδομον Πλάτων ὁ Ἀρίστωνος ἀντὶ Περιάνδρου τοῦ Κυψέλου Μύσωνα κατείλοχε τὸν Χηνέα· κώμη δὲ ἐν τῇ Οἴτῃ τῷ ὄρει ᾠκοῦντο αἱ Χῆναι. οὗτοι οὖν οἱ ἄνδρες ἀφικόμενοι ἐς Δελφοὺς ἀνέθεσαν τῷ Ἀπόλλωνι τὰ ᾀδόμενα Γνῶθι σαυτὸν καὶ Μηδὲν ἄγαν. οὗτοι μὲν δὴ ἐνταῦθα ἔγραψαν τὰ εἰρημένα.

2. Θεάσαιο δ' ἂν καὶ εἰκόνα Ὁμήρου χαλκῆν ἐπὶ 2

στήλῃ, καὶ ἐπιλέξει τὸ μάντευμα ὃ γενέσθαι τῷ Ὁμήρῳ λέγουσιν·

Ὄλβιε καὶ δύσδαιμον, ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι,
πατρίδα δίζηαι. μητρὶς δέ τοι, οὐ πατρίς ἐστιν.
ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται. ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

3. Δεικνύουσι δὲ οἱ Ἰῆται καὶ Ὁμήρου μνῆμα ἐν τῇ
νήσῳ καὶ ἑτέρωθι Κλυμένης, τὴν Κλυμένην μητέρα 858
3 εἶναι τοῦ Ὁμήρου λέγοντες. Κύπριοι δέ, οἰκειοῦνται
γὰρ δὴ καὶ οὗτοι Ὅμηρον, Θεμιστώ τε αὐτῷ μητέρα εἶναι τῶν τινὰ ἐπιχωρίων γυναικῶν λέγουσι, καὶ ὑπὸ Εὔκλου προθεσπισθῆναι τὰ ἐς τὴν γένεσιν τὴν Ὁμήρου φασὶν ἐν τοῖσδε·

Καὶ τότ' ἐν εἰναλίῃ Κύπρῳ μέγας ἔσσετ' ἀοιδός,
ὅν τε Θεμιστὼ τέξει ἐπ' ἀγροῦ δῖα γυναικῶν,
νόσφι πολυκτεάνοιο πολύκλειτον Σαλαμῖνος.
Κύπρον δὲ προλιπὼν διερός θ' ὑπὸ κύμασιν ἀρθείς,
Ἑλλάδος εὐρυχόρου μοῦνος κακὰ πρῶτος ἀείσας,
ἔσσεται ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα.

Ταῦτα ἡμεῖς ἀκούσαντές τε καὶ ἐπιλεξάμενοι τοὺς χρησμούς, ἰδίᾳ δὲ οὐδένα αὐτῶν λόγον οὔτε ἐς πατρίδα οὔτε περὶ ἡλικίας Ὁμήρου γράφομεν.

4 4. Ἐν δὲ τῷ ναῷ πεποίηται μὲν Ποσειδῶνος βωμός,
ὅτι τὸ μαντεῖον τὸ ἀρχαιότατον κτῆμα ἦν καὶ Ποσειδῶνος, ἕστηκε δὲ καὶ ἀγάλματα Μοιρῶν δύο· ἀντὶ δὲ αὐτῶν τῆς τρίτης Ζεύς τε Μοιραγέτης καὶ Ἀπόλλων σφίσι παρέστηκε Μοιραγέτης. Θεάσαιο δ' ἂν ἐνταῦθα καὶ ἑστίαν, ἐφ' ᾗ Νεοπτόλεμον τὸν Ἀχιλλέως ὁ ἱερεὺς ἀπέκτεινε τοῦ Ἀπόλλωνος· τὰ δὲ ἐς τοῦ Νεοπτολέμου τὴν
5 τελευτήν ἐστιν ἡμῖν ἑτέρωθι εἰρημένα. Ἀνάκειται δὲ
οὐ πόρρω τῆς ἑστίας θρόνος Πινδάρου· σιδήρου μέν ἐστιν ὁ θρόνος, ἐπὶ δὲ αὐτῷ φασίν, ὁπότε ἀφίκοιτο ἐς

Δελφούς, καθέζεσθαί τε τὸν Πίνδαρον καὶ ᾄδειν ὁπόσα τῶν ᾀσμάτων ἐς Ἀπόλλωνά ἐστιν. ἐς δὲ τοῦ ναοῦ τὸ ἐσωτάτω παρίασί τε ἐς αὐτὸ ὀλίγοι, καὶ χρυσοῦν Ἀπόλλωνος ἕτερον ἄγαλμα ἀνάκειται.

5. *Ἐξελθόντι δὲ τοῦ ναοῦ καὶ τραπέντι ἐς ἀριστερὰ* 6
περίβολός ἐστι καὶ Νεοπτολέμου τοῦ Ἀχιλλέως ἐν αὐτῷ
859 *τάφος· καί οἱ κατὰ ἔτος ἐναγίζουσιν οἱ Δελφοί. Ἐπαναβάντι δὲ ἀπὸ τοῦ μνήματος λίθος ἐστὶν οὐ μέγας· τούτου καὶ ἔλαιον ὁσημέραι καταχέουσι καὶ κατὰ ἑορτὴν ἑκάστην ἔρια ἐπιτιθέασι τὰ ἀργά· ἔτι δὲ καὶ δόξα ἐς αὐτόν, δοθῆναι Κρόνῳ τὸν λίθον ἀντὶ [τοῦ] παιδός, καὶ ὡς αὖθις ἤμεσεν αὐτὸν ὁ Κρόνος.*

Ἰοῦσι δὲ ὡς ἐπὶ τὸν ναὸν αὖθις μετὰ τοῦ λίθου τὴν 7
θέαν ἔστιν ἡ Κασσοτὶς καλουμένη πηγή· τεῖχος δὲ οὐ μέγα ἐπ' αὐτῇ, καὶ ἡ ἄνοδος διὰ τοῦ τείχους ἐστὶν ἐπὶ τὴν πηγήν. ταύτης τῆς Κασσοτίδος δύεσθαί τε κατὰ τῆς γῆς λέγουσι τὸ ὕδωρ καὶ ἐν τῷ ἀδύτῳ τοῦ θεοῦ τὰς γυναῖκας μαντικὰς ποιεῖν· τὴν δὲ τῇ κρήνῃ δεδωκυῖαν τὸ ὄνομα τῶν περὶ τὸν Παρνασὸν νυμφῶν φασὶν εἶναι.

XXV. *Ὑπὲρ δὲ τὴν Κασσοτίδα ἐστὶν οἴκημα γραφὰς ἔχον τῶν Πολυγνώτου, ἀνάθημα μὲν Κνιδίων, καλεῖται δὲ ὑπὸ Δελφῶν Λέσχη, ὅτι ἐνταῦθα συνιόντες τὸ ἀρχαῖον τά τε σπουδαιότερα διελέγοντο καὶ ὁπόσα μυθώδη. τοιαῦτα εἶναι πολλὰ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα Ὅμηρος ἐν Μελανθοῦς λοιδορίᾳ πρὸς Ὀδυσσέα ἐδήλωσεν·*

Οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών
ἠέ που ἐς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις.

2. *Ἐς τοῦτο οὖν ἐσελθόντι τὸ οἴκημα τὸ μὲν σύμπαν τὸ* 2
ἐν δεξιᾷ τῆς γραφῆς Ἴλιός τέ ἐστιν ἑαλωκυῖα καὶ ἀπόπλους ὁ Ἑλλήνων. Μενελάῳ δὲ τὰ ἐς τὴν ἀναγωγὴν εὐτρεπίζουσι, καὶ ναῦς τε γεγραμμένη καὶ ἄνδρες ἐντὸς

ναῦται καὶ ἀναμὶξ παῖδες· ἐν μέσῃ δέ ἐστι τῇ νηῒ ὁ
κυβερνήτης Φρόντις κοντοὺς δύο ἔχων. Ὅμηρος δὲ Νέ-
στορα ἐποίησεν ἄλλα τε διαλεγόμενον πρὸς Τηλέμαχον
καὶ περὶ τοῦ Φρόντιδος, ὡς πατρὸς μὲν Ὀνήτορος, Με-
νελάου δὲ ἦν κυβερνήτης, δοκιμώτατος δὲ ἐς τὴν τέχ-
νην, καὶ ὡς Σούνιον ἤδη τὸ ἐν τῇ Ἀττικῇ παραπλέοντα 860
ἐπέλαβεν αὐτὸν τὸ χρεών· καὶ τέως ὁμοῦ Νέστορι ὁ
Μενέλαος πλέων, τότε κατὰ αἰτίαν ἀπελείφθη ταύτην,
ἵνα μνήματος καὶ ὅσα ἐπὶ νεκροῖς ἄλλα ἀξιώσειε τὸν
3 Φρόντιν. Οὗτός τε οὖν ἐν τοῦ Πολυγνώτου τῇ γραφῇ,
καὶ ὑπ' αὐτὸν Ἰθαιμένης τέ τις κομίζων ἐσθῆτα καὶ
Ἐχοίαξ διὰ τῆς ἀποβάθρας κατιών ἐστιν, ὑδρίαν ἔχων
χαλκῆν. Καταλύουσι δὲ καὶ τοῦ Μενελάου τὴν σκηνὴν
οὐ πόρρω τῆς νεὼς οὖσαν Πολίτης καὶ Στρόφιός τε καὶ
Ἄλφιος. καὶ ἄλλην διαλύων σκηνήν ἐστιν Ἀμφίαλος.
ὑπὸ δὲ τοῦ Ἀμφιάλου τοῖς ποσὶ κάθηται παῖς· ἐπί-
γραμμα δὲ οὐκ ἔστι τῷ παιδί, γένεια δὲ μόνῳ τῷ Φρόν-
τιδι. καὶ μόνου τούτου τὸ ὄνομα ἐκ τῆς ἐς Ὀδυσσέα
ποιήσεως ἔμαθε· τῶν δὲ ἄλλων ἐμοὶ δοκεῖν τὰ ὀνόματα
4 συνέθηκεν αὐτὸς ὁ Πολύγνωτος. Βρισηΐς δὲ ἑστῶσα
καὶ Διομήδη τε ὑπὲρ αὐτῆς καὶ Ἶφις πρὸ ἀμφοτέρων
ἐοίκασιν ἀνασκοπούμεναι τὸ Ἑλένης εἶδος. κάθηται δὲ
αὐτή τε ἡ Ἑλένη καὶ Εὐρυβάτης πλησίον· τὸν Ὀδυσσέως
εἶναι κήρυκα εἰκάζομεν, οὐ μὴν εἶχεν ἤδη γένεια. θε-
ράπαινα δὲ Ἠλέκτρα καὶ Πανθαλίς, ἡ μὲν τῇ Ἑλένῃ
παρέστηκεν, ἡ δὲ ὑποδεῖ τὴν δέσποιναν ἡ Ἠλέκτρα·
διάφορα δὲ καὶ ταῦτα τὰ ὀνόματα ἢ Ὅμηρος ἔθετο ἐν
Ἰλιάδι, ᾗ καὶ Ἑλένην καὶ ἰούσας ὁμοῦ τῇ Ἑλένῃ τὰς
5 δούλας ἐπὶ τὸ τεῖχος πεποίηκε. 3. Κάθηται δὲ ὑπὲρ τὴν
Ἑλένην πορφυροῦν ἀνὴρ ἀμπεχόμενος ἱμάτιον καὶ ἐς τὰ
μάλιστα κατηφής· Ἕλενον εἶναι τεκμήραιο ἂν τὸν Πρι-
άμου καὶ πρὶν ἢ [καὶ] τὸ ἐπίγραμμα ἐπιλέξασθαι. πλη-

σίον δὲ τοῦ Ἑλένου Μέγης ἐστί· τέτρωται δὲ τὸν βραχίονα ὁ Μέγης, καθὰ δὴ καὶ Λέσχεως ὁ Αἰσχυλίνου Πυρραῖος ἐν Ἰλίου πέρσιδι ἐποίησε· τρωθῆναι δὲ ὑπὸ τὴν μάχην τοῦτον, ἣν ἐν τῇ νυκτὶ ἐμαχέσαντο οἱ Τρῶες,
861 ὑπὸ Ἀδμήτου φησὶ τοῦ Αὐγείου. Γέγραπται δὲ καὶ 6
Λυκομήδης παρὰ τὸν Μέγητα ὁ Κρέοντος, ἔχων τραῦμα ἐπὶ τῷ καρπῷ· Λέσχεως οὕτω φησὶν αὐτὸν ὑπὸ Ἀγήνορος τρωθῆναι. δῆλα οὖν ὡς ἄλλως γε οὐκ ἂν ὁ Πολύγνωτος ἔγραψεν οὕτω τὰ ἕλκη σφίσιν, εἰ μὴ ἐπελέξατο τὴν ποίησιν τοῦ Λέσχεω· προσεπέθηκε μέντοι καὶ σφυροῦ τῷ Λυκομήδει καὶ τρίτον τραῦμα ἐν τῇ κεφαλῇ. τέτρωται δὲ καὶ Εὐρύαλος ὁ Μηκιστέως κεφαλήν τε καὶ ἐπὶ τῇ χειρὶ τὸν καρπόν. Οὗτοι μὲν δὴ ἀνωτέρω τῆς 7
Ἑλένης εἰσὶν ἐν τῇ γραφῇ· ἐφεξῆς δὲ τῇ Ἑλένῃ μήτηρ τε ἡ Θησέως ἐν χρῷ κεκαρμένη καὶ παίδων τῶν Θησέως Δημοφῶν ἐστὶ φροντίζων, ὅσα γε ἀπὸ τοῦ σχήματος, εἰ ἀνασώσασθαί οἱ τὴν Αἴθραν ἐνέσται. Ἀργεῖοι δὲ καὶ ἐκ τῆς Σίνιδος θυγατρὸς γενέσθαι Θησεῖ Μελάνιππον λέγουσι, καὶ ὡς ἀνέλοιτο ὁ Μελάνιππος δρόμου νίκην, ὅτε οἱ Ἐπίγονοι καλούμενοι Νέμεια δεύτεροι οὗτοι ἔθεσαν μετὰ Ἄδραστον. Λέσχεως δὲ ἐς τὴν Αἴθραν ἐποίη- 8
σεν, ἡνίκα ἡλίσκετο Ἴλιον, ὑπεξελθοῦσαν ἐς τὸ στρατόπεδον αὐτὴν ἀφικέσθαι τὸ Ἑλλήνων καὶ ὑπὸ τῶν παίδων γνωρισθῆναι τῶν Θησέως, καὶ ὡς παρ' Ἀγαμέμνονος αἰτῆσαι Δημοφῶν αὐτήν· ὁ δὲ ἐκείνῳ μὲν ἐθέλειν χαρίζεσθαι, ποιήσειν δὲ οὐ πρότερον ἔφη πρὶν Ἑλένην πεῖσαι· ἀποστείλαντι δὲ αὐτῷ κήρυκα ἔδωκεν Ἑλένη τὴν χάριν. ἔοικεν οὖν ὁ Εὐρυβάτης ὁ ἐν τῇ γραφῇ ἀφῖχθαί τε ὡς τὴν Ἑλένην τῆς Αἴθρας ἕνεκα, καὶ τὰ ἐντεταλμένα ὑπὸ τοῦ Ἀγαμέμνονος ἀπαγγέλλειν.
4. Γυναῖκες δὲ αἱ Τρῳάδες αἰχμαλώτοις τε ἤδη καὶ ὀδυ- 9
ρομέναις ἐοίκασι. γέγραπται μὲν Ἀνδρομάχη, καὶ ὁ

παῖς οἱ προέστηκεν ἑλόμενος τοῦ μαστοῦ· τούτῳ Λέσχεως ῥιφέντι ἀπὸ τοῦ πύργου συμβῆναι λέγει τὴν τελευτήν, οὐ μὴν ὑπὸ δόγματός γε Ἑλλήνων, ἀλλ' ἰδίᾳ Νεοπτόλεμον αὐτόχειρα ἐθελῆσαι γενέσθαι. Γέγραπται δὲ Μηδεσικάστη, θυγατέρων μὲν Πριάμου καὶ αὕτη τῶν νόθων, ἐξῳκίσθαι δὲ ἐς Πήδαιον πόλιν φησὶν αὐτὴν Ὅμηρος Ἰμβρίῳ Μέντορος [παιδὶ] ἀνδρὶ συνοικοῦ- 862
10 *σαν. Ἡ μὲν δὴ Ἀνδρομάχη καὶ ἡ Μηδεσικάστη καλύμματά εἰσιν ἐπικείμεναι, Πολυξένη δὲ κατὰ τὰ εἰθισμένα παρθένοις ἀναπέπλεκται τὰς ἐν τῇ κεφαλῇ τρίχας· ἀποθανεῖν δὲ αὐτὴν ἐπὶ τῷ Ἀχιλλέως μνήματι ποιηταί τε ᾄδουσι, καὶ γραφὰς ἔν τε Ἀθήναις καὶ Περγάμῳ τῇ ὑπὲρ Καΐκου θεασάμενος οἶδα ἐχούσας ἐς τῆς Πολυξένης*
11 *τὰ παθήματα. Ἔγραψε δὲ καὶ Νέστορα τῇ κεφαλῇ τε ἐπικείμενον πῖλον καὶ ἐν τῇ χειρὶ δόρυ ἔχοντα· καὶ ἵππος κονίεσθαι μέλλοντος παρέχεται σχῆμα. ἄχρι μὲν δὴ τοῦ ἵππου αἰγιαλός τε καὶ ἐν αὐτῷ ψηφῖδες ὑποφαίνονται, τὸ δὲ ἐντεῦθεν οὐκέτι ἔοικεν εἶναι θάλασσα.*

XXVI. *Τῶν δὲ γυναικῶν τῶν μεταξὺ τῆς τε Αἴθρας καὶ Νέστορός εἰσιν ἄνωθεν τούτων αἰχμάλωτοι καὶ αὗται Κλυμένη τε καὶ Κρέουσα καὶ Ἀριστομάχη καὶ Ξενοδίκη. Κλυμένην μὲν οὖν Στησίχορος ἐν Ἰλίου πέρσιδι κατηρίθμηκεν ἐν ταῖς αἰχμαλώτοις· ὡσαύτως δὲ καὶ Ἀριστομάχην ἐποίησεν ἐν Νόστοις θυγατέρα μὲν Πριάμου Κριτολάου δὲ γυναῖκα εἶναι τοῦ Ἱκετάονος· Ξενοδίκης δὲ μνημονεύσαντα οὐκ οἶδα οὔτε ποιητὴν οὔτε ὅσοι λόγων συνθέται· ἐπὶ δὲ τῇ Κρεούσῃ λέγουσιν ὡς ἡ θεῶν μήτηρ καὶ Ἀφροδίτη δουλείας ἀπὸ Ἑλλήνων αὐτὴν ἐρρύσαντο· εἶναι γὰρ δὴ καὶ Αἰνείου τὴν Κρέουσαν γυναῖκα· Λέσχεως δὲ καὶ ἔπη τὰ Κύπρια διδόα-*
2 *σιν Εὐρυδίκην γυναῖκα Αἰνείᾳ. Γεγραμμέναι δὲ ἐπὶ κλίνης ὑπὲρ ταύτας Δηϊνόμη τε καὶ Μητιόχη, καὶ Πει-*

σίς ἐστι καὶ Κλεοδίκη· τούτων ἐν Ἰλιάδι καλουμένῃ μικρᾷ μόνης ἐστὶ τὸ ὄνομα τῆς Δηϊνόμης, τῶν δ' ἄλλων ἐμοὶ δοκεῖν συνέθηκε τὰ ὀνόματα ὁ Πολύγνωτος. Γέγραπται δὲ καὶ Ἐπειὸς γυμνὸς καταβάλλων ἐς ἔδαφος τῶν Τρώων τὸ τεῖχος· ἀνέχει δὲ ὑπὲρ αὐτὸ ἡ κεφαλὴ τοῦ ἵππου μόνη τοῦ δουρείου. Πολυποίτης δὲ ὁ Πειρίθου δεδεμένος τὴν κεφαλὴν ταινίᾳ, καὶ παρ' αὐτὸν Ἀκάμας ἐστὶν ὁ Θησέως ἐπικείμενος τῇ κεφαλῇ κράνος· λόφος δὲ ἐπὶ τῷ κράνει πεποίηται. καὶ Ὀδυσσεύς τέ 3
ἐστιν ἐνδεδυκὼς θώρακα· [Ὀδυσσεύς.] Αἴας δὲ Ὀϊλέως ἔχων ἀσπίδα βωμῷ προσέστηκεν, ὀμνύμενος ὑπὲρ τοῦ
863 ἐς Κασσάνδραν τολμήματος· ἡ δὲ κάθηταί τε ἡ Κασσάνδρα χαμαὶ καὶ τὸ ἄγαλμα ἔχει τῆς Ἀθηνᾶς, εἴγε δὴ ἀνέτρεψεν ἐκ βάθρων τὸ ξόανον, ὅτε ἀπὸ τῆς ἱκεσίας αὐτὴν ὁ Αἴας ἀφεῖλκε. γεγραμμένοι δὲ καὶ οἱ παῖδές εἰσιν οἱ Ἀτρέως, ἐπικείμενοι καὶ οὗτοι κράνη· Μενελάῳ δὲ ἀσπίδα ἔχοντι δράκων ἐπὶ τῇ ἀσπίδι ἐστὶν εἰργασμένος τοῦ ἐν Αὐλίδι φανέντος ἐπὶ τοῖς ἱερείοις τέρατος ἕνεκα· ἐπὶ τούτοις τὸν Αἴαντα ἐξορκοῦσιν. Κατ' εὐθὺ δὲ τοῦ 4
ἵππου τοῦ παρὰ τῷ Νέστορι Νεοπτόλεμος ἀπεκτονώς ἐστιν Ἔλασον, ὅστις δὴ ὁ Ἔλασος. οὗτος μὲν δὴ ὀλίγον ἐμπνέοντι ἔτι εἴκασται· Ἀστύνοον δέ, οὗ δὴ ἐποιήσατο καὶ Λέσχεως μνήμην, πεπτωκότα ἐς γόνυ ὁ Νεοπτόλεμος ξίφει παίει. Νεοπτόλεμον δὲ μόνον τοῦ Ἑλληνικοῦ φονεύοντα ἔτι τοὺς Τρῶας ἐποίησεν ὁ Πολύγνωτος, ὅτι ὑπὲρ τοῦ Νεοπτολέμου τὸν τάφον ἡ γραφὴ πᾶσα ἔμελλεν αὐτῷ γενήσεσθαι. Τοῦ δὲ Ἀχιλλέως τῷ παιδὶ Ὅμηρος μὲν Νεοπτόλεμον ὄνομα ἐν ἁπάσῃ οἱ τίθεται τῇ ποιήσει· τὰ δὲ Κύπρια ἔπη φησὶν ὑπὸ Λυκομήδους μὲν Πύρρον, Νεοπτόλεμον δὲ ὄνομα ὑπὸ Φοίνικος αὐτῷ τεθῆναι, ὅτι Ἀχιλλεὺς ἡλικίᾳ ἔτι νέος πολεμεῖν ἤρξατο.
2. Γέγραπται δὲ βωμός τε καὶ ὑπὸ δείματος παῖς μικρὸς 5

ἐχόμενος τοῦ βωμοῦ· κεῖται δὲ καὶ θώραξ ἐπὶ τῷ βωμῷ
χαλκοῦς. κατὰ δὴ ἐμὲ σπάνιον τῶν θωράκων τὸ σχῆμα
ἦν τούτων, τὸ δὲ ἀρχαῖον ἐφόρουν αὐτούς. δύο ἦν
χαλκᾶ ποιήματα, τὸ μὲν στέρνῳ καὶ τοῖς ἀμφὶ τὴν γα-
στέρα ἁρμόζον, τὸ δὲ ὡς νώτου σκέπην εἶναι· γύαλα
ἐκαλοῦντο· τὸ μὲν ἔμπροσθεν τὸ δὲ ὄπισθεν προσῆγον,
6 ἔπειτα περόναις συνῆπτον πρὸς ἄλληλα. Ἀσφάλειαν
δὲ ἀποχρῶσαν ἐδόκει παρέχεσθαι καὶ ἀσπίδος χωρίς·
ἐπὶ τούτῳ καὶ Ὅμηρος Φόρκυνα τὸν Φρύγα οὐκ ἔχοντα
ἀσπίδα ἐποίησεν, ὅτι αὐτῷ γυαλοθώραξ ἦν. Ἐγὼ δὲ
γραφῇ μεμιμημένον τοῦτον ἐθεασάμην ὑπὸ τοῦ Πολυ-
γνώτου, καὶ ἐν Ἀρτέμιδος τῆς Ἐφεσίας Καλλιφῶν ὁ 864
Σάμιος Πατρόκλῳ τοῦ θώρακος τὰ γύαλα ἁρμοζούσας
7 ἔγραψε γυναῖκας. 3. Τοῦ βωμοῦ δὲ ἐπέκεινα Λαοδίκην
ἔγραψεν ἑστῶσαν. ταύτην οὔτε ὑπὸ ποιητοῦ κατειλε-
γμένην ἐν ταῖς αἰχμαλώτοις ταῖς Τρῳάσιν εὕρισκον,
οὔτε ἄλλως ἐφαίνετο ἔχειν μοι τὸ εἰκὸς ἢ ἀφεθῆναι τὴν
Λαοδίκην ὑπὸ Ἑλλήνων. Ὅμηρος μέν γε ἐδήλωσεν ἐν
Ἰλιάδι Μενελάου καὶ Ὀδυσσέως ξενίαν παρὰ Ἀντήνορι,
καὶ ὡς Ἑλικάονι ἡ Λαοδίκη συνοικοίη τῷ Ἀντήνορος·
8 Λέσχεως δὲ τετρωμένον τὸν Ἑλικάονα ἐν τῇ νυκτομαχίᾳ
γνωρισθῆναί τε ὑπὸ Ὀδυσσέως καὶ ἐξαχθῆναι ζῶντα ἐκ
τῆς μάχης φησίν. Ἕποιτο ἂν οὖν τῇ Μενελάου καὶ
Ὀδυσσέως κηδεμονίᾳ περὶ οἶκον τὸν Ἀντήνορος μηδὲ
ἐς τοῦ Ἑλικάονος τὴν γυναῖκα ἔργον δυσμενὲς ὑπὸ Ἀγα-
μέμνονος καὶ Μενελάου γενέσθαι. Εὐφορίων δὲ ἀνὴρ
Χαλκιδεὺς σὺν οὐδενὶ εἰκότι τὰ ἐς τὴν Λαοδίκην ἐποίη-
9 σεν. Ἐφεξῆς δὲ τῇ Λαοδίκῃ ὑποστάτης τε λίθου καὶ
λουτήριόν ἐστιν ἐπὶ τῷ ὑποστάτῃ χαλκοῦν· Μέδουσα
δὲ κατέχουσα ταῖς χερσὶν ἀμφοτέραις τὸ ὑπόστατον ἐπὶ
τοῦ ἐδάφους κάθηται· ἐν δὲ ταῖς Πριάμου θυγατράσιν
ἀριθμήσαι τις ἂν καὶ ταύτην κατὰ τοῦ Ἱμεραίου τὴν

ᾠδήν. παρὰ δὲ τὴν Μέδουσαν ἐν χρῷ κεκαρμένη πρε-
σβῦτις ἢ ἄνθρωπός ἐστιν εὐνοῦχος, παιδίον δὲ ἐν τοῖς
γόνασιν ἔχει γυμνόν· τὸ δὲ τὴν χεῖρα ὑπὸ δείματος
ἐπίπροσθε τῶν ὀφθαλμῶν πεποίηται.

XXVII. Νεκροὶ δέ, ὁ μὲν γυμνὸς Πῆλις ὄνομα ἐπὶ
τὸν νῶτόν ἐστιν ἐρριμμένος, ὑπὸ δὲ τὸν Πῆλιν Ἠϊονεύς
τε κεῖται καὶ Ἄδμητος ἐνδεδυκότες ἔτι τοὺς θώρακας·
καὶ αὐτῶν Λέσχεως Ἠϊονέα ὑπὸ Νεοπτολέμου, τὸν δὲ
ὑπὸ Φιλοκτήτου φησὶν ἀποθανεῖν τὸν Ἄδμητον. ἄλλοι
δὲ ἀνωτέρω τούτων, ὑπὲρ μὲν τὸ λουτήριον Λεώκριτός
ἐστιν ὁ Πουλυδάμαντος τεθνεὼς ὑπὸ Ὀδυσσέως, ὑπὲρ
δὲ Ἠϊονέα τε καὶ Ἄδμητον Κόροιβος ὁ Μυγδόνος· τού-
του μνῆμά τε ἐπιφανὲς ἐν ὅροις πεποίηται Φρυγῶν
865 Στεκτορηνῶν, καὶ ἀπ' αὐτοῦ ποιηταῖς Μύγδονας ὄνομα
ἐπὶ τοῖς Φρυξὶ τίθεσθαι καθέστηκεν. Ἀφίκετο μὲν δὴ
ἐπὶ τὸν Κασσάνδρας ὁ Κόροιβος γάμον, ἀπέθανε δέ, ὡς
μὲν ὁ πλείων λόγος, ὑπὸ Νεοπτολέμου, Λέσχεως δὲ
ὑπὸ Διομήδους ἐποίησεν. Εἰσὶ δὲ καὶ ἐπάνω τοῦ Κο- 2
ροίβου Πρίαμος καὶ Ἀξίων τε καὶ Ἀγήνωρ. Πρίαμον
δὲ οὐκ ἀποθανεῖν ἔφη Λέσχεως ἐπὶ τῇ ἐσχάρᾳ τοῦ Ἑρ-
κείου, ἀλλὰ ἀποσπασθέντα ἀπὸ τοῦ βωμοῦ πάρεργον
τῷ Νεοπτολέμῳ πρὸς ταῖς τῆς οἰκίας γενέσθαι θύραις.
Ἐς δὲ Ἑκάβην Στησίχορος ἐν Ἰλίου πέρσιδι ἐποίησεν
ἐς Λυκίαν ὑπὸ Ἀπόλλωνος αὐτὴν κομισθῆναι. Ἀξίονα
δὲ παῖδα εἶναι Πριάμου Λέσχεως καὶ ἀποθανεῖν αὐτὸν
ὑπὸ Εὐρυπύλου τοῦ Εὐαίμονός φησι. Τοῦ Ἀγήνορος
δὲ κατὰ τὸν αὐτὸν ποιητὴν Νεοπτόλεμος αὐτόχειρ ἐστί·
καὶ οὕτω φαίνοιτο ἂν Ἔχεκλος μὲν φονευθεὶς ὁ Ἀγή-
νορος ὑπὸ Ἀχιλλέως, Ἀγήνωρ δὲ αὐτὸς ὑπὸ τοῦ Νεο-
πτολέμου. Λαομέδοντος δὲ τὸν νεκρὸν Σίνων τε ἑταῖρος 3
Ὀδυσσέως καὶ Ἀγχίαλός εἰσιν ἐκκομίζοντες. γέγραπται
δὲ καὶ ἄλλος τεθνεώς, ὄνομά οἱ Ἔρεσος· τὰ δὲ ἐς Ἔρε-

σόν τε καὶ Λαομέδοντα, ὅσα γε ἡμεῖς ἐπιστάμεθα, ᾖσεν οὐδείς. 2. Ἔστι δὲ οἰκία τε ἡ Ἀντήνορος, καὶ παρδάλεως κρεμάμενον δέρμα ὑπὲρ τῆς ἐσόδου, σύνθημα εἶναι τοῖς Ἕλλησιν ἀπέχεσθαι σφᾶς οἴκου τοῦ Ἀντήνορος. Γέγραπται δὲ Θεανώ τε καὶ οἱ παῖδες, Γλαῦκος μὲν καθήμενος ἐπὶ θώρακι γυάλοις συνηρμοσμένῳ, Εὐρύμαχος
4 δὲ ἐπὶ πέτρᾳ. παρὰ δὲ αὐτὸν ἕστηκεν Ἀντήνωρ, καὶ ἐφεξῆς θυγάτηρ Ἀντήνορος Κρινώ· παιδίον δὲ ἡ Κρινὼ φέρει νήπιον. τῶν προσώπων δὲ ἅπασιν οἷον ἐπὶ συμφορᾷ σχῆμά ἐστι. κιβωτὸν δὲ ἐπὶ ὄνον καὶ ἄλλα τῶν 866
σκευῶν εἰσὶν ἀνατιθέντες οἰκέται· κάθηται δὲ καὶ ἐπὶ ὄνου παιδίον μικρόν. Κατὰ τοῦτο τῆς γραφῆς καὶ ἐλεγεῖόν ἐστι Σιμωνίδου·

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱός, περθομένην Ἰλίου ἀκρόπολιν.

XXVIII. Τὸ δὲ ἕτερον μέρος τῆς γραφῆς, τὸ ἐξ ἀριστερᾶς χειρός, ἔστιν Ὀδυσσεὺς καταβεβηκὼς ἐς τὸν Ἅιδην ὀνομαζόμενον, ὅπως Τειρεσίου τὴν ψυχὴν περὶ τῆς ἐς τὴν οἰκείαν ἐπέρηται σωτηρίας· ἔχει δὲ οὕτω τὰ ἐς τὴν γραφήν. Ὕδωρ εἶναι ποταμὸς ἔοικε, δῆλα ὡς ὁ Ἀχέρων, καὶ κάλαμοί τε ἐν αὐτῷ πεφυκότες, καὶ ἀμυδρὰ οὕτω δή τι τὰ εἴδη τῶν ἰχθύων σκιὰς μᾶλλον ἢ ἰχθῦς εἰκάσεις. καὶ ναῦς ἐστὶν ἐν τῷ ποταμῷ, καὶ ὁ
2 πορθμεὺς ἐπὶ ταῖς κώπαις. ἐπηκολούθησε δὲ ὁ Πολύγνωτος ἐμοὶ δοκεῖν ποιήσει Μινυάδι· ἔστι γὰρ δὴ ἐν τῇ Μινυάδι ἐς Θησέα ἔχοντα καὶ Πειρίθουν·

Ἔνθ᾽ ἤτοι νέα μὲν νεκυάμβατον, ἣν ὁ γεραιός
πορθμεὺς ἦγε Χάρων, οὐκ ἔλλαβον ἔνδοθεν ὅρμου.

ἐπὶ τούτῳ οὖν καὶ Πολύγνωτος γέροντα ἔγραψεν ἤδη
3 τῇ ἡλικίᾳ τὸν Χάρωνα. Οἱ δὲ ἐπιβεβηκότες τῆς νεὼς οὐκ ἐπιφανεῖς ἐς ἅπαν εἰσὶν οἷς προσήκουσι. Τέλλις μὲν ἡλικίαν ἐφήβου γεγονὼς φαίνεται, Κλεόβοια δὲ ἔτι

παρθένος, ἔχει δὲ ἐν τοῖς γόνασι κιβωτόν, ὁποίας ποιεῖσθαι νομίζουσι Δήμητρι. ἐς μὲν δὴ τὸν Τέλλιν τοσοῦτον ἤκουσα ὡς ὁ ποιητὴς Ἀρχίλοχος ἀπόγονος εἴη τρίτος Τέλλιδος· Κλεόβοιαν δὲ ἐς Θάσον τὰ ὄργια τῆς Δήμητρος ἐνεγκεῖν πρώτην ἐκ Πάρου φασίν. Ἐπὶ δὲ 4
τοῦ Ἀχέροντος τῇ ὄχθῃ μάλιστα [τῷ] ὑπὸ τοῦ Χάρωνος τὴν ναῦν ἀνὴρ οὐ δίκαιος ἐς πατέρα ἀγχόμενός ἐστιν
867 ὑπὸ τοῦ πατρός. 2. Περὶ πλείστου γὰρ δὴ ἐποιοῦντο οἱ πάλαι γονέας, ὥσπερ ἔστιν ἄλλοις τε τεκμήρασθαι καὶ ἐν Κατάνῃ τοῖς καλουμένοις Εὐσεβέσιν, οἵ, ἡνίκα ἐπέρρει τῇ Κατάνῃ πῦρ τὸ ἐκ τῆς Αἴτνης, χρυσὸν μὲν καὶ ἄργυρον ἐν οὐδενὸς μερίδι ἐποιήσαντο, οἱ δὲ ἔφευγον ἀράμενος μητέρα, ὁ δὲ αὐτῶν τὸν πατέρα· προϊόντας δὲ οὐ σὺν ῥᾳστώνῃ καταλαμβάνει σφᾶς τὸ πῦρ ἐπειγόμενον τῇ φλογί, καί, οὐ γὰρ κατετίθεντο οὐδ' οὕτω τοὺς γονέας, διχῇ σχισθῆναι λέγεται τὸν ῥύακα, καὶ αὐτούς τε τοὺς νεανίσκους, σὺν δὲ αὐτοῖς τοὺς γονέας τὸ πῦρ οὐδέν σφισι λυμηνάμενον παρεξῆλθεν. οὗτοι 5
μὲν δὴ τιμὰς καὶ ἐς ἐμὲ ἔτι παρὰ Καταναίων ἔχουσιν. Ἐν δὲ τῇ Πολυγνώτου γραφῇ πλησίον τοῦ ἀνδρὸς ὃς τῷ πατρὶ ἐλυμαίνετο καὶ δι' αὐτὸ ἐν Ἅιδου κακὰ ἀναπίμπλησι, τούτου πλησίον ἱερὰ σεσυληκὼς ἀνὴρ ὑπέσχε δίκην· γυνὴ δὲ ἡ κολάζουσα αὐτὸν φάρμακα ἄλλα τε καὶ ἐς αἰκίαν οἶδεν ἀνθρώπων. 3. Περισσῶς δὲ ἄρα 6
εὐσεβείᾳ θεῶν ἔτι προσέκειντο οἱ ἄνθρωποι, ὡς Ἀθηναῖοί τε δῆλα ἐποίησαν, ἡνίκα εἷλον Ὀλυμπίου Διὸς ἐν Συρακούσαις ἱερόν, οὔτε κινήσαντες τῶν ἀναθημάτων οὐδέν, τὸν ἱερέα τε τὸν Συρακούσιον φύλακα ἐπ' αὐτοῖς ἐάσαντες· ἐδήλωσε δὲ καὶ ὁ Μῆδος Δᾶτις λόγοις τε, οὓς εἶπε πρὸς Δηλίους, καὶ τῷ ἔργῳ, ἡνίκα ἐν Φοινίσσῃ νηῒ ἄγαλμα εὑρὼν Ἀπόλλωνος ἀπέδωκεν αὖθις Ταναγραίοις ἐς Δήλιον. οὕτω μὲν τὸ θεῖον καὶ

οἱ πάντες τότε ἦγον ἐν τιμῇ, καὶ ἐπὶ λόγῳ τοιούτῳ τὰ
7 ἐς τὸν συλήσαντα ἱερὰ ἔγραψε Πολύγνωτος. 4. Ἔστι δὲ
ἀνωτέρω τῶν κατειλεγμένων Εὐρύνομος· δαίμονα εἶναι 868
τῶν ἐν Ἅιδου φασὶν οἱ Δελφῶν ἐξηγηταὶ τὸν Εὐρύνο-
μον, καὶ ὡς τὰς σάρκας περιεσθίει τῶν νεκρῶν, μόνα
σφίσιν ἀπολείπων τὰ ὀστᾶ. Ἡ δὲ Ὁμήρου ποίησις ἡ ἐς
Ὀδυσσέα καὶ ἡ Μινυάς τε καλουμένη καὶ οἱ Νόστοι,
μνήμη γὰρ ἐν ταύταις καὶ Ἅιδου καὶ τῶν ἐκεῖ δειμάτων
ἐστίν, ἴσασιν οὐδένα Εὐρύνομον δαίμονα. Τοσοῦτο
μέντοι δηλώσω, ὁποῖός τε ὁ Εὐρύνομος καὶ ἐπὶ ποίου
γέγραπται τοῦ σχήματος· κυανοῦ τὴν χρόαν μεταξύ ἐστι
καὶ μέλανος, ὁποῖαι καὶ τῶν μυιῶν αἱ πρὸς τὰ κρέα
εἰσὶ προσιζάνουσαι, τοὺς δὲ ὀδόντας φαίνει, καθεζο-
8 μένῳ δὲ ὑπέστρωταί οἱ δέρμα γυπός. Ἐφεξῆς δὲ μετὰ τὸν
Εὐρύνομον ἥ τε ἐξ Ἀρκαδίας Αὔγη καὶ Ἰφιμέδειά ἐστι.
καὶ ἡ μὲν παρὰ Τεύθραντα ἦλθεν ἐς Μυσίαν, καὶ γυναι-
κῶν, ὁπόσαις ἐς τὸ αὐτὸ Ἡρακλέα ἀφικέσθαι λέγουσι,
μάλιστα δὴ παῖδα ἐοικότα ἔτεκε τῷ πατρί· τῇ δ' Ἰφιμε-
δείᾳ γέρα δέδοται μεγάλα ὑπὸ τῶν ἐν Μυλάσοις Καρῶν.

XXIX. Τῶν δὲ ἤδη μοι κατειλεγμένων εἰσὶν ἀνω-
τέρω τούτων ἱερεῖα οἱ ἑταῖροι τοῦ Ὀδυσσέως Περιμή-
δης καὶ Εὐρύλοχος φέροντες· τὰ δέ ἐστι μέλανες κριοὶ
τὰ ἱερεῖα. 2. Μετὰ δὲ αὐτοὺς ἀνήρ ἐστι καθήμενος, ἐπί-
γραμμα δὲ Ὄκνον εἶναι λέγει τὸν ἄνθρωπον· πεποίηται
μὲν πλέκων σχοινίον, παρέστηκε δὲ θήλεια ὄνος ὑπε-
σθίουσα τὸ πεπλεγμένον ἀεὶ τοῦ σχοινίου. τοῦτον εἶναι
τὸν Ὄκνον φιλεργόν φασιν ἄνθρωπον, γυναῖκα δὲ ἔχειν
δαπανηράν· καὶ ὁπόσα συλλέξαιτο ἐργαζόμενος, οὐ
2 πολὺ ἂν ὕστερον ὑπὸ ἐκείνης ἀνήλωτο. ταῦτα οὖν ἐς
τοῦ Ὄκνου τὴν γυναῖκα ἐθέλουσιν αἰνίξασθαι τὸν Πο- 869
λύγνωτον. Οἶδα δὲ καὶ ὑπὸ Ἰώνων, ὁπότε ἴδοιέν τινα
πονοῦντα ἐπὶ οὐδενὶ ὄνησιν φέροντι, ὑπὸ τούτων εἰρη-

μένον ὡς ὁ ἀνὴρ οὗτος συνάγει τοῦ Ὄκνου τὴν θώ-
μιγγα. ὄκνον δ' οὖν καὶ μάντεων οἱ ὁρῶντες τοὺς οἰω-
νοὺς καλοῦσί τινα ὄρνιθα, καὶ ἔστιν οὗτος ὁ ὄκνος μέ-
γιστος μὲν καὶ κάλλιστος ἐρῳδιῶν, εἰ δὲ ἄλλος τις
ὀρνίθων, σπάνιός ἐστι καὶ οὗτος. Γέγραπται δὲ καὶ 3
Τιτυὸς οὐ κολαζόμενος ἔτι, ἀλλὰ ὑπὸ τοῦ συνεχοῦς τῆς
τιμωρίας ἐς ἅπαν ἐξανηλωμένος, ἀμυδρὸν καὶ οὐδὲ
ὁλόκληρον εἴδωλον. Ἐπιδόντι δὲ ἐφεξῆς τὰ ἐν τῇ γραφῇ
ἐστὶν ἐγγυτάτω τοῦ στρέφοντος τὸ καλῴδιον Ἀριάδνη·
κάθηται μὲν ἐπὶ πέτρας, ὁρᾷ δὲ ἐς τὴν ἀδελφὴν Φαί-
δραν, τό τε ἄλλο αἰωρουμένην σῶμα ἐν σειρᾷ καὶ ταῖς
χερσὶν ἀμφοτέρωθεν τῆς σειρᾶς ἐχομένην· παρεῖχε δὲ
τὸ σχῆμα καίπερ ἐς τὸ εὐπρεπέστερον πεποιημένον συμ-
βάλλεσθαι τὰ ἐς τῆς Φαίδρας τὴν τελευτήν. τὴν δὲ 4
Ἀριάδνην ἢ κατά τινα ἐπιτυχὼν δαίμονα ἢ καὶ ἐπίτηδες
αὐτὴν λοχήσας ἀφείλετο Θησέα ἐπιπλεύσας Διόνυσος
στόλῳ μείζονι, οὐκ ἄλλος κατὰ ἐμὴν δόξαν, ἀλλὰ ὁ
πρῶτος μὲν ἐλάσας ἐπὶ Ἰνδοὺς στρατιᾷ, πρῶτος δὲ Εὐ-
φράτην γεφυρώσας ποταμόν· Ζεῦγμά τε ὠνομάσθη πό-
λις, καθ' ὅ τι ἐζεύχθη τῆς χώρας ὁ Εὐφράτης, καὶ ἔστιν
ἐνταῦθα ὁ κάλος καὶ ἐς ἡμᾶς ἐν ᾧ τὸν ποταμὸν ἔζευξεν
ἀμπελίνοις ὁμοῦ πεπλεγμένος καὶ κισσοῦ κλήμασι. τὰ 5
μὲν δὴ ἐς Διόνυσον πολλὰ ὑπό τε Ἑλλήνων λεγόμενα
870 καὶ ὑπὸ Αἰγυπτίων ἐστίν. 3. Ὑπὸ δὲ τὴν Φαίδραν ἐστὶν
ἀνακεκλιμένη Χλῶρις ἐπὶ τῆς Θυίας γόνασιν. οὐχ ἁμαρ-
τήσεται μὲν δὴ οὐδὲ ὅστις φησὶ φιλίαν εἶναι ἐς ἀλλήλας,
ἡνίκα ἔτυχον αἱ γυναῖκες ζῶσαι· ἦσαν γὰρ δὴ ἡ μὲν ἐξ
Ὀρχομενοῦ τοῦ ἐν Βοιωτίᾳ [Χλῶρις], ἡ δὲ *** χώρας.
εἶπον δὲ καὶ ἄλλον ἐς αὐτὰς λόγον, τῇ μὲν συγγενέσθαι
Ποσειδῶνα τῇ Θυίᾳ, Χλῶριν δὲ Ποσειδῶνος παιδὶ Νηλεῖ
συνοικῆσαι. Παρὰ δὲ τὴν Θυίαν Πρόκρις τε ἕστηκεν ἡ 6
Ἐρεχθέως καὶ μετ' αὐτὴν Κλυμένη· ἐπιστρέφει δὲ αὐτῇ

τὰ νῶτα ἡ Κλυμένη. ἔστι δὲ πεποιημένα ἐν Νόστοις
Μινύου μὲν τὴν Κλυμένην θυγατέρα εἶναι, γήμασθαι
δὲ αὐτὴν Κεφάλῳ τῷ Δηΐονος καὶ γενέσθαι σφίσιν Ἴφι-
κλον παῖδα. τὰ δὲ ἐς τὴν Πρόκριν καὶ οἱ πάντες ᾄδου-
σιν, ὡς προτέρα Κεφάλῳ ἢ Κλυμένη συνῴκησε, καὶ ὃν
7 τρόπον ἐτελεύτησεν ὑπὸ τοῦ ἀνδρός. Ἐσωτέρω δὲ τῆς
Κλυμένης Μεγάραν τὴν ἐκ Θηβῶν ὄψει· ταύτην γυναῖκα
ἔσχεν Ἡρακλῆς τὴν Μεγάραν, καὶ ἀπεπέμψατο ἀνὰ χρό-
νον ἅτε παίδων τε ἐστερημένος τῶν ἐξ αὐτῆς καὶ αὐτὴν
ἡγούμενος οὐκ ἐπὶ ἀμείνονι τῷ δαίμονι γῆμαι. Γυναι-
κῶν τῶν κατειλεγμένων ὑπὲρ τῆς κεφαλῆς ἥ τε Σαλ-
μωνέως θυγάτηρ ἐπὶ πέτρας καθεζομένη καὶ Ἐριφύλη
παρ' αὐτήν ἐστιν ἑστῶσα, διὰ μὲν τοῦ χιτῶνος ἀνέχουσα
ἄκρους παρὰ τὸν τράχηλον τοὺς δακτύλους, τοῦ χιτῶ-
νος δὲ ἐν τοῖς κοίλοις εἰκάσεις τῶν χειρῶν ἐκεῖνον τὸν
8 ὅρμον αὐτὴν ἔχειν. 4. Ὑπὲρ δὲ τὴν Ἐριφύλην ἔγραψεν
Ἐλπήνορά τε καὶ Ὀδυσσέα ὀκλάζοντα ἐπὶ τοῖς ποσίν,
ἔχοντα ὑπὲρ τοῦ βόθρου τὸ ξίφος· καὶ ὁ μάντις Τειρε-
σίας πρόεισιν ἐπὶ τὸν βόθρον· μετὰ δὲ τὸν Τειρεσίαν
ἐπὶ πέτρας ἡ Ὀδυσσέως μήτηρ Ἀντίκλειά ἐστιν· ὁ δὲ
Ἐλπήνωρ ἀμπέχεται φορμὸν ἀντὶ ἐσθῆτος, σύνηθες
9 τοῖς ναύταις φόρημα. Κατωτέρω δὲ τοῦ Ὀδυσσέως ἐπὶ
θρόνων καθεζόμενοι Θησεὺς μὲν τὰ ξίφη, τό τε Πει-
ρίθου καὶ τὸ ἑαυτοῦ, ταῖς χερσὶν ἀμφοτέραις ἔχει, ὁ
δὲ ἐς τὰ ξίφη βλέπων ἐστὶν ὁ Πειρίθους· εἰκάσαις ἂν
ἄχθεσθαι τοῖς ξίφεσιν αὐτὸν ὡς ἀχρείοις καὶ ὄφελός 871
σφισιν οὐ γεγενημένοις ἐς τὰ τολμήματα. Πανύασις δὲ
ἐποίησεν ὡς Θησεὺς καὶ Πειρίθους ἐπὶ τῶν θρόνων
παράσχοιντο σχῆμα οὐ κατὰ δεσμώτας, προσφυὲς δὲ ἀπὸ
10 τοῦ χρωτὸς ἀντὶ δεσμῶν σφίσιν ἔφη τὴν πέτραν. Θη-
σέως δὲ καὶ Πειρίθου τὴν λεγομένην φιλίαν ἐν ἀμφο-

τέραις ἐδήλωσεν Ὅμηρος ταῖς ποιήσεσι, καὶ Ὀδυσσεὺς μὲν πρὸς Φαίακας λέγων ἐστί,

καί νύ κ' ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ,
Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·

πεποίηται δὲ αὐτῷ καὶ ἐν Ἰλιάδι ὁ Νέστωρ ἄλλα τε ἐπὶ Ἀγαμέμνονος καὶ Ἀχιλλέως νουθεσίᾳ καὶ ἔπη τάδε εἰρηκώς·

Οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν,
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον,
Θησέα τ' Αἰγείδην ἐπιείκελον ἀθανάτοισιν.

XXX. Ἐφεξῆς δὲ τὰς Πανδάρεω θυγατέρας ἔγραψεν ὁ Πολύγνωτος. Ὁμήρῳ δὲ ἐν Πηνελόπης λόγοις ἐστὶν ὡς ἀποθάνοιεν μὲν ταῖς παρθένοις οἱ γειναμενοι κατὰ μήνιμα ἐκ θεῶν, αὐτὰς δὲ ὀρφανὰς τραφῆναι μὲν ὑπὸ Ἀφροδίτης, λαβεῖν δὲ καὶ παρ' ἄλλων θεῶν, Ἥρας μὲν φρονεῖν τε ἱκανὰς εἶναι καὶ εἶδος καλάς, μῆκος δὲ τοῦ σώματος Ἄρτεμίν φησιν αὐταῖς δωρήσασθαι, ἔργα δὲ γυναιξὶν ἁρμόζοντα ὑπ' Ἀθηνᾶς διδαχθῆναι. Ἀφρο- 2
δίτην μὲν ἐς οὐρανὸν ἀνέρχεσθαι παρὰ Διὸς γάμον εὐδαίμονα ἐθέλουσαν ταῖς παισὶν εὕρασθαι· τὰς δὲ ἀπούσης ἐκείνης ἁρπασθῆναί τε ὑπὸ Ἁρπυιῶν καὶ Ἐρινύσιν ὑπ' αὐτῶν δοθῆναι. τάδε μέν ἐστιν ἐς αὐτὰς
872 Ὁμήρῳ πεποιημένα· Πολύγνωτος δὲ κόρας τε ἐστεφανωμένας ἄνθεσι καὶ παιζούσας ἔγραψεν ἀστραγάλοις· ὄνομα δὲ αὐταῖς Καμειρώ τε καὶ Κλυτίη. Τὸν δὲ Πανδάρεων Μιλήσιόν τε ἐκ Μιλήτου τῆς Κρητικῆς ὄντα ἴστω τις, καὶ ἀδικήματος ἐς τὴν κλοπὴν Ταντάλῳ καὶ τοῦ ἐπὶ τῷ ὅρκῳ μετασχόντα σοφίσματος. Μετὰ δὲ τοῦ 3
Πανδάρεω τὰς κόρας Ἀντίλοχος τὸν μὲν ἕτερον ἐπὶ πέτρας τῶν ποδῶν, τὸ δὲ πρόσωπον καὶ τὴν κεφαλὴν ἐπὶ ταῖς χερσὶν ἀμφοτέραις ἔχων ἐστίν. Ἀγαμέμνων δὲ

μετὰ τὸν Ἀντίλοχον σκήπτρῳ τε ὑπὸ τὴν ἀριστερὰν
μασχάλην ἐρειδόμενος καὶ ταῖς χερσὶν ἐπανέχων ῥάβδον.
Πρωτεσίλαος δὲ πρὸς Ἀχιλλέα ἀφορᾷ καθεζόμενον, καὶ
ὁ Πρωτεσίλαος [τοιοῦτον] ** παρέχεται σχῆμα· ὑπὲρ δὲ
τὸν Ἀχιλλέα Πάτροκλός ἐστιν ἑστηκώς. οὗτοι πλὴν τοῦ
4 Ἀγαμέμνονος οὐκ ἔχουσι γένεια οἱ ἄλλοι. 2. Γέγραπται
δὲ ὑπὲρ αὐτοὺς Φῶκός τε ἡλικίαν μειράκιον καὶ Ἰασεύς·
γενείων ὅδε εὖ ἔχει· δακτύλιον δὲ ἐκ τῆς ἀριστερᾶς τοῦ
Φώκου περιαιρούμενος χειρὸς ἐπὶ τοιῷδέ ἐστι λόγῳ.
Φώκῳ τῷ Αἰακοῦ διαβάντι ἐξ Αἰγίνης ἐς τὴν νῦν κα-
λουμένην Φωκίδα, καὶ ἀνθρώπων τε ἀρχὴν τῶν ἐν τῇ
ἠπείρῳ ταύτῃ κτήσασθαι καὶ αὐτῷ θέλοντι ἐνταῦθα
οἰκῆσαι, ἀφίκετο ἐπὶ πλεῖστον ὁ Ἰασεὺς φιλίας, καί οἱ
δῶρα ἄλλα τε, ὡς τὸ εἰκός, ἐδωρήσατο καὶ λίθου σφρα-
γῖδα ἐνδεδεμένην χρυσῷ· Φώκῳ δὲ οὐ μετὰ πολὺν χρό-
νον ἀνακομισθέντι ἐς Αἴγιναν Πηλεὺς αὐτίκα ἐβού-
λευσε τοῦ βίου τὴν τελευτήν· καὶ τοῦδε ἕνεκα ἐν τῇ
γραφῇ ἐς ἀνάμνησιν ἐκείνης τῆς φιλίας ὅ τε Ἰασεὺς τὴν
σφραγῖδά ἐστιν ἐθέλων θεάσασθαι καὶ ὁ Φῶκος παρεὶς
5 λαβεῖν αὐτήν. 3. Ὑπὲρ τούτους Μαιρά ἐστιν ἐπὶ πέτρᾳ
καθεζομένη· περὶ δὲ αὐτῆς πεποιημένα ἐστὶν ἐν Νόστοις
ἀπελθεῖν μὲν παρθένον ἔτι ἐξ ἀνθρώπων, θυγατέρα δὲ
αὐτὴν εἶναι Προίτου τοῦ Θερσάνδρου, τὸν δὲ εἶναι
Σισύφου. Ἐφεξῆς δὲ τῆς Μαιρᾶς Ἀκταίων ἐστὶν ὁ Ἀρι-
σταίου καὶ ἡ τοῦ Ἀκταίωνος μήτηρ, νεβρὸν ἐν ταῖς χερ-
σὶν ἔχοντες ἐλάφου καὶ ἐπὶ δέρματι ἐλάφου καθεζόμενοι·
κύων τε θηρευτικὴ παρακατάκειταί σφισι βίου τοῦ 873
Ἀκταίωνος ἕνεκα καὶ τοῦ ἐς τὴν τελευτὴν τρόπου.
6 Ἀποβλέψαντι δὲ αὖθις ἐς τὰ κάτω τῆς γραφῆς ἔστιν
ἐφεξῆς μετὰ τὸν Πάτροκλον οἷα ἐπὶ λόφου τινὸς Ὀρφεὺς
καθεζόμενος, ἐφάπτεται δὲ καὶ τῇ ἀριστερᾷ κιθάρας,
τῇ δὲ ἑτέρᾳ χειρὶ ἰτέας κλῶνές εἰσιν ὧν ψαύει, προσ-

*ανακέκλιται δὲ τῷ δένδρῳ· τὸ ἄλσος ἔοικεν εἶναι τῆς
Περσεφόνης, ἔνθα αἴγειροι καὶ ἰτέαι δόξῃ τῇ Ὁμήρου
πεφύκασιν. Ἑλληνικὸν δὲ τὸ σχῆμά ἐστι τῷ Ὀρφεῖ, καὶ
οὔτε ἡ ἐσθὴς οὔτε ἐπίθημά ἐστιν ἐπὶ τῇ κεφαλῇ Θρᾴκιον.
τῷ δένδρῳ δὲ τῇ ἰτέᾳ κατὰ τὸ ἕτερον μέρος προσανα-* 7
*κεκλιμένος ἐστὶν αὐτῇ Προμέδων. εἰσὶ μὲν δὴ οἳ νομί-
ζουσι καθάπερ ἐς ποίησιν ἐπεισῆχθαι τοῦ Προμέδοντος
τὸ ὄνομα ὑπὸ τοῦ Πολυγνώτου· τοῖς δὲ εἰρημένον ἐστὶν
ἄνδρα Ἕλληνα ἔς τε τὴν ἄλλην ἅπασαν γενέσθαι φιλή-
κοον μουσικὴν καὶ ἐπὶ τῇ ᾠδῇ μάλιστα τῇ Ὀρφέως.*
4. *Κατὰ τοῦτο τῆς γραφῆς Σχεδίος ὁ Φωκεῦσιν ἡγησά-* 8
*μενος ἐς Τροίαν καὶ μετὰ τοῦτον Πελίας ἐστὶν ἐν θρόνῳ
καθεζόμενος, τὰ γένεια ὁμοίως καὶ τὴν κεφαλὴν πο-
λιός, ἐνορᾷ δὲ ἐς τὸν Ὀρφέα· ὁ δὲ Σχεδίος ἐγχειρίδιόν
τε ἔχων καὶ ἀγρωστίν ἐστιν ἐστεφανωμένος. Θαμύριδι
δὲ ἐγγὺς καθεζομένῳ τοῦ Πελίου διεφθαρμέναι αἱ ὄψεις
καὶ ταπεινὸν ἐς ἅπαν σχῆμά ἐστι, καὶ ἡ κόμη πολλὴ μὲν
ἐπὶ τῆς κεφαλῆς, πολλὴ δὲ αὐτῷ καὶ ἐν τοῖς γενείοις·
λύρα δὲ ἔρριπται πρὸς τοῖς ποσί, κατεαγότες αὐτῆς οἱ
πήχεις καὶ αἱ χορδαὶ κατερρωγυῖαι.* 5. *Ὑπὲρ τούτου* 9
*ἐστὶν ἐπὶ πέτρας καθεζόμενος Μαρσύας, καὶ Ὄλυμπος
παρ' αὐτὸν παιδός ἐστιν ὡραίου καὶ αὐλεῖν διδασκομέ-
νου σχῆμα ἔχων. Οἱ δὲ ἐν Κελαιναῖς Φρύγες ἐθέλουσι
μὲν τὸν ποταμὸν ὃς διέξεισιν αὐτοῖς διὰ τῆς πόλεως
ἐκεῖνόν ποτε εἶναι τὸν αὐλητήν, ἐθέλουσι δὲ καὶ εὕρημα
εἶναι τοῦ Μαρσύου τὸ Μητρῷον αὔλημα· φασὶ δὲ ὡς
καὶ τὴν Γαλατῶν ἀπώσαιντο στρατιὰν τοῦ Μαρσύου
σφίσιν ἐπὶ τοὺς βαρβάρους ὕδατί τε ἐκ τοῦ ποταμοῦ καὶ
μέλει τῶν αὐλῶν ἀμύναντος.*

874 XXXI. *Εἰ δὲ ἀπίδοις πάλιν ἐς τὸ ἄνω τῆς γραφῆς,
ἔστιν ἐφεξῆς τῷ Ἀκταίωνι Αἴας ὁ ἐκ Σαλαμῖνος καὶ
Παλαμήδης τε καὶ Θερσίτης κύβοις χρώμενοι παιδιᾷ,*

τοῦ Παλαμήδους τῷ εὑρήματι· Αἴας δὲ ὁ ἕτερος ἐς αὐτοὺς ὁρᾷ παίζοντας. τούτῳ τῷ Αἴαντι τὸ χρῶμά ἐστιν οἷον ἂν ἀνδρὶ ναυαγῷ γένοιτο ἐπανθούσης τῷ χρωτὶ
2 ἔτι τῆς ἅλμης. ἐς δὲ τὸ αὐτὸ ἐπίτηδες τοῦ Ὀδυσσέως τοὺς ἐχθροὺς ἤγαγεν ὁ Πολύγνωτος. Ἀφίκετο δὲ ἐς Ὀδυσσέως δυσμένειαν ὁ τοῦ Ὀϊλέως Αἴας, ὅτι τοῖς Ἕλλησιν Ὀδυσσεὺς παρῄνει καταλιθῶσαι τὸν Αἴαντα ἐπὶ τῷ ἐς Κασσάνδραν τολμήματι· Παλαμήδην δὲ ἀποπνιγῆναι προελθόντα ἐπὶ ἰχθύων θήραν, Διομήδην δὲ τὸν ἀποκτείναντα εἶναι καὶ Ὀδυσσέα ἐπιλεξάμενος ἐν
3 ἔπεσιν οἶδα τοῖς Κυπρίοις. Μελέαγρος δὲ ὁ Οἰνέως ἀνωτέρω μὲν ἢ ὁ τοῦ Ὀϊλέως Αἴας ἐστὶν ἐν τῇ γραφῇ, ἔοικε δὲ ὁρῶντι ἐς τὸν Αἴαντα. τούτοις πλὴν τῷ Παλαμήδει γένειά ἐστι τοῖς ἄλλοις. 2. Ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην ὁ Μελέαγρος τὴν αἰτίαν· αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗταί φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος.
4 Τὸν δὲ ἐπὶ τῷ δαλῷ λόγον, ὡς δοθείη μὲν ὑπὸ Μοιρῶν τῇ Ἀλθαίᾳ, Μελεάγρῳ δὲ οὐ πρότερον ἔδει τὴν τελευτὴν συμβῆναι πρὶν ἢ ὑπὸ πυρὸς ἀφανισθῆναι τὸν δαλόν, καὶ ὡς ὑπὸ τοῦ θυμοῦ καταπρήσειεν αὐτὸν ἡ Ἀλθαία, τοῦτον τὸν λόγον Φρύνιχος ὁ Πολυφράδμονος πρῶτος ἐν δράματι ἔδειξε Πλευρωνίαις·

κρυερὸν γὰρ οὐκ
ἤλυξεν μόρον, ὠκεῖα δέ νιν φλὸξ κατεδαίσατο,
δαλοῦ περθομένου ματρὸς ὑπ' αἰνᾶς κακομηχάνου.

οὐ μὴν φαίνεταί γε ὁ Φρύνιχος προαγαγὼν τὸν λόγον ἐς 875
πλέον ὡς εὕρημα ἄν τις οἰκεῖον, προσαψάμενος δὲ αὐτοῦ μόνον ἅτε ἐς ἅπαν ἤδη διαβεβοημένου τὸ Ἑλληνικόν.

Ἐν δὲ τοῖς κάτω τῆς γραφῆς μετὰ τὸν Θρᾷκά εἰσι 5
Θάμυριν Ἕκτωρ μὲν καθεζόμενος· ἀμφοτέρας ἔχει τὰς
χεῖρας περὶ τὸ ἀριστερὸν γόνυ, ἀνιωμένου σχῆμα ἐμ-
φαίνων· μετὰ δὲ αὐτὸν Μέμνων ἐστὶν ἐπὶ πέτρᾳ καθε-
ζόμενος καὶ Σαρπηδὼν συνεχὴς τῷ Μέμνονι· ἐπικέκλι-
ται δὲ τὸ πρόσωπον ἐπὶ τὰς χεῖρας ἀμφοτέρας ὁ Σαρπη-
δών· ἡ δὲ ἑτέρα τῶν χειρῶν τοῦ Μέμνονος ἐπὶ τῷ ὤμῳ
τοῦ Σαρπηδόνος κεῖται. γένεια μὲν πᾶσίν ἐστιν αὐτοῖς, 6
ἐν δὲ τοῦ Μέμνονος τῇ χλαμύδι καὶ ὄρνιθές εἰσιν ἐπειρ-
γασμέναι· Μεμνονίδες ταῖς ὄρνισίν ἐστιν ὄνομα, κατὰ
δὲ ἔτος οἱ Ἑλλησπόντιοί φασιν αὐτὰς ἐν εἰρημέναις ἡμέ-
ραις ἰέναι τε ἐπὶ τοῦ Μέμνονος τὸν τάφον, καὶ ὁπόσον
τοῦ μνήματος δένδρων ἐστὶν ἢ πόας ψιλόν, τοῦτο καὶ
σαίρουσιν αἱ ὄρνιθες καὶ ὑγροῖς τοῖς πτεροῖς τοῦ Αἰσή-
που τῷ ὕδατι ῥαίνουσι. παρὰ δὲ τῷ Μέμνονι καὶ παῖς 7
Αἰθίοψ πεποίηται γυμνός, ὅτι ὁ Μέμνων βασιλεὺς ἦν
τοῦ Αἰθιόπων γένους. Ἀφίκετο μέντοι ἐς Ἴλιον οὐκ ἀπ'
Αἰθιοπίας, ἀλλὰ ἐκ Σούσων τῶν Περσικῶν καὶ ἀπὸ
τοῦ Χοάσπου ποταμοῦ, τὰ ἔθνη πάντα ὅσα ᾤκει μεταξὺ
ὑποχείρια πεποιημένος. Φρύγες δὲ καὶ τὴν ὁδὸν ἔτι
ἀποφαίνουσι δι' ἧς τὴν στρατιὰν ἤγαγε, τὰ ἐπίτομα
ἐκλεγόμενος τῆς χώρας· τέτμηται δὲ διὰ τῶν μονῶν ἡ
ὁδός.

3. Ὑπὲρ δὲ τὸν Σαρπηδόνα τε καὶ Μέμνονα, ἔστιν 8
ὑπὲρ αὐτοὺς Πάρις οὐκ ἔχων πω γένεια· κροτεῖ δὲ ταῖς
χερσίν, οἷος ἂν γένοιτο ἀνδρὸς ἀγροίκου κρότος· ἐοικέ-
ναι τὸν Πάριν φήσεις τῷ ψόφῳ τῶν χειρῶν Πενθεσί-
λειαν παρ' αὐτὸν καλοῦντι. ἔστι δὲ καὶ ἡ Πενθεσίλεια
ὁρῶσα ἐς τὸν Πάριν, τοῦ προσώπου δὲ ἔοικε τῷ νεύ-
ματι ὑπερορᾶν τε αὐτὸν καὶ ἐν οὐδενὸς τίθεσθαι λόγῳ·
τὸ δὲ σχῆμά ἐστι τῇ Πενθεσιλείᾳ, παρθένος τόξον ἔχου-
σα τοῖς Σκυθικοῖς ἐμφερὲς καὶ παρδάλεως δέρμα ἐπὶ

9 τῶν ὤμων. Αἱ δὲ ὑπὲρ τὴν Πενθεσίλειαν φέρουσαι 876
μέν εἰσιν ὕδωρ ἐν κατεαγόσιν ὀστράκοις, πεποίηται δὲ
ἡ μὲν ἔτι ὡραία τὸ εἶδος, ἡ δὲ ἤδη τῆς ἡλικίας προή-
κουσα· ἰδίᾳ μὲν δὴ οὐδὲν ἐπίγραμμα ἐπὶ ἑκατέρᾳ τῶν
γυναικῶν, ἐν κοινῷ δέ ἐστιν ἐπὶ ἀμφοτέραις εἶναι σφᾶς
10 τῶν οὐ μεμυημένων. Τῶν γυναικῶν ἀνωτέρω τούτων
ἐστὶν ἡ Λυκάονος Καλλιστὼ καὶ Νομία τε καὶ ἡ Νηλέως
Πηρώ· ταύτης ἕδνα τῶν γάμων βοῦς ὁ Νηλεὺς ᾔτει τὰς
Ἰφίκλου. τῇ Καλλιστοῖ δὲ ἀντὶ μὲν στρωμνῆς ἐστὶν
αὐτῇ δέρμα ἄρκτου, τοὺς πόδας δὲ ἐν τοῖς Νομίας γό-
νασιν ἔχει κειμένους. ἐδήλωσε δέ μοι τὰ πρότερα τοῦ
λόγου φάναι τοὺς Ἀρκάδας Νομίαν εἶναί σφισιν ἐπι-
χώριον νύμφην· τὰς νύμφας δὲ εἶναι πολὺν μέν τινα
ἀριθμὸν βιούσας ἐτῶν, οὐ μέντοι παράπαν γε ἀπηλ-
λαγμένας θανάτου ποιητῶν ἐστὶν ἐς αὐτὰς λόγος. Μετὰ
δὲ τὴν Καλλιστὼ καὶ ὅσαι σὺν ἐκείνῃ γυναῖκες, κρημ-
νοῦ τε σχῆμά ἐστι καὶ ὁ Αἰόλου Σίσυφος ἀνῶσαι πρὸς
11 τὸν κρημνὸν βιαζόμενος τὴν πέτραν. 4. Ἔστι δὲ καὶ
πίθος ἐν τῇ γραφῇ, πρεσβύτης δὲ ἄνθρωπος, ὁ δὲ ἔτι
παῖς, καὶ γυναῖκες, νέα μὲν ὑπὸ τῇ πέτρᾳ, παρὰ δὲ τὸν
πρεσβύτην ἐοικυῖα ἐκείνῳ τὴν ἡλικίαν· οἱ μὲν ἄλλοι
φέροντες ὕδωρ ἔτι, τῇ δὲ γραῒ κατεᾶχθαι τὴν ὑδρίαν
εἰκάσεις· ὅσον δὲ ἐν τῷ ὀστράκῳ λοιπὸν ἦν τοῦ ὕδατος,
ἐκχέουσά ἐστιν αὖθις ἐς τὸν πίθον. Ἐτεκμαιρόμεθα δ'
εἶναι καὶ τούτους τῶν τὰ δρώμενα Ἐλευσῖνι ἐν οὐδενὸς
θεμένων λόγῳ· οἱ γὰρ ἀρχαιότεροι τῶν Ἑλλήνων τελε-
τὴν τὴν Ἐλευσινίαν πάντων, ὁπόσα ἐς εὐσέβειαν ἥκει,
τοσούτῳ ἦγον ἐντιμότερον ὅσῳ καὶ θεοὺς ἐπίπροσθεν
12 ἡρώων. Ὑπὸ τούτῳ δὲ τῷ πίθῳ Τάνταλος καὶ ἄλλα
ἔχων ἐστὶν ἀλγεινά, ὁπόσα Ὅμηρος ἐπ' αὐτῷ πεποίη-
κεν, ἐπὶ δὲ αὐτοῖς πρόσεστίν οἱ καὶ τὸ ἐκ τοῦ ἐπηρτη-
μένου λίθου δεῖμα. Πολύγνωτος μὲν δῆλός ἐστιν ἐπα-

κολουθήσας τῷ Ἀρχιλόχου λόγῳ· Ἀρχίλοχος δὲ οὐκ οἶδα εἴτε ἐδιδάχθη παρὰ ἄλλων τὰ ἐς τὸν λίθον, εἴτε καὶ αὐτὸς ἐς τὴν ποίησιν ἐσηνέγκατο.

Τοσαύτη μὲν πλῆθος καὶ εὐπρεπείας ἐς τοσοῦτόν ἐστιν ἥκουσα ἡ τοῦ Θασίου γραφή.

877 XXXII. Τοῦ περιβόλου δὲ τοῦ ἱεροῦ θέατρον ἔχεται θέας ἄξιον· ἐπαναβάντι δὲ ἐκ τοῦ περιβόλου * * Διονύσου δὲ ἄγαλμα ἐνταῦθα Κνιδίων ἐστὶν ἀνάθημα. Στάδιον δέ σφισιν ἀνωτάτω τῆς πόλεως τοῦτό ἐστιν· ἐπεποίητο δὲ ἐκ τῆς πέτρας, ὁποῖαι περὶ τὸν Παρνασσόν εἰσιν αἱ πολλαί, ἄχρι Ἀθηναῖος Ἡρώδης λίθῳ τῷ Πεντέλησιν αὐτὸ μετεκόσμησε. Τὰ μὲν δὴ ἀνήκοντα ἐς συγγραφὴν τοσαῦτά τε καὶ τοιαῦτα κατ' ἐμὲ ἦν τὰ λειπόμενα ἐν Δελφοῖς.

2. Ἰόντι δὲ ἐκ Δελφῶν ἐπὶ τὰ ἄκρα τοῦ Παρνασσοῦ, 2
σταδίοις μὲν ὅσον ἑξήκοντα ἀπωτέρω Δελφοῦ ἐστὶν ἄγαλμα χαλκοῦν, καὶ ῥᾴων εὐζώνῳ ἀνδρί, ἡμιόνοις τε καὶ ἵπποις ἐπὶ τὸ ἄντρον ἐστὶν ἄνοδος τὸ Κωρύκιον. τούτῳ δὲ τῷ ἄντρῳ γενέσθαι τὸ ὄνομα ἀπὸ νύμφης Κωρυκίας ἐδήλωσα ὀλίγῳ τι ἔμπροσθεν· σπηλαίων δὲ
ὧν εἶδον θέας ἄξιον μάλιστα ἐφαίνετο εἶναί μοι. 3. Ὅσα 3
μὲν γὰρ ἐπί τε αἰγιαλοῖς καὶ ἀγχιβαθεῖ τῇ θαλάσσῃ, τούτων μὲν οὐδὲ ἀριθμὸν ἄν τις ἐθέλων ἐξεύροι· ὀνομαστότατα δὲ ἔν τε Ἕλλησι καὶ ἐν γῇ τῇ βαρβάρων ἐστί· Φρύγες οἱ ἐπὶ ποταμῷ Πεγκάλᾳ, τὰ δὲ ἄνωθεν ἐξ Ἀρκαδίας καὶ Ἀζάνων ἐς ταύτην ἀφικόμενοι τὴν χώραν, δεικνύουσιν ἄντρον καλούμενον Στεῦνος, περιφερές τε καὶ ὕψους ἔχον εὐπρεπῶς· Μητρὸς δέ ἐστιν
ἱερόν, καὶ ἄγαλμα Μητρὸς πεποίηται. Θεμισσώνιον δὲ 4
τὸ ὑπὲρ Λαοδικείας Φρύγες μὲν καὶ τοῦτο οἰκοῦσιν· ὅτε δὲ ὁ Γαλατῶν στρατὸς ἔφερε καὶ ἦγεν Ἰωνίαν καὶ Ἰωνίας τὰ ὅμορα, οἱ Θεμισσωνεῖς φασὶν αὐτοῖς Ἡρακλέα

βοηθὸν καὶ Ἀπόλλωνα γενέσθαι καὶ Ἑρμῆν· τούτους
γὰρ τοῖς τὰς ἀρχὰς ἔχουσιν ἄντρον τε δι' ὀνειράτων
δεῖξαι, καὶ ἀποκρυφθῆναι Θεμισωνεῦσι καὶ γυναιξὶν
5 αὐτῶν καὶ παισὶν ἐς τοῦτο προστάξαι τὸ ἄντρον. καὶ
ἐπὶ τούτῳ πρὸ τοῦ σπηλαίου σφίσιν ἀγάλματα οὐ με-
γάλα ἐστὶν Ἡρακλέους καὶ Ἑρμοῦ τε καὶ Ἀπόλλωνος, 878
Σπηλαῖται καλούμενοι. τὸ δὲ ἀπέχει ὅσον τριάκοντα
τοῦ ἄστεως σταδίους· ὕδατος δέ εἰσιν ἐν αὐτῷ πηγαί·
οὔτε δὲ ἔσοδος ἐς αὐτὸ φέρει οὔτε ἐπὶ πολὺ ἡ αὐγὴ
δίεισι τοῦ ἡλίου, τοῦ τε ὀρόφου τὰ πλείονα ἐγγυτάτω
6 τοῦ ἐδάφους γίνεται. 4. Ἔστι δὲ καὶ τοῖς ἐπὶ ποταμῷ
Ληθαίῳ Μάγνησιν Ὕλαι καλούμενον χωρίον· ἐνταῦθα
Ἀπόλλωνι ἀνεῖται σπήλαιον, μεγέθους μὲν ἕνεκα οὐ
πολλοῦ θαύματος, τὸ δὲ ἄγαλμα τοῦ Ἀπόλλωνος τὰ μά-
λιστα ἀρχαῖον, καὶ ἰσχὺν ἐπὶ ἔργῳ παρέχεται παντί·
καὶ αὐτῷ ἄνδρες ἱεροὶ κατὰ κρημνῶν τε ἀποτόμων καὶ
πετρῶν πηδῶσιν ὑψηλῶν, καὶ ὑπερμήκη δένδρα ἐρι-
πόντες ἐκ ῥιζῶν κατὰ τὰ στενώτατα τῶν ἀτραπῶν
7 ὁμοῦ τοῖς ἄχθεσιν ὁδεύουσι. 5. Τὸ δὲ ἄντρον τὸ Κω-
ρύκιον μεγέθει τε ὑπερβάλλει τὰ εἰρημένα, καὶ ἔστιν
ἐπὶ πλεῖστον ὁδεῦσαι δι' αὐτοῦ καὶ ἄνευ λαμπτήρων·
ὅ τε ὄροφος ἐς αὔταρκες ἀπὸ τοῦ ἐδάφους ἀνέστηκε,
καὶ ὕδωρ τὸ μὲν ἀνερχόμενον ἐκ πηγῶν, πλέον δὲ ἔτι
ἀπὸ τοῦ ὀρόφου στάζει, ὥστε καὶ δῆλα ἐν τῷ ἐδάφει
σταλαγμῶν τὰ ἴχνη διὰ παντός ἐστι τοῦ ἄντρου. Ἱερὸν
δὲ αὐτὸ οἱ περὶ τὸν Παρνασὸν Κωρυκίων τε εἶναι Νυμ-
φῶν καὶ Πανὸς μάλιστα ἥγηνται. Ἀπὸ δὲ τοῦ Κωρυ-
κίου χαλεπὸν ἤδη καὶ ἀνδρὶ εὐζώνῳ πρὸς τὰ ἄκρα
ἀφικέσθαι τοῦ Παρνασοῦ· τὰ δὲ νεφῶν τέ ἐστιν ἀνω-
τέρω τὰ ἄκρα, καὶ αἱ Θυιάδες ἐπὶ τούτοις τῷ Διονύσῳ
καὶ τῷ Ἀπόλλωνι μαίνονται.
8 6. Τιθορέα δὲ ἀπωτέρω Δελφῶν ὀγδοήκοντα, ὡς

εἰκάσαι, σταδίοις ἐστὶν ἰόντι τὴν διὰ τοῦ Παρνασοῦ·
τὴν δὲ οὐ πάντα ὀρεινήν, ἀλλὰ καὶ ὀχήμασιν ἐπιτή-
δειον πλεόνων ἔτι ἐλέγετο εἶναι σταδίων. Διάφορα ἐς
τὸ ὄνομα οἶδα τῆς πόλεως Ἡροδότῳ τε εἰρημένα ἐν ἐπι-
στρατείᾳ τοῦ Μήδου καὶ Βάκιδι ἐν χρησμοῖς. Βάκις 9
μέν γε Τιθορέας τοὺς ἐνθάδε ἐκάλεσεν ἀνθρώπους·
Ἡροδότου δὲ ὁ ἐς αὐτοὺς λόγος ἐπιόντος φησὶ τοῦ βαρ-
βάρου τοὺς ἐνταῦθα οἰκοῦντας ἀναφυγεῖν ἐς τὴν κορυ-
φήν, ὄνομα δὲ Νεῶνα μὲν τῇ πόλει, Τιθορέαν δὲ εἶναι
879 τοῦ Παρνασοῦ τῇ ἄκρᾳ. ἔοικεν οὖν ἀνὰ χρόνον πρῶτα
μὲν δὴ τῇ ἁπάσῃ χώρᾳ, μετὰ δὲ ταῦτα, ἐπειδὴ ἀνῳ-
κίσθησαν ἀπὸ τῶν κωμῶν, ἐκνικῆσαι καὶ ἐπὶ τῇ πόλει
Τιθορέαν μηδὲ ἔτι Νεῶνα ὀνομάζεσθαι. Τιθορέᾳ δὲ
οἱ ἐπιχώριοι τεθῆναί φασιν ἀπὸ Τιθορέας νύμφης,
οἷαι τὸ ἀρχαῖον λόγῳ τῷ ποιητῶν ἐφύοντο ἀπό τε ἄλ-
λων δένδρων καὶ μάλιστα ἀπὸ τῶν δρυῶν. Γενεᾷ δὲ 10
ἢ με γενέσθαι μιᾷ πρότερον ἐς τὸ χεῖρον ἔτρεψεν ὁ δαί-
μων τὰ ἐν τῇ Τιθορέᾳ. θεάτρου μὲν δὴ κατασκευὴ καὶ
περίβολός ἐστιν ἀγορᾶς ἀρχαιοτέρας· τὰ δὲ τῶν ἐν τῇ
πόλει μάλιστα ἐς μνήμην ἥκοντα Ἀθηνᾶς ἐστὶν ἄλσος
καὶ ναός τε καὶ ἄγαλμα, καὶ Ἀντιόπης μνῆμά ἐστι καὶ
Φώκου. 7. Καί μοι τοῦ λόγου τὰ ἔχοντα ἐς Θηβαίους
ἐδήλωσε μὲν ὡς ἡ Ἀντιόπη δι' ὀργὴν ἐκ Διονύσου μα-
νείη, καὶ κατὰ αἰτίαν ἥντινα ἐπεσπάσατο ἐκ τοῦ θεοῦ τὸ
μήνιμα, ἐδήλωσε δὲ καὶ ὡς ἐρασθέντι Φώκῳ τῷ Ὀρνυ- 11
τίωνος συνῴκησε καὶ τέθαπται ὁμοῦ τῷ Φώκῳ, καὶ Βάκιδι
ὁποῖά ἐστι τῷ χρησμολόγῳ κοινὰ ἐς τοῦτον τὸν τάφον
καὶ ἐς τὸν Ζήθου τε ἐν Θήβαις καὶ Ἀμφίονος. τὰ μὲν δὴ
ἐς συγγραφὴν τῶν ἐν τῷ πολίσματι, ὅτι μὴ τὰ εἰρημένα,
ἄλλο ἦν οὐδέν. ποταμὸς δὲ παρὰ τῶν Τιθορέων ῥέων τὴν
πόλιν ποτόν σφισι γίνεται καταβαίνουσί τε ἐπὶ τὴν ὄχθην
καὶ ἀρυομένοις τὸ ὕδωρ· ὄνομα δέ ἐστιν αὐτῷ Καχάλης.

12 8. Σταδίοις δὲ ἀπωτέρω Τιθορέας ἑβδομήκοντα
ναός ἐστιν Ἀσκληπιοῦ, καλεῖται δὲ Ἀρχαγέτας· τιμὰς δὲ
παρὰ αὐτῶν ἔχει Τιθορέων καὶ ἐπ' ἴσης παρὰ Φωκέων
τῶν ἄλλων. ἐντὸς μὲν δὴ τοῦ περιβόλου τοῖς τε ἱκέταις
καὶ ὅσοι τοῦ θεοῦ δοῦλοι, τούτοις μὲν ἐνταῦθά εἰσι καὶ
οἰκήσεις· ἐν μέσῳ δὲ ὅ τε ναὸς καὶ ἄγαλμα λίθου πε-
ποιημένον, γένεια ἔχον μέγεθος καὶ ὑπὲρ δύο πόδας·
κλίνη δὲ ἐν δεξιᾷ κεῖται τοῦ ἀγάλματος. θύειν δὲ αὐτῷ
τὰ πάντα ὁμοίως νομίζουσι πλὴν αἰγῶν. 880
13 9. Τοῦ δὲ Ἀσκληπιοῦ περὶ τεσσαράκοντα ἀπέχει
σταδίους περίβολος καὶ ἄδυτον ἱερὸν Ἴσιδος, ἁγιώτατον
ὁπόσα Ἕλληνες θεῷ τῇ Αἰγυπτίᾳ πεποίηνται· οὔτε γὰρ
περιοικεῖν ἐνταῦθα οἱ Τιθορεῖς νομίζουσιν, οὔτε ἔσο-
δος ἐς τὸ ἄδυτον ἄλλοις γε ἢ ἐκείνοις ἐστὶν οὓς ἂν αὐτὴ
προτιμήσασα ἡ Ἶσις καλέσῃ σφᾶς δι' ἐνυπνίων. Τὸ δὲ
αὐτὸ καὶ ἐν ταῖς ὑπὲρ Μαιάνδρου πόλεσι θεοὶ ποιοῦσιν
οἱ καταχθόνιοι· οὓς γὰρ ἂν ἐς τὰ ἄδυτα ἐσίεναι θελή-
14 σωσιν, ἀποστέλλουσιν αὐτοῖς ὀνειράτων ὄψεις. Ἐν δὲ
τῇ Τιθορέων καὶ δὶς ἑκάστου τοῦ ἔτους τῇ Ἴσιδι πανή-
γυριν ἄγουσι, τὴν μὲν τῷ ἦρι, τὴν δὲ μετοπωρινήν.
τρίτῃ δὲ ἡμέρᾳ πρότερον κατὰ ἑκατέραν τῶν πανηγύ-
ρεων, ὅσοις ἐστὶν ἐσελθεῖν ἄδεια, τὸ ἄδυτον ἐκκαθαί-
ρουσι τρόπον τινὰ ἀπόρρητον, καὶ δὴ καὶ τῶν ἱερείων
ἃ ἐπὶ τῆς προτέρας ἐνεβλήθη πανηγύρεως, τούτων
ὁπόσα ἂν ὑπολειπόμενα εὕρωσι κομίζουσιν ἐς τὸ αὐτὸ
ἀεὶ χωρίον καὶ κατορύσσουσιν ἐνταῦθα· δύο τε ἀπὸ
τοῦ ἀδύτου στάδια ἐτεκμαιρόμεθα ἐς τοῦτο εἶναι τὸ χω-
15 ρίον. Ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ τοσαῦτα περὶ τὸ ἱερὸν
δρῶσι· τῇ δὲ ἐπιούσῃ σκηνὰς οἱ καπηλεύοντες ποιοῦν-
ται καλάμου τε καὶ ἄλλης ὕλης αὐτοσχεδίου· τῇ τελευ-
ταίᾳ δὲ τῶν τριῶν πανηγυρίζουσι πιπράσκοντες καὶ
ἀνδράποδα καὶ κτήνη τὰ πάντα, ἔτι δὲ ἐσθῆτας καὶ ἀρ-

γυρον καὶ χρυσόν. μετὰ δὲ μεσοῦσαν τὴν ἡμέραν τρέ- 16
πονται πρὸς θυσίαν. Θύουσι δὲ καὶ βοῦς καὶ ἐλάφους
οἱ εὐδαιμονέστεροι, ὅσοι δέ εἰσιν ἀποδέοντες πλούτῳ,
καὶ χῆνας καὶ ὄρνιθας τὰς μελεαγρίδας· ὑσὶ δὲ ἐς τὴν
θυσίαν οὐ νομίζουσιν οὐδὲ οἰσὶ χρῆσθαι καὶ αἰξίν.
Ὅσοις μὲν δὴ καθαγίσασι τὰ ἱερεῖα ἐς τὸ ἄδυτον ἀπο-
στεῖλαι * * * πεποιημένους ἀρχήν, καθελίξαι δεῖ
σφᾶς τὰ ἱερεῖα λίνου τελαμῶσιν ἢ βύσσου· τρόπος δὲ
τῆς σκευασίας ἐστὶν ὁ Αἰγύπτιος. πομπεύει τε δὴ 17
πάντα ὅσα ἔθυσαν, καὶ οἱ μὲν ἐς τὸ ἄδυτον τὰ ἱερεῖα
ἐσπέμπουσιν, οἱ δὲ ἔμπροσθε τοῦ ἀδύτου καθαγίζουσι
881 τὰς σκηνὰς καὶ ἀποχωροῦσιν αὐτοὶ σπουδῇ. καί φασί
ποτε ἄνθρωπον οὐ τῶν καταβαινόντων ἐς τὸ ἄδυτον,
βέβηλον δέ, ἡνίκα ἤρχετο ἡ πυρὰ καίεσθαι, τηνικαῦτα
ἐσελθεῖν ἐς τὸ ἄδυτον ὑπὸ πολυπραγμοσύνης τε καὶ
τόλμης, καί οἱ πάντα ἀνάπλεα εἰδώλων φαίνεσθαι, καὶ
ἀναστρέψαι μὲν αὐτὸν ἐς τὴν Τιθορέαν, διηγησάμενον
δὲ ἃ ἐθεάσατο ἀφεῖναι τὴν ψυχήν. 10. Ἐοικότα δὲ ἀν- 18
δρὸς ἤκουσα Φοίνικος, ἄγειν τῇ Ἴσιδι Αἰγυπτίους τὴν
ἑορτήν, ὅτε αὐτὴν τὸν Ὄσιριν πενθεῖν λέγουσι· τηνι-
καῦτα δὲ καὶ ὁ Νεῖλος ἀναβαίνειν σφίσιν ἄρχεται, καὶ
τῶν ἐπιχωρίων πολλοῖς ἐστιν εἰρημένα ὡς τὰ αὔξοντα
τὸν ποταμὸν καὶ ἄρδειν τὰς ἀρούρας ποιοῦντα τὰ δά-
κρυά ἐστι τῆς Ἴσιδος. τότε οὖν τὸν Ῥωμαῖον, ὃς ἐπετέ-
τραπτο Αἴγυπτον, ἄνδρα ἔφη χρήμασιν ἀναπείσαντα ἐς
τὸ ἄδυτον καταπέμψαι τῆς Ἴσιδος τὸ ἐν Κόπτῳ· καὶ ὁ
ἐσπεμφθεὶς ἀνέστρεψε μὲν ἐκ τοῦ ἀδύτου, διηγησάμενον
δὲ ὁπόσα ἐθεάσατο καὶ τοῦτον αὐτίκα ἐπυνθανόμην τε-
λευτῆσαι. τὸ ἔπος οὖν ἀληθεύειν ἔοικε τὸ Ὁμήρου, σὺν
οὐδενὶ αἰσίῳ τοὺς θεοὺς τῷ γένει τῶν ἀνθρώπων ἐναρ-
γῶς ὁρᾶσθαι.

11. Τὸ δὲ ἔλαιον τὸ ἐν τῇ Τιθορέων ἀποδεῖ μὲν πλή- 19

θει τοῦ τε Ἀττικοῦ καὶ τοῦ Σικυωνίου, χρόᾳ δὲ ὑπερβάλλει καὶ ἡδονῇ. [τό τε] Ἰβηρικὸν καὶ τὸ ἐκ τῆς νήσου τῆς Ἰστρίας· καὶ μύρα τε ἀπ' αὐτοῦ παντοῖα ἕψουσι, καὶ τὸ ἔλαιον ὡς βασιλέα ἄγουσιν.

XXXIII. Ἑτέρα δὲ ἐκ Τιθορέας ὁδὸς ἡ ἐπὶ Λέδοντά ἐστιν· πόλις δέ ποτε ἐνομίζετο καὶ αὕτη, κατ' ἐμὲ δὲ ὑπὸ ἀσθενείας ἐξελελοίπεσαν οἱ Λεδόντιοι τὴν πόλιν, καὶ ἄνθρωποι περὶ ἑβδομήκοντα οἱ οἰκοῦντες ἦσαν ἐπὶ τῷ Κηφισῷ· Λέδων δ' οὖν ὄνομα ταῖς οἰκήσεσίν ἐστιν αὐτῶν, καὶ ἐς τὸν Φωκέων σύλλογον κοινὸν τελεῖν 882
ἠξίωνται καὶ οὗτοι, καθάπερ γε καὶ οἱ Πανοπεῖς. Τῶν δὲ ἀνθρώπων οἳ οἰκοῦσιν ἐπὶ τῷ Κηφισῷ τεσσαράκοντά ἐστιν ἀνωτέρω σταδίοις Λέδοντος τῆς ἀρχαίας τὰ ἐρείπια, καὶ τὸ ὄνομα ἀπὸ ἀνδρὸς λαβεῖν τὴν πόλιν φασὶν
2 αὐτόχθονος. Κακῶν δὲ ἀπέλαυσαν μὲν ἀνιάτων καὶ ἄλλαι πόλεις δι' ἀδικίαν ἐπιχωρίων ἀνδρῶν· ἐς τελέαν δὲ ἀπώλειαν ὤλισθον Ἴλιον μὲν διὰ τὴν ἐς Μενέλαον ὕβριν τοῦ Ἀλεξάνδρου, Μιλήσιοι δὲ διὰ τὸ ἐς τὰς ἐπιθυμίας Ἑστιαίου πρόχειρον καὶ ἔρωτα ἄλλοτε μὲν τῆς ἐν Ἠδωνοῖς πόλεως, τοτὲ δὲ εἶναι Δαρείου σύμβουλον, ἄλλοτε δὲ ἐπανήκειν ἐς Ἰωνίαν. καὶ δὴ καὶ Λεδοντίοις Φιλόμηλος ἀσέβειαν τὴν ἑαυτοῦ δημοσίᾳ παρέσχε σφίσιν ἀναμάξασθαι.

3 2. Λίλαια δὲ ἡμέρας μὲν ὁδὸν καὶ ὥρᾳ χειμῶνος ἀπέχει Δελφῶν κατιοῦσι διὰ τοῦ Παρνασοῦ· στάδια δὲ ἐτεκμαιρόμεθα ὀγδοήκοντα εἶναι τῆς ὁδοῦ καὶ ἑκατόν. Τοὺς δὲ ἐνταῦθα ἀνθρώπους, καὶ ἐπειδὴ ἀνῳκίσθη αὐτοῖς ἡ πόλις, ἀτύχημα ἐκ Μακεδονίας δεύτερον σφᾶς ἔμελλεν ἐπιλήψεσθαι. πολιορκηθέντες γὰρ ὑπὸ Φιλίππου τοῦ Δημητρίου παρέστησαν κατὰ συνθήκας, καὶ ἐσήχθη φρουρά σφισιν ἐς τὴν πόλιν, ἕως οὗ ἀνὴρ ἐπιχώριος, ὄνομα δέ οἱ ἦν Πάτρων, τούς τε ἐν ἡλικίᾳ τῶν

πολιτῶν συνέστησεν ἐπὶ τὴν φρουράν, καὶ κρατήσας
τοὺς Μακεδόνας μάχῃ ἠνάγκασεν ἀπελθεῖν σφᾶς ὑπο-
σπόνδους· Λιλαιεῖς δὲ αὐτὸν ἀντὶ τῆς εὐεργεσίας ταύ-
της ἀνέθεσαν ἐς Δελφούς. Ἔστι δὲ ἐν Λιλαίᾳ θέατρον 4
καὶ ἀγορά τε καὶ λουτρά· ἔστι δὲ καὶ θεῶν ἱερά, Ἀπόλ-
λωνος, τὸ δὲ Ἀρτέμιδος· ἀγάλματα δὲ ὀρθὰ ἐργασίας τε
τῆς Ἀττικῆς καὶ τῆς Πεντέλησι λιθοτομίας. Λίλαιαν δὲ
τῶν καλουμένων Ναΐδων καὶ θυγατέρα εἶναι τοῦ Κηφι-
σοῦ, καὶ ἀπὸ τῆς νύμφης τὸ ὄνομα τεθῆναι τῇ πόλει φασί.
καὶ ὁ ποταμὸς ἐνταῦθα ἔχει τὰς πηγάς· ἄνεισι δὲ ἐκ τῆς 5
πηγῆς οὐ τὰ πάντα μεθ' ἡσυχίας, ἀλλ' ὡς τὰ πλείω συμ-
883 βαίνει μεσούσης μάλιστα τῆς ἡμέρας παρέχεσθαι φωνὴν
ἀνερχόμενον· εἰκάσαις ἂν μυκωμένῳ ταύρῳ τὸν ἦχον τοῦ
ὕδατος. ἔχει δὲ ἡ Λίλαια καὶ πρὸς τὰς τοῦ ἔτους ὥρας
μετοπώρου καὶ ἐν θέρει καὶ ἦρος ἐπιτηδείως· τὸν δὲ
χειμῶνα μὴ ὁμοίως ἤπιον γίνεσθαι κωλύει τὸ ὄρος ὁ
Παρνασός.

3. Χαράδρα δὲ εἴκοσιν ἀπωτέρω σταδίοις ἐστὶν 6
ὑπὲρ ὑψηλοῦ κειμένη κρημνοῦ, καὶ ὕδατος οἱ ἐνταῦθα
σπανίζουσιν ἄνθρωποι· ποτὸν δέ σφισι ποταμός ἐστι
Χάραδρος κατερχομένοις ὅσον τρία ἐπ' αὐτὸν στάδια·
ἐκδίδωσι δὲ ἐς τὸν Κηφισόν, καί μοι τὸ ὄνομα ἀπὸ τοῦ
ποταμοῦ φαίνεται τεθῆναι τοῦ Χαράδρου τῇ πόλει.
Χαραδραίοις δὲ Ἡρώων καλουμένων εἰσὶν ἐν τῇ ἀγορᾷ
βωμοί, καὶ αὐτοὺς οἱ μὲν Διοσκούρων, οἱ δὲ ἐπιχωρίων
εἶναί φασιν ἡρώων. 4. Γῆ δὲ διακεκριμένως ἀρίστη τῆς 7
Φωκίδος ἐστὶν ἡ παρὰ τὸν Κηφισὸν καὶ φυτεῦσαι καὶ
σπείρειν καὶ ἀνεῖναι νομάς· καὶ γεωργεῖται ταῦτα μάλι-
στα τῆς χώρας, ὥστε καὶ λόγος ἐστὶ πόλιν μὲν Παραπο-
ταμίους μὴ ὀνομασθῆναι, ἐπὶ δὲ τῶν παρὰ τὸν Κηφισὸν
γεωργούντων πεποιῆσθαι τὸ ἔπος,

οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον.

8 τούτῳ τῷ λόγῳ διάφορα μὲν ἐν τῇ Ἡροδότου συγγραφῇ, διάφορα δέ ἐστιν αὐτῷ καὶ ὅσα ἐπὶ ταῖς νίκαις ταῖς Πυθικαῖς μνημονεύουσιν· Ἀμφικτυόνες γὰρ Πύθια ἐτίθεσαν πρῶτον, καὶ Αἰχμέας Παραποτάμιος πυγμὴν ἐνίκησεν ἐν παισίν· ὡσαύτως δὲ Ἡρόδοτος καταλέγων τὰς πόλεις ὅσας βασιλεὺς Ξέρξης τῶν ἐν Φωκεῦσιν ἐνέπρησε, καὶ Παραποταμίους κατείλοχεν ἐν αὐταῖς πόλιν. οὐ μέντοι οἱ Παραποτάμιοί γε ὑπὸ Ἀθηναίων καὶ Βοιωτῶν ἀνῳκίσθησαν, ἀλλὰ ἐς τὰς ἄλλας πόλεις οἱ ἄνθρωποι κατενεμήθησαν ὑπό τε ἀσθενείας καὶ σπάνει χρημάτων. Παραποταμίων μὲν δὴ οὔτε ἐρείπια ἔτι ἦν, οὔτε ἔνθα τῆς χώρας ᾠκίσθη ἡ πόλις μνημονεύουσιν.

9 5. Ὁδὸς δὲ ἡ ἐς Ἀμφίκλειαν σταδίων ἐκ Λιλαίας ἐστὶν ἑξήκοντα. ταύτην τὴν Ἀμφίκλειαν ἐλυμήναντο οἵ τε ἐπιχώριοι τῷ ὀνόματι, καὶ Ἡρόδοτος μὲν Ἀμφίκαιαν ἐκάλεσεν ἑπόμενος τῷ ἀρχαιοτάτῳ τῶν λόγων, Ἀμφικ- 884
τυόνες δὲ δόγμα ἐπὶ τῇ τῶν πόλεων ἀπωλείᾳ τῶν ἐν Φωκεῦσιν ἐξενεγκόντες ὄνομα ἔθεντο αὐτῇ Ἀμφίκλειαν. Οἱ δὲ ἐπιχώριοι τοιάδε ἐπ' αὐτῇ λέγουσι, δυνάστην ἄνδρα ἐπιβουλὴν ἐχθρῶν ὑποπτεύσαντα ἐς νήπιον παῖδα καταθέσθαι τὸν παῖδα ἐς ἀγγεῖον, καὶ ἀποκρύψαι τῆς χώρας ἔνθα οἱ ἄδειαν ἔσεσθαι πλείστην ἠπίστατο· λύκον μὲν δὴ ἐπιχειρεῖν τῷ παιδί, δράκοντα δὲ ἰσχυρὰν
10 ἔχειν τὴν φρουρὰν ἐσπειραμένον περὶ τὸ ἀγγεῖον. ὡς δὲ ὁ πατὴρ ἦλθε τοῦ παιδός, τὸν δράκοντα ἐπιβουλεῦσαι τῷ παιδὶ ἐλπίζων ἀφίησι τὸ ἀκόντιον, καὶ ἐκεῖνόν τε καὶ ὁμοῦ τῷ δράκοντι τὸν παῖδα ἀπέκτεινε· διδαχθεὶς δὲ ὑπὸ τῶν ποιμαινόντων ὡς εὐεργέτην καὶ φύλακα τοῦ παιδὸς ἀπεκτονὼς εἴη, πυρὰν τῷ δράκοντι καὶ τῷ παιδὶ ἐποίησεν ἐν κοινῷ. τό τε δὴ χωρίον ἐοικέναι καὶ ἐς τόδε καιομένῃ πυρᾷ φασί, καὶ ἀπὸ τοῦ δράκοντος ἐκείνου τὴν πόλιν ἐθέλουσιν Ὀφιτείαν ὀνομασθῆναι.

ἃ μάλιστα ἄξιον Διονύσῳ δρῶσιν ὄργια, ἔσοδος δὲ ἐς 11
τὸ ἄδυτον οὐδὲ ἐν φανερῷ σφίσιν ἄγαλμα οὐκ ἔστι.
Λέγεται δὲ ὑπὸ τῶν Ἀμφικλειέων μάντιν τέ σφισι τὸν
θεὸν τοῦτον καὶ βοηθὸν νόσων καθεστηκέναι· τὰ μὲν
δὴ νοσήματα αὐτοῖς Ἀμφικλειεῦσι καὶ τοῖς προσοικοῦ-
σιν ἰᾶται δι' ὀνειράτων, πρόμαντις δὲ ὁ ἱερεύς ἐστι,
χρᾷ δὲ ἐκ τοῦ θεοῦ κάτοχος.

6. Ἀμφικλείας δὲ ἀπωτέρω σταδίοις πεντεκαίδεκά 12
ἐστι Τιθρώνιον ἐν πεδίῳ κείμενον· παρέχεται δὲ οὐδὲν
ἐς μνήμην. ἐκ Τιθρωνίου δὲ εἴκοσιν ἐς Δρυμαίαν στά-
διοι· καθ' ὅ τι δὲ αὕτη ἡ ὁδὸς καὶ ἡ ἐς Δρυμαίαν ἐξ
Ἀμφικλείας ἡ [εὐθεῖα] παρὰ τὸν Κηφισὸν συμμίσγουσιν,
ἔστιν Ἀπόλλωνος Τιθρωνεῦσιν ἐνταῦθα ἄλσος τε καὶ
βωμοί. πεποίηται δὲ καὶ ναός· ἄγαλμα δὲ οὐκ ἔστιν.
Ἀπέχει δὲ Ἀμφικλείας ἡ Δρυμαία σταδίους ὀγδοήκοντα
ἀποτραπέντι ἐς ἀριστεράν *** κατὰ Ἡροδότου τοὺς
835 λόγους, Ναυβολεῖς δὲ τὰ ἀρχαιότερα· καὶ οἰκιστὴν οἱ
ἐνταῦθα γενέσθαι φασὶ Φῶκον παῖδα τοῦ Αἰακοῦ. Δή-
μητρος δὲ Θεσμοφόρου Δρυμαίοις ἱερόν ἐστιν ἀρχαῖον,
καὶ ἄγαλμα ὀρθὸν λίθου πεποίηται· καὶ αὐτῇ Θεσμο-
φόρια ἑορτὴν ἄγουσιν ἐπέτειον.

XXXIV. Ἐλάτεια δὲ τῶν ἐν Φωκεῦσι μεγίστη πόλεών
ἐστι τῶν ἄλλων μετά γε τοὺς Δελφούς· κεῖται δὲ κατὰ
Ἀμφίκλειαν, καὶ ἐς αὐτὴν ὀγδοήκοντα καὶ ἑκατὸν ὁδός
ἐστιν ἐξ Ἀμφικλείας σταδίων, πεδιὰς ἡ πολλή, καὶ αὖ-
θις οὐκ ἐπὶ πολὺ ἀνάντης ἡ ἐγγυτάτω τοῦ Ἐλατέων
ἄστεως. ῥεῖ δὲ ἐν τῇ πεδιάδι ὁ Κηφισός· αἱ δὲ ὠτίδες
καλούμεναι παρὰ τὸν Κηφισὸν νέμονται μάλιστα ὀρνί-
θων. 2. Ἐλατεῦσι δὲ ἐξεγένετο μὲν Κάσσανδρον καὶ 2
τὴν Μακεδόνων ἀπώσασθαι στρατιάν, ὑπῆρξε δὲ καὶ
Ταξίλου Μιθριδάτῃ στρατηγοῦντος τὸν πόλεμόν σφισιν
ἐκφυγεῖν· ἀντὶ τούτου δὲ τοῦ ἔργου Ῥωμαῖοι δεδώκασιν

αὐτοῖς ἐλευθέρους ὄντας ἀτελῆ νέμεσθαι τὴν χώραν.
Ἀμφισβητοῦσι δὲ οὗτοι ξενικοῦ γένους, καὶ Ἀρκάδες
φασὶν εἶναι τὸ ἀρχαῖον· Ἔλατον γὰρ τὸν Ἀρκάδος, ἡνίκα
ἐπὶ τὸ ἱερὸν Φλεγύαι τὸ ἐν Δελφοῖς ἐστρατεύσαντο,
ἀμῦναί τε τῷ θεῷ καὶ ἐν τῇ Φωκίδι ὁμοῦ τῷ στρατεύ-
ματι αὐτὸν καταμείναντα Ἐλατείας οἰκιστὴν γενέσθαι.
3 Ἐν δὲ ταῖς Φωκέων πόλεσιν ἃς ὁ Μῆδος ἐνέπρησεν,
ἀριθμῆσαι καὶ τὴν Ἐλάτειαν ἔστιν ἐν ταύταις. συμφο-
ραὶ δὲ αἱ μὲν πρὸς Φωκέας τοὺς ἄλλους γεγόνασί σφι-
σιν ἐοικυῖαι· τὰ δὲ καὶ ἰδίᾳ τοῖς Ἐλατεῦσιν ἐκ Μακε-
δόνων παρεσκεύασεν ὁ δαίμων. καὶ ἐπὶ μὲν Κασσάνδρου
πολεμήσαντος Ὀλυμπιόδωρος κατέστη μάλιστα αἴτιος
ἄπρακτον τοῖς Μακεδόσι γενέσθαι πολιορκίαν· Φίλιπ-
πος δὲ ὁ Δημητρίου τόν τε ἐν Ἐλατείᾳ δῆμον πρὸς τὸ
ἔσχατον δέους ἤγαγε, καὶ ὑπηγάγετο ἅμα τοὺς δυνα-
4 τωτέρους δωρεᾷ. Τίτος μὲν δὴ ὁ ἄρχων Ῥωμαίων, τὸ 886
γὰρ δὴ Ἑλληνικὸν ἅπαν ἐλευθερώσων ἀπέσταλτο ἐκ
Ῥώμης, πολιτείαν τε Ἐλατεῦσιν ἀποδώσειν τὴν ἀρχαίαν
ἐπηγγέλλετο, καὶ δι᾽ ἀγγέλων ἐπεκηρυκεύετό σφισιν
ἀπὸ Μακεδόνων ἀφίστασθαι· οἱ δὲ ὑπὸ ἀγνωμοσύνης,
ὁ δῆμος ἢ οἱ ἔχοντες τὰς ἀρχάς, Φιλίππῳ τε ἦσαν πιστοὶ
καὶ ὑπὸ τοῦ Ῥωμαίου πολιορκίᾳ παρέστησαν. Χρόνῳ
δὲ οἱ Ἐλατεῖς ὕστερον Ταξίλου τε Μιθριδάτῃ στρατη-
γοῦντος καὶ τῶν ἐκ τοῦ Πόντου βαρβάρων ἀντέσχον τῇ
πολιορκίᾳ· ἐπὶ τούτῳ δὲ ἐλευθέρους εἶναι τῷ ἔργῳ
5 δέδοταί σφισιν ὑπὸ Ῥωμαίων. Τῶν δὲ Κοστοβώκων τὸ
ληστικὸν τὸ κατ᾽ ἐμὲ τὴν Ἑλλάδα ἐπιδραμὸν ἀφίκετο
καὶ ἐπὶ τὴν Ἐλάτειαν· ἔνθα δὴ ἀνὴρ Μνησίβουλος λό-
χον τε περὶ αὐτὸν ἀνδρῶν συνέστησε, καὶ καταφονεύσας
πολλοὺς τῶν βαρβάρων ἔπεσεν ἐν τῇ μάχῃ. Οὗτος ὁ
Μνησίβουλος δρόμου νίκας καὶ ἄλλας ἀνείλετο, καὶ
ὀλυμπιάδι πέμπτῃ πρὸς ταῖς τριάκοντά τε καὶ διακο-

σίαις σταδίου καὶ τοῦ σὺν τῇ ἀσπίδι διαύλου· ἐν Ἐλα-
τείᾳ δὲ κατὰ τὴν ὁδὸν τοῦ δρομέως, Μνησιβούλου χαλ-
κοῦς ἕστηκεν ἀνδριάς. 3. Ἡ δὲ ἀγορὰ αὐτή τέ ἐστι θέας 6
ἀξία καὶ ὁ Ἔλατος ἐπειργασμένος στήλῃ· σαφῶς δὲ οὐκ
οἶδα εἴτε τιμῶντες οἷα οἰκιστὴν εἴτε καὶ μνήματος ἐπί-
θημα ἐποιήσαντο τὴν στήλην. Τῷ δὲ Ἀσκληπιῷ ναὸς
ᾠκοδόμηται καὶ ἄγαλμα γένεια ἔχον ἐστί· τοῖς δὲ ἐργα-
σαμένοις τὸ ἄγαλμα ὀνόματα μὲν Τιμοκλῆς καὶ Τιμαρ-
χίδης, γένους δέ εἰσι τοῦ Ἀττικοῦ. Ἐπὶ τῷ πέρατι δὲ
τῷ ἐν δεξιᾷ τῆς πόλεως θέατρόν τέ ἐστι καὶ χαλκοῦν
Ἀθηνᾶς ἄγαλμα ἀρχαῖον· ταύτην τὴν θεὸν λέγουσιν
ἀμῦναί σφισιν ἐπὶ τοὺς ὁμοῦ Ταξίλῳ βαρβάρους.

4. Ἐλατείας δὲ ὅσον σταδίους εἴκοσιν ἀφέστηκεν 7
Ἀθηνᾶς ἐπίκλησιν Κραναίας ἱερόν, ἡ δὲ ὁδὸς ἐπὶ το-
σοῦτον ἀναντεστέρα ὡς ἀνιᾶν τε μηδὲν καὶ λεληθέναι
μᾶλλον αὐτῆς τὸ ἄναντες. λόφος δὲ ἐπὶ τῆς ὁδοῦ τῷ
πέρατι τὰ πλείω μὲν ἀπότομος, οὐ μέντοι ἄγαν ἢ μεγέ-
887 θους ἔχων ἐστὶν ἢ ὕψους· ἐπὶ τούτῳ τῷ λόφῳ τὸ ἱερὸν
πεποίηται, καὶ στοαί τέ εἰσι καὶ οἰκήσεις διὰ τῶν στοῶν,
ἔνθα οἰκοῦσιν οἷς τὴν θεὸν θεραπεύειν καθέστηκε, καὶ
ἄλλοις καὶ μάλιστα τῷ ἱερωμένῳ. τὸν δὲ ἱερέα ἐκ παί- 8
δων αἱροῦνται τῶν ἀνήβων, πρόνοιαν ποιούμενοι πρό-
τερον τῆς ἱερωσύνης ἐξήκειν οἱ τὸν χρόνον πρὶν ἢ ἡβῆ-
σαι· ἱεροῦται δὲ ἔτη συνεχῆ πέντε, ἐν οἷς τήν τε ἄλλην
δίαιταν ἔχει παρὰ τῇ θεῷ, καὶ λουτρὰ αἱ ἀσάμινθοι
κατὰ τρόπον εἰσὶν αὐτῷ τὸν ἀρχαῖον. Τὸ δὲ ἄγαλμα
ἐποίησαν μὲν καὶ τοῦτο οἱ Πολυκλέους παῖδες, ἔστι δὲ
ἐσκευασμένον ὡς ἐς μάχην, καὶ ἐπείργασται τῇ ἀσπίδι
τῶν Ἀθήνῃσι μίμημα ἐπὶ τῇ ἀσπίδι τῆς καλουμένης ὑπὸ
Ἀθηναίων Παρθένου.

XXXV. Ἐς Ἄβας δὲ ἀφικέσθαι καὶ ἐς Ὑάμπολιν ἔστι
μὲν [καὶ] ἐξ Ἐλατείας ὀρεινὴν ὁδὸν ἐν δεξιᾷ τοῦ Ἐλα-

τέων ἄστεως· ἡ δὲ ἐπὶ Ὀποῦντα λεωφόρος ἡ ἐξ Ὀρχομενοῦ καὶ ἐς ταύτας φέρει τὰς πόλεις. ἰόντι οὖν ἐς Ὀποῦντα ἐξ Ὀρχομενοῦ καὶ ἐκτραπέντι οὐ πολὺ ἐς ἀριστερὰν ὁδὸς ἡ ἐς Ἄβας. Οἱ δὲ ἐν ταῖς Ἄβαις ἐς γῆν τὴν Φωκίδα λέγουσιν ἀφικέσθαι ἐξ Ἄργους, καὶ τὸ ὄνομα ἀπὸ Ἄβαντος τοῦ οἰκιστοῦ λαβεῖν τὴν πόλιν, τὸν δὲ Λυγκέως τε καὶ Ὑπερμνήστρας τῆς Δαναοῦ παῖδα εἶναι. 2. Ἀπόλλωνος δὲ ἱερὰς νενομίκασιν εἶναι καὶ Ἄβας ἐκ παλαιοῦ, καὶ χρηστήριον καὶ αὐτόθι ἦν Ἀπόλλωνος.
2 Θεῷ δὲ τῷ ἐν Ἄβαις οὐχ ὁμοίως Ῥωμαῖοί τε ἀπένειμαν τὰ ἐς τιμὴν καὶ ὁ Πέρσης, ἀλλὰ Ῥωμαῖοι μὲν εὐσεβείᾳ τῇ ἐς τὸν Ἀπόλλωνα Ἀβαίοις δεδώκασιν αὐτονόμους σφᾶς εἶναι, στρατιὰ δὲ ἡ μετὰ Ξέρξου κατέπρησε καὶ τὸ ἐν Ἄβαις ἱερόν. Ἑλλήνων δὲ τοῖς ἀντιστᾶσι τῷ βαρβάρῳ τὰ κατακαυθέντα ἱερὰ μὴ ἀνιστάναι σφίσιν ἔδοξεν, ἀλλὰ ἐς τὸν πάντα ὑπολείπεσθαι χρόνον τοῦ ἔχθους ὑπομνήματα· καὶ τοῦδε ἕνεκα οἵ τε ἐν τῇ Ἁλιαρτίᾳ ναοὶ καὶ Ἀθηναίοις τῆς Ἥρας ἐπὶ ὁδῷ τῇ Φαληρικῇ καὶ ὁ ἐπὶ Φαλήρῳ τῆς Δήμητρος καὶ κατ' ἐμὲ ἔτι ἡμί-
3 καυτοι μένουσι. τοιαύτην θέαν καὶ τοῦ ἐν Ἄβαις ἱεροῦ 888
τότε γε εἶναι δοκῶ, ἐς ὃ ἐν τῷ πολέμῳ τῷ Φωκικῷ βιασθέντας μάχῃ Φωκέων ἄνδρας καὶ ἐς Ἄβας ἐκπεφευγότας αὐτούς τε οἱ Θηβαῖοι τοὺς ἱκέτας καὶ τὸ ἱερόν, δεύτερον δὴ οὗτοι μετὰ Μήδους, ἔδοσαν πυρί· εἱστήκει δ' οὖν καὶ ἐς ἐμὲ ἔτι οἰκοδομημάτων ἀσθενέστατον ὁπόσα δὴ ἡ φλὸξ ἐλυμήνατο, ἅτε ἐπὶ τῷ Μηδικῷ προλωβησαμένῳ πυρὶ αὖθις ὑπὸ τοῦ Βοιωτίου πυρὸς κατειργασμένον. 3. Παρὰ δὲ τὸν ναὸν τὸν μέγαν ἐστὶν ἄλλος ναός, ἀποδέων ἐκείνου μέγεθος· βασιλεὺς δὲ Ἀδριανὸς ἐποίησε τῷ Ἀπόλλωνι· τὰ δὲ ἀγάλματα ἀρχαιότερα καὶ αὐτῶν ἐστὶν Ἀβαίων ἀνάθημα, χαλκοῦ δὲ εἴργασται καὶ ὁμοίως ἐστὶν ὀρθά, Ἀπόλλων καὶ Λητώ τε καὶ Ἄρ-

τεμις. Ἀβαίοις δὲ ἔστι μὲν θέατρον, ἔστι δὲ καὶ ἀγορά
σφισι, κατασκευῆς ἀμφότερα ἀρχαίας.

4. Ἐπανελθόντα δὲ ἐς τὴν ὁδὸν τὴν ἐς Ὀποῦντα 5
εὐθεῖαν Ὑάμπολις τὸ ἀπὸ τούτου σε ἐκδέξεται. τῶν δὲ
ἐνταῦθα ἀνθρώπων καὶ αὐτὸ κατηγορεῖ τὸ ὄνομα οἵτι-
νες ἦσαν ἐξ ἀρχῆς καὶ ὁπόθεν ἐξαναστάντες ἀφίκοντο ἐς
ταύτην τὴν χώραν· Ὕαντες γὰρ οἱ ἐκ Θηβῶν Κάδμον
καὶ τὸν σὺν ἐκείνῳ φυγόντες στρατὸν ἀφίκοντο ἐν-
ταῦθα. τὰ μὲν δὴ ἀρχαιότερα ὑπὸ τῶν προσχώρων ἐκα-
λοῦντο Ὑάντων πόλις, χρόνῳ μέντοι ὕστερον Ὑάμπολιν
ἐξενίκησεν ὀνομασθῆναι. Ἅτε δὲ καὶ βασιλέως Ξέρξου 6
καταπρήσαντος τὴν πόλιν καὶ αὖθις Φιλίππου κατασκά-
ψαντος, ὅμως τὰ ὑπολειπόμενα ἦν ἀγορά τε ἀρχαίας
κατασκευῆς καὶ βουλευτήριον, οἴκημα οὐ μέγα, καὶ
θέατρον οὐ πόρρω τῶν πυλῶν. Ἀδριανὸς δὲ βασιλεὺς
στοὰν ᾠκοδομήσατο, καὶ ἐπώνυμος ἡ στοὰ τοῦ ἀναθέν-
τος βασιλέως ἐστί. φρέαρ δέ σφισίν ἐστιν ἕν· ἀπὸ τού-
του μόνου καὶ πίνουσι καὶ λούονται, ἀπ᾽ ἄλλου δὲ
ἔχουσιν οὐδενός, πλήν γε δὴ ὥρᾳ χειμῶνος τὸ ἐκ τοῦ
θεοῦ. Σέβονται δὲ μάλιστα Ἄρτεμιν, καὶ ναὸς Ἀρτέμι- 7
δός ἐστιν αὐτοῖς· τὸ δὲ ἄγαλμα ὁποῖόν τί ἐστιν οὐκ ἐδή-
λωσα· δὶς γὰρ καὶ οὐ πλέον ἑκάστου ἐνιαυτοῦ τὸ ἱερὸν
ἀνοιγνύναι νομίζουσιν. ὁπόσα δ᾽ ἂν τῶν βοσκημάτων
889 ἱερὰ ἐπονομάσωσιν εἶναι τῇ Ἀρτέμιδι, ἄνευ νόσου ταῦ-
τα καὶ πιότερα τῶν ἄλλων ἐκτρέφεσθαι λέγουσιν.

5. Ἐσβολὴ δὲ ἐκ Χαιρωνείας ἐς γῆν τὴν Φωκίδα οὐ 8
μόνον ἡ εὐθεῖά ἐστιν ἐς Δελφούς, ἡ διά τε Πανοπέως
καὶ παρὰ τὴν Δαυλίδα καὶ ὁδὸν τὴν Σχιστήν· φέρει δὲ
ἐκ Χαιρωνείας καὶ ἑτέρα τραχεῖά τε ὁδὸς καὶ ὀρεινὴ τὰ
πλέονα ἐς πόλιν Φωκέων Στεῖριν· μῆκος δὲ εἴκοσι στά-
διοι τῆς ὁδοῦ καὶ ἑκατόν. Οἱ δὲ ἐνταῦθά φασιν οὐ Φω-
κεῖς, Ἀθηναῖοι δὲ εἶναι τὰ ἄνωθεν, καὶ ἐκ τῆς Ἀττικῆς

ὁμοῦ Πετεῷ τῷ Ὀρνέως ἀφικέσθαι διωχθέντι ὑπὸ Αἰ-
γέως ἐξ Ἀθηνῶν· ὅτι δὲ τῷ Πετεῷ τὸ πολὺ ἐκ τοῦ δήμου
τοῦ Στειριέων ἠκολούθησεν, ἐπὶ τούτῳ κληθῆναι τὴν
9 πόλιν Στεῖριν. Στειρίταις δέ ἐστιν ἐπὶ ὑψηλοῦ καὶ πε-
τρώδους ἡ οἴκησις· σπανίζουσιν οὖν κατὰ τοῦτο ὕδατος
θέρους ὥρᾳ· φρέατα γὰρ αὐτόθι οὔτε πολλὰ οὔτε ὕδωρ
παρεχόμενά ἐστιν ἐπιτήδειον. ταῦτα μὲν δὴ λουτρά σφισι
καὶ ὑποζυγίοις ποτὸν γίνεται· τὸ δὲ ὕδωρ οἱ ἄνθρωποι
τὸ πότιμον ὅσον στάδια τέσσαρα ὑποκαταβαίνοντες λαμ-
βάνουσιν ἐκ πηγῆς· ἡ δὲ ἐν πέτραις ἐστὶν ὀρωρυγμένη,
10 καὶ ἀρύονται κατιόντες ἐς τὴν πηγήν. Δήμητρος δὲ ἐπί-
κλησιν Στειρίτιδος ἱερόν ἐστιν ἐν Στεῖρι· πλίνθου μὲν
τῆς ὠμῆς τὸ ἱερόν, λίθου δὲ τοῦ Πεντέλησι τὸ ἄγαλμα,
δᾷδας ἡ θεὸς ἔχουσα. παρὰ δὲ αὐτῇ κατειλημμένον ταινί-
αις ἄγαλμα ἀρχαῖον εἴ τι ἄλλο, ὁπόσα Δήμητρι ἐς τιμήν.

XXXVI. Ἐς δὲ Ἄμβρωσον στάδιοι περὶ ἑξήκοντά
εἰσιν ἐκ Στείρεως· πεδιὰς ἡ ὁδός, ὀρῶν ἐν μέσῳ πεδίον
κείμενον. ἄμπελοι δὲ τὸ πολύ εἰσι τοῦ πεδίου, καὶ ἐν
γῇ τῇ Ἀμβρωσέων οὐ συνεχεῖς μὲν ὥσπερ αἱ ἄμπελοι, 890
πεφύκασι μέντοι καὶ αἱ θάμνοι. τὴν δὲ θάμνον ταύτην
Ἴωνες μὲν καὶ τὸ ἄλλο Ἑλληνικὸν κόκκον, Γαλάται δὲ
οἱ ὑπὲρ Φρυγίας φωνῇ τῇ ἐπιχωρίῳ σφίσιν ὀνομάζουσιν
ὗς. γίνεται δὲ αὕτη μέγεθος μὲν ἡ κόκκος κατὰ τὴν
ῥάμνον καλουμένην, φύλλα δὲ μελάντερα μὲν καὶ μαλα-
κώτερα ἢ ἡ σχῖνος, τὰ μέντοι ἄλλα ἐοικότα ἔχει τῇ
3 σχίνῳ. ὁ δὲ αὐτῆς καρπὸς ὅμοιος τῷ καρπῷ τῆς στρύ-
χνου, μέγεθος δέ ἐστι κατὰ ὄροβον. γίνεται δέ τι ἐν τῷ
καρπῷ τῆς κόκκου βραχὺ ζῷον· τοῦτο εἰ ἀφίκοιτο ἐς
τὸν ἀέρα πεπανθέντος τοῦ καρποῦ, πέτεταί τε αὐτίκα
καὶ ἐοικὸς κώνωπι φαίνοιτο ἄν· νῦν δὲ πρότερον, πρὶν
ἢ τὸ ζῷον κινηθῆναι, συλλέγουσι τῆς κόκκου τὸν καρ-
πόν, καὶ ἔστι τοῖς ἐρίοις ἡ βαφὴ τὸ αἷμα τοῦ ζῴου.

2. Ἡ δὲ Ἄμβρωσσος κεῖται μὲν ὑπὸ τὸ ὄρος τὸν Παρ- 3
νασόν, τὰ ἐπέκεινα δὲ ἢ Δελφοί· τεθῆναι δὲ τὸ ὄνομα
τῇ πόλει ἀπὸ ἥρωός φασιν Ἀμβρώσσου. Θηβαῖοι δὲ ἐς
τὸν Μακεδόνων καὶ Φιλίππου καθιστάμενοι πόλεμον
περιέβαλον τῇ Ἀμβρώσσῳ διπλοῦν τεῖχος· τὸ δέ ἐστιν
ἐπιχωρίου λίθου, χρόαν μέλανος, ἐς τὰ μάλιστα ἰσχυ-
ροῦ· κύκλος δὲ ἑκάτερος τοῦ τείχους πλάτος μὲν ἀπο-
δέων ὀλίγον ἐστὶν ὀργυιᾶς, τὸ δὲ ὕψος ἐς ἡμίσειάν τε
καὶ δύο ὀργυιάς, ὅπου μὴ τὸ τεῖχος πεπόνηκε· διάστημα 4
δὲ ἀπὸ τοῦ προτέρου τῶν κύκλων ἐπὶ τὸν δεύτερόν
ἐστιν ὀργυιά· κατασκευὴ δὲ πύργων ἢ ἐπάλξεων ἢ εἴ τι
ἄλλο ἐς εὐπρέπειαν τείχους, παρεῖται τὰ πάντα σφίσιν
ἅτε τειχίζουσιν ἐπὶ μόνῳ τῷ αὐτίκα ἀμύνεσθαι. Ἔστι
δὲ ἀγορά τε Ἀμβρωσσεῦσιν οὐ μεγάλη, καὶ ἀνδριάντων
ἐν αὐτῇ λίθου πεποιημένων κατεάγασιν οἱ πολλοί.

3. Τραπέντι δὲ ἐπὶ Ἀντίκυραν ἀνάντης τὰ πρῶτά 5
ἐστιν ὁδός· ἀναβάντι δὲ ὅσον δύο στάδια ὁμαλές τε
χωρίον καὶ ἐν δεξιᾷ τῆς ὁδοῦ Δικτυνναίας ἐπίκλησιν
ἱερόν ἐστιν Ἀρτέμιδος. ταύτην οἱ Ἀμβρωσσεῖς ἄγουσι
891 μάλιστα ἐν τιμῇ· τῷ δὲ ἀγάλματι ἐργασία τέ ἐστιν Αἰ-
γιναία, καὶ μέλανος τοῦ λίθου πεποίηται. τὸ δὲ ἀπὸ
τοῦ ἱεροῦ τῆς Δικτυνναίας κατάντης ὁδὸς ἐς Ἀντίκυραν
πᾶσά ἐστι. Τὰ δὲ ἀρχαιότερα ὄνομα εἶναι Κυπάρισσον
τῇ πόλει φασί, καὶ Ὅμηρον ἐν Φωκέων καταλόγῳ τὸ
ὄνομα θελῆσαι θέσθαι γε αὐτόν, ὅτι ἤδη τηνικαῦτα
ἐκαλεῖτο Ἀντίκυρα· εἶναι γὰρ δὴ τὸν Ἀντικυρέα κατὰ
Ἡρακλέα ἡλικίαν. Κεῖται μὲν δὴ ἡ πόλις κατὰ Μεδεῶ- 6
νος τὰ ἐρείπια· ἐδήλωσα δὲ ἀρχομένης τῆς ἐς Φωκέας
*** ἐς τὸ ἱερὸν ἀσεβῆσαι τὸ ἐν Δελφοῖς. Ἀντικυρέας
δὲ ἐποίησε μὲν ἀναστάτους καὶ ὁ Ἀμύντου Φίλιππος,
ἐποίησε δὲ καὶ δεύτερα Ὀτίλιος ὁ Ῥωμαῖος, ὅτι ἦσαν

ὑπήκοοι καὶ οὗτοι Φιλίππου τοῦ Δημητρίου βασιλεύον-
τος Μακεδόνων· ὁ δὲ ἐπὶ τὸν Φίλιππον ἀμύνειν Ἀθη-
7 ναίοις ὁ Ὀτίλιος ἀπέσταλτο ἐκ Ῥώμης. 4. Τὰ δὲ ὄρη τὰ
ὑπὲρ τὴν Ἀντίκυραν πετρώδη τε ἄγαν ἐστί, καὶ ἐν αὐ-
τοῖς φύεται μάλιστα ὁ ἐλλέβορος. ὁ μὲν αὐτοῦ μέλας
χωρεῖται ἀνθρώποις καὶ ἔστι γαστρὶ καθάρσιον, ὁ δὲ
ἕτερος ὁ λευκὸς δι᾽ ἐμέτου καθαίρειν πέφυκε· τὸ δὲ
φάρμακον τὸ ἐς τὴν κάθαρσιν ἡ τοῦ ἐλλεβόρου ῥίζα
8 ἐστίν. Ἀντικυρεῦσι δὲ εἰσὶ μὲν ἀνδριάντες ἐν τῇ ἀγορᾷ
χαλκοῖ, ἔστι δέ σφισιν ἐπὶ τῷ λιμένι Ποσειδῶνι οὐ μέγα
ἱερόν, λογάσιν ᾠκοδομημένον λίθοις· κεκονίαται δὲ τὰ 892
ἐντός. τὸ δὲ ἄγαλμα ὀρθὸν χαλκοῦ πεποιημένον, βέ-
βηκε δὲ ἐπὶ δελφῖνι τῷ ἑτέρῳ τῶν ποδῶν· κατὰ τοῦτο
δὲ ἔχει καὶ τὴν χεῖρα ἐπὶ τῷ μηρῷ, ἐν δὲ τῇ ἑτέρᾳ χειρὶ
9 τρίαινά ἐστιν αὐτῷ. Τοῦ γυμνασίου δὲ ἐν ᾧ καὶ τὰ
λουτρά σφισι πεποίηται, τούτου πέραν ἄλλο γυμνάσιόν
ἐστιν ἀρχαῖον· ἀνδριὰς δὲ ἕστηκεν ἐν αὐτῷ χαλκοῦς·
φησὶ δὲ ἐπ᾽ αὐτῷ τὸ ἐπίγραμμα Ξενόδαμον παγκρατια-
στὴν Ἀντικυρέα ἐν ἀνδράσιν Ὀλυμπικὴν ἀνῃρῆσθαι νί-
κην. εἰ δὲ ἀληθεύει τὸ ἐπίγραμμα, ὀλυμπιάδι τῇ πρώτῃ
μετὰ δέκα καὶ διακοσίας φαίνοιτο ἂν τὸν κότινον ὁ Ξενό-
δαμος εἰληφώς· αὕτη δὲ ἐν τοῖς Ἠλείων γράμμασι παρ-
10 εῖται μόνη πασῶν ἡ ὀλυμπιάς. Ἔστι δὲ ὑπὲρ τὴν ἀγορὰν
ἐν φρέατι ὕδατος πηγή· σκέπη δὲ ἀπὸ ἡλίου τῷ φρέατι
ὄροφός τε καὶ ἀνέχοντες τὸν ὄροφον κίονες. ἔστι δὲ οὐ
πολὺ ἀνωτέρω τοῦ φρέατος λίθοις τοῖς ἐπιτυχοῦσιν ᾠκο-
δομημένον μνῆμα· ταφῆναι δέ φασιν ἐνταῦθα τοὺς Ἰφί-
του παῖδας, τὸν μὲν ἀνασωθέντα ἐξ Ἰλίου καὶ ἀποθα-
νόντα ἐν τῇ οἰκείᾳ· Σχεδίῳ δὲ ἐν μὲν γῇ τῇ Τρῳάδι τὴν
τελευτὴν συμβῆναι λέγουσιν, ἀχθῆναι δὲ οἴκαδε καὶ
τούτου τὰ ὀστᾶ.

XXXVII. Τῆς πόλεως δὲ ἐν δεξιᾷ, δύο μάλιστα προ-

ἐλθόντι ἀπ' αὐτῆς σταδίους, πέτρα τέ ἐστιν ὑψηλή, μοῖρα ὄρους ἡ πέτρα, καὶ ἱερὸν ἐπ' αὐτῆς πεποιημένον ἐστὶν Ἀρτέμιδος· ἔργον τῶν Πραξιτέλους, δᾷδα ἔχουσα τῇ δεξιᾷ καὶ ὑπὲρ τῶν ὤμων φαρέτραν· παρὰ δὲ αὐτὴν κύων ἐν ἀριστερᾷ· μέγεθος δὲ ὑπὲρ τὴν μεγίστην γυναῖκα τὸ ἄγαλμα.

2. Τῇ δὲ γῇ τῇ Φωκίδι ἐστὶν ὅμορος ἣ ὀνομάζεται μὲν ἀπὸ Βούλωνος ἀγαγόντος τὴν ἀποικίαν ἀνδρός, συνῳκίσθη δὲ ἐκ πόλεων τῶν ἐν τῇ ἀρχαίᾳ Δωρίδι. λέγονται δὲ οἱ Βούλιοι Φιλομήλου καὶ Φωκέων * * * σύλλογον τὸν κοινόν. Ἐς δὲ τὴν Βοῦλιν ἐκ μὲν τῆς Βοιωτίας Θίσβης σταδίων ἐστὶν ὁδὸς ὀγδοήκοντα, ἐξ Ἀντικύρας δὲ τῆς Φωκέων δι' ἠπείρου μὲν καὶ εἰ ἀρχήν ἐστιν οὐκ οἶδα· οὕτω δύσβατα ὄρη καὶ τραχέα τὰ
893 μεταξὺ Ἀντικύρας τέ ἐστι καὶ Βούλιδος· [ἐς δὲ τὸν] * * *
λιμένα σταδίων ἐξ Ἀντικύρας ἐστὶν ἑκατόν, τὰ δὲ ἀπὸ τοῦ λιμένος στάδια ὁδοῦ τῆς πεζῆς τῆς ἐς Βοῦλιν ἑπτὰ
εἶναι μάλιστα εἰκάζομεν. 3. Κάτεισι δὲ καὶ ποταμὸς 3
ἐς θάλασσαν ταύτῃ χείμαρρος, ὃν οἱ ἐπιχώριοι ὀνομάζουσιν Ἡράκλειον. κεῖται δὲ ἐπὶ ὑψηλοῦ τε ἡ Βοῦλις καὶ ἐν παράπλῳ περαιουμένοις ἐξ Ἀντικύρας ἐς Λέχαιον τὸ Κορινθίων. Οἱ δὲ ἄνθρωποι οἱ ἐνταῦθα πλέον ἡμίσεις κόχλων ἐς βαφὴν πορφύρας εἰσὶν ἁλιεῖς. Κατασκευὴ δὲ ἡ ἐν τῇ Βούλιδι οὔτε ἡ ἄλλη θαύματος πολλοῦ, καὶ ἱερὰ θεῶν ἐστιν Ἀρτέμιδος, τὸ δὲ αὐτῶν Διονύσου· τὰ δὲ ἀγάλματα ξύλου μέν ἐστιν εἰργασμένα, ὅστις δὲ ἦν ὁ ποιήσας οὐχ οἷοί τε ἐγενόμεθα συμβαλέσθαι. θεῶν δὲ ὅντινα οἱ Βούλιοι σέβουσι μάλιστα, Μέγιστον μὲν ὀνομάζουσι, Διὸς δὲ κατὰ ἡμετέραν δόξαν ἐστὶν ἐπίκλησις. καὶ πηγὴ Βουλίοις ἐστὶ καλουμένη Σαύνιον.

4. Ἐς δὲ Κίρραν τὸ ἐπίνειον Δελφῶν ὁδὸς μὲν 4
σταδίων ἑξήκοντά ἐστιν ἐκ Δελφῶν· καταβάντι δὲ ἐς

τὸ πεδίον ἱππόδρομός τέ ἐστι καὶ ἀγῶνα Πύθια ἄγουσιν ἐνταῦθα τὸν ἱππικόν. τὰ μὲν δὴ ἐς τὸν ἐν Ὀλυμπίᾳ Ταράξιππον ἐδήλωσέ μοι τὰ ἐς Ἠλείους τοῦ λόγου· ὁ δὲ ἱππόδρομος ἔοικε τοῦ Ἀπόλλωνος τάχα μέν που καὶ αὐτὸς τῶν ἱππευόντων τινὰ ἀνιᾶσαι, ἅτε ἀνθρώποις τοῦ δαίμονος ὁμοίως ἐπὶ ἔργῳ παντὶ καὶ ἀμείνω καὶ τὰ χείρω νέμοντος· οὐ μέντοι καὶ αὐτὸς ταραχὴν τοῖς ἵπποις ὁ ἱππόδρομος οὔτε κατὰ αἰτίαν ἥρωος, οὔτε ἐπ'
5 ἄλλῃ πέφυκεν ἐργάζεσθαι προφάσει. Τὸ δὲ πεδίον τὸ ἀπὸ τῆς Κίρρας ψιλόν ἐστιν ἅπαν, καὶ φυτεύειν δένδρα οὐκ ἐθέλουσιν, ἢ ἔκ τινος ἀρᾶς ἢ ἀχρεῖον τὴν γῆν ἐς δένδρων τροφὴν εἰδότες. Λέγεται δὲ ἐς τὴν Κίρραν * * * καὶ ἀπὸ τῆς Κίρρας τὸ ὄνομα τὸ ἐφ' ἡμῶν τεθῆναι τῷ χωρίῳ φασίν. Ὅμηρος μέντοι Κρῖσαν ἔν τε Ἰλιάδι ὁμοίως καὶ ὕμνῳ τῷ ἐς Ἀπόλλωνα ὀνόματι τῷ ἐξ ἀρχῆς 894
καλεῖ τὴν πόλιν. Χρόνῳ δὲ ὕστερον οἱ ἐν τῇ Κίρρᾳ ἄλλα τε ἠσέβησαν ἐς τὸν Ἀπόλλωνα καὶ ἀπετέμνοντο
6 τοῦ θεοῦ τῆς χώρας. πολεμεῖν οὖν πρὸς τοὺς Κιρραίους ἔδοξεν Ἀμφικτυόσι, καὶ Κλεισθένην τε Σικυωνίων τυραννοῦντα προεστήσαντο ἡγεμόνα εἶναι καὶ Σόλωνα ἐξ Ἀθηνῶν ἐπηγάγοντο συμβουλεύειν. χρωμένοις δέ σφισιν ὑπὲρ νίκης ἀνεῖπεν ἡ Πυθία,

οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
πρίν κεν ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης
κῦμα ποτικλύζῃ κελαδοῦν ἐπὶ οἴνοπα πόντον.

5. Ἔπεισεν οὖν ὁ Σόλων καθιερῶσαι τῷ θεῷ τὴν Κιρραίαν, ἵνα δὴ τῷ τεμένει τῷ Ἀπόλλωνος γένηται γείτων
7 ἡ θάλασσα. Εὑρέθη δὲ καὶ ἕτερον τῷ Σόλωνι σόφισμα ἐς τοὺς Κιρραίους· τοῦ γὰρ Πλείστου τὸ ὕδωρ ῥέον διὰ ὀχετοῦ σφίσιν ἐς τὴν πόλιν ἀπέστρεψεν ἀλλαχόσε ὁ Σόλων. καὶ οἱ μὲν πρὸς τοὺς πολιορκοῦντας ἔτι ἀντεῖχον ἔκ τε φρεάτων καὶ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ πίνοντες·

ὁ δὲ τοῦ ἐλλεβόρου τὰς ῥίζας ἐμβαλὼν ἐς τὸν Πλεῖστον, ἐπειδὴ ἱκανῶς τοῦ φαρμάκου τὸ ὕδωρ ᾔσθετο ἔχον, ἀνέστρεψεν αὖθις ἐς τὸν ὀχετόν· καί, ἐνεφορήσαντο γὰρ ἀνέδην οἱ Κιρραῖοι τοῦ ὕδατος, [καὶ] οἱ μὲν ὑπο ἀπαύστου τῆς διαρροίας ἐξέλιπον οἱ ἐπὶ τοῦ τείχους τὴν
φρουράν, Ἀμφικτύονες δὲ ὡς εἷλον τὴν πόλιν, ἐπρά- 8
ξαντο ὑπὲρ τοῦ θεοῦ δίκας παρὰ Κιρραίων, καὶ ἐπίνειον Δελφῶν ἐστιν ἡ Κίρρα· παρέχεται δὲ καὶ ἐς θέαν Ἀπόλλωνος καὶ Ἀρτέμιδος καὶ Λητοῦς ναόν τε καὶ ἀγάλματα μεγέθει μεγάλα καὶ ἐργασίας Ἀττικῆς. ἡ δὲ Ἀδράστεια
895 ἵδρυται μὲν ἐν τῷ αὐτῷ σφίσι, μεγέθει δὲ τῶν ἄλλων ἀποδέουσα ἀγαλμάτων ἐστίν.

XXXVIII. Ἡ δὲ γῆ ἡ Λοκρῶν τῶν καλουμένων Ὀζολῶν προσεχὴς τῇ Φωκίδι ἐστὶ κατὰ τὴν Κίρραν. Ἐς δὲ τὴν ἐπίκλησιν τῶν Λοκρῶν τούτων διάφορα ἤκουσα, ὁμοίως δὲ ἅπαντα δηλώσω. Ὀρεσθεῖ τῷ Δευκαλίωνος βασιλεύοντι ἐν τῇ χώρᾳ κύων ἔτεκεν ἀντὶ σκύλακος ξύλον· κατορύξαντος δὲ τοῦ Ὀρεσθέως τὸ ξύλον ἅμα τῷ ἦρι φῦναι ἄμπελον ἀπ' αὐτοῦ λέγουσι, καὶ ἀπὸ τοῦ ξύλου τῶν ὄζων γενέσθαι τὸ ὄνομα τοῖς ἀνθρώποις.
Οἱ δὲ Νέσσον πορθμεύοντα ἐπὶ τῷ Εὐήνῳ τρωθῆναι 2
μὲν ὑπὸ Ἡρακλέους, οὐ μέντοι καὶ αὐτίκα γε ἀποθανεῖν, ἀλλὰ ἐς τὴν γῆν ταύτην ἐκφυγεῖν νομίζουσι, καὶ ὡς ἀπέθανε σήπεσθαί τε ἄταφον καὶ ὀσμῆς τῷ ἐνταῦθα ἀέρι μεταδοῦναι δυσώδους. ὁ δὲ τρίτος τῶν λόγων καὶ ὁ τέταρτος, ὁ μὲν ποταμοῦ τινὸς ἄτοπον τήν τε ἀτμίδα καὶ αὐτό φησιν εἶναι τὸ ὕδωρ, ὁ δὲ τὸν ἀσφόδελον
φύεσθαι πολὺν καὶ ἀνθοῦντα * * ὑπὸ τῆς ὀσμῆς. Λέ- 3
γεται δὲ καὶ ὡς οἱ πρῶτοι τῶν ἐνταῦθα ἀνθρώπων ἦσαν αὐτόχθονες, ἐσθῆτα δὲ οὐκ ἐπιστάμενοί πω ὑφαίνεσθαι σκέπην πρὸς τὸ ῥῖγος θηρίων δέρματα ἐποιοῦντο ἀδέψητα, τὸ δασὺ τῶν δερμάτων ἐς τὸ ἐκτὸς

ὑπὲρ εὐπρεπείας τρέποντες· ἔμελλεν οὖν κατὰ τὸ αὐτὸ
ταῖς βύρσαις καὶ ὁ χρώς σφισιν ἔσεσθαι δυσώδης.
4 2. Δελφῶν δὲ ἀπωτέρω σταδίοις εἴκοσί τε καὶ
ἑκατόν ἐστιν Ἄμφισσα μεγίστη καὶ ὀνομαστοτάτη πόλις
τῶν Λοκρῶν. ἐσποιοῦσι δὲ αὑτοὺς ἐς τὸ Αἰτωλικὸν
αἰσχύνη τῶν Ὀζολῶν τοῦ ὀνόματος· καὶ δὴ καὶ ἔχει 896
λόγον εἰκότα, ὅτε βασιλεὺς ὁ Ῥωμαίων ἀναστάτους
ἐς τὸν Νικοπόλεως συνοικισμὸν ἐποίησεν Αἰτωλούς,
ἀποχωρῆσαι τοῦ δήμου τὸ πολὺ ἐς τὴν Ἄμφισσαν. τὸ
μέντοι ἐξ ἀρχῆς γένους τοῦ Λοκρῶν εἰσί· τεθῆναι δὲ τῇ
πόλει τὸ ὄνομα ἀπὸ Ἀμφίσσης τῆς Μάκαρος τοῦ Αἰόλου
φασί, καὶ Ἀπόλλωνα ἐραστὴν γενέσθαι τῆς Ἀμφίσσης.
5 3. Κεκόσμηται δὲ ἡ πόλις κατασκευῇ τε τῇ ἄλλῃ, καὶ
τὰ μάλιστα ἥκοντα ἐς μνήμην ἔστι μὲν μνῆμα Ἀμφίσ-
σης, ἔστι δὲ Ἀνδραίμονος· σὺν δὲ αὐτῷ ταφῆναι λέ-
γουσι καὶ Γόργην τὴν Οἰνέως συνοικήσασαν τῷ Ἀν-
δραίμονι. Ἐν δὲ τῇ ἀκροπόλει ναός σφισιν Ἀθηνᾶς
καὶ ἄγαλμα ὀρθὸν χαλκοῦ πεποιημένον, κομισθῆναι δὲ
ὑπὸ Θόαντός φασιν αὐτὴν ἐξ Ἰλίου καὶ εἶναι λαφύρων
6 τῶν ἐκ Τροίας· οὐ μὴν καὶ ἐμέ γε ἔπειθον. ἐδήλωσα
δὲ ἐν τοῖς προτέροις τοῦ λόγου Σαμίους Ῥοῖκον Φιλαίου
καὶ Θεόδωρον Τηλεκλέους εἶναι τοὺς εὑρόντας χαλκὸν
ἐς τὸ ἀκριβέστατον τῆξαι· καὶ ἐχώνευσαν οὗτοι πρῶ-
τοι. Θεοδώρου μὲν δὴ οὐδὲν ἔτι οἶδα ἐξευρών, ὅσα γε
χαλκοῦ πεποιημένα· ἐν δὲ Ἀρτέμιδος τῆς Ἐφεσίας
πρὸς τὸ οἴκημα ἐρχομένῳ τὸ ἔχον τὰς γραφὰς λί-
θου θριγκός ἐστιν ὑπὲρ τοῦ βωμοῦ τῆς Πρωτο-
θρονίας καλουμένης Ἀρτέμιδος· ἀγάλματα δὲ ἄλλα τε
ἐπὶ τοῦ θριγκοῦ καὶ γυναικὸς εἰκὼν πρὸς τῷ πέρατι
ἕστηκε, τέχνη τοῦ Ῥοίκου, Νύκτα δὲ οἱ Ἐφέσιοι κα-
7 λοῦσι. Τοῦτο οὖν τὸ ἄγαλμα τῆς ἐν τῇ Ἀμφίσσῃ Ἀθη-
νᾶς καὶ ἰδεῖν ἔστιν ἀρχαιότερον καὶ ἀργότερον τὴν

τέχνην. Ἄγουσι δὲ καὶ τελετὴν οἱ Ἀμφισσεῖς Ἀνάκτων
καλουμένων παίδων· οἵτινες δὲ θεῶν εἰσὶν οἱ Ἄνακτες
παῖδες, οὐ κατὰ ταὐτά ἐστιν εἰρημένον, ἀλλὰ εἶναι
897 Διοσκούρους, οἱ δὲ Κούρητας, οἱ δὲ πλέον τι ἐπίστα-
σθαι νομίζοντες Καβείρους λέγουσι.

4. Τούτων δὲ τῶν Λοκρῶν τοσαίδε ἄλλαι πόλεις 8
εἰσίν, ἄνω μὲν ὑπὲρ Ἀμφίσσης πρὸς ἤπειρον Μυωνία,
σταδίοις ἀπωτέρω τριάκοντα Ἀμφίσσης· οὗτοι καὶ τῷ
Διὶ ἐν Ὀλυμπίᾳ εἰσὶν οἱ ἀναθέντες Μυᾶνές τὴν ἀσπίδα.
κεῖται δὲ τὸ πόλισμα ἐπὶ ὑψηλοῦ, καί σφισιν ἄλσος καὶ
βωμὸς θεῶν Μειλιχίων ἐστί· νυκτεριναὶ δὲ αἱ θυσίαι
θεοῖς τοῖς Μειλιχίοις εἰσί, καὶ ἀναλῶσαι τὰ κρέα αὐ-
τόθι πρὶν ἢ ἥλιον ἐπισχεῖν νομίζουσι. καὶ Ποσειδῶνός
ἐστιν ὑπὲρ τὴν πόλιν τέμενος καλούμενον Ποσειδώνιον,
ἐν δὲ αὐτῷ ναὸς Ποσειδῶνος· τὸ δὲ ἄγαλμα ἐς ἐμὲ οὐκ ἦν.

5. Οὗτοι μὲν δὴ ὑπεροικοῦσιν Ἀμφίσσης· ἐπὶ θαλάσ- 9
σης δὲ Οἰάνθεια καὶ ταύτῃ ὁμοροῦσά ἐστι Ναύπακτος.
πλὴν δὲ Ἀμφίσσης, ὑπ' Ἀχαιῶν οἱ ἄλλοι Πατρέων
ἄρχονται, βασιλέως σφίσι δόντος Αὐγούστου. Ἐν Οἰαν-
θείᾳ δὲ Ἀφροδίτης τε ἱερόν, καὶ ὀλίγον ὑπὲρ τὴν πόλιν
κυπαρίσσου τε ἀναμὶξ καὶ τῆς πίτυός ἐστιν ἄλσος, καὶ
ναός τε Ἀρτέμιδος καὶ ἄγαλμα ἐν τῷ ἄλσει· γραφαὶ δὲ
ἐπὶ τῶν τοίχων ἐξίτηλοί τε ἦσαν ὑπὸ τοῦ χρόνου καὶ
οὐδὲν ἔτι ἐλείπετο ἐς θέαν αὐτῶν. Κληθῆναι δὲ ἀπὸ 10
γυναικὸς ἢ νύμφης τεκμαίρομαι τὴν πόλιν, ἐπεὶ ἐπὶ
Ναυπάκτῳ γε οἶδα εἰρημένον ὡς Δωριεῖς οἱ ὁμοῦ τοῖς
Ἀριστομάχου παισὶ τὰ πλοῖα αὐτόθι ἐποιήσαντο, οἷς ἐς
Πελοπόννησον ἐπεραιώθησαν· καὶ ἀντὶ τούτου γενέ-
σθαι τὸ ὄνομα τῷ χωρίῳ φασί. τὰ δέ μοι Ναυπακτίων,
ὡς τοῖς ἐς Ἰθώμην ἀποστᾶσιν ὁμοῦ τῷ σεισμῷ τῷ ἐν
Λακεδαίμονι Ἀθηναῖοι Ναύπακτον ἐνοικῆσαί σφισιν
ἔδοσαν ἀφελόμενοι τοὺς Λοκρούς, καὶ ὡς τοῦ Ἀθη-

ναίων ὕστερον πταίσματος τοῦ ἐν Αἰγὸς ποταμοῖς Λα-
κεδαιμόνιοι τοὺς Μεσσηνίους ἐδίωξαν καὶ ἐκ τῆς Ναυ-
πάκτου, τάδε μὲν ἐπεξῆλθέ μοι καὶ ἐς πλέον ἡ Μεσσηνία
συγγραφή· ἐκλιπόντων δὲ ὑπὸ ἀνάγκης τῶν Μεσση-
νίων, οὕτως οἱ Λοκροὶ συνελέχθησαν αὖθις ἐς τὴν
11 Ναύπακτον. 6. Τὰ δὲ ἔπη τὰ Ναυπάκτια ὀνομαζόμενα
ὑπὸ Ἑλλήνων ἀνδρὶ ἐσποιοῦσιν οἱ πολλοὶ Μιλησίῳ·
Χάρων δὲ ὁ Πύθεω φησιν αὐτὰ ποιῆσαι Ναυπάκτιον 898
Καρκίνον. ἑπόμεθα δὲ καὶ ἡμεῖς τῇ τοῦ Λαμψακηνοῦ
δόξῃ· τίνα γὰρ καὶ λόγον ἔχοι ἂν ἔπεσιν ἀνδρὸς Μιλη-
σίου πεποιημένοις ἐς γυναῖκας τεθῆναί σφισιν ὄνομα
12 Ναυπάκτια; Ἐνταῦθα ἔστι μὲν ἐπὶ θαλάσσῃ ναὸς Πο-
σειδῶνος καὶ ἄγαλμα ὀρθὸν χαλκοῦ πεποιημένον, ἔστι δὲ
καὶ ἱερὸν Ἀρτέμιδος καὶ ἄγαλμα λευκοῦ λίθου· σχῆμα
δὲ ἀκοντιζούσης παρέχεται, καὶ ἐπίκλησιν εἴληφεν Αἰ-
τωλή. Ἀφροδίτη δὲ ἔχει μὲν ἐν σπηλαίῳ τιμάς· εὔχον-
ται δὲ καὶ ἄλλων ἕνεκα, καὶ αἱ γυναῖκες μάλιστα αἱ
13 χῆραι γάμον αἰτοῦσι παρὰ τῆς θεοῦ. 7. Τοῦ δὲ Ἀσκλη-
πιοῦ τὸ ἱερὸν ἐρείπια ἦν, ἐξ ἀρχῆς δὲ ᾠκοδόμησεν αὐτὸ
ἀνὴρ ἰδιώτης Φαλύσιος. νοσήσαντι γάρ οἱ τοὺς ὀφθαλ-
μοὺς καὶ οὐ πολὺ ἀποδέον τυφλῷ ὁ ἐν Ἐπιδαύρῳ πέμ-
πει θεὸς Ἀνύτην τὴν ποιήσασαν τὰ ἔπη φέρουσαν σεση-
μασμένην δέλτον. τοῦτο ἐφάνη τῇ γυναικὶ ὄψις ὀνεί-
ρατος, ὕπαρ μέντοι ἦν αὐτίκα· καὶ εὗρέ τε ἐν ταῖς χερσὶ
ταῖς αὑτῆς σεσημασμένην δέλτον, καὶ πλεύσασα ἐς τὴν
Ναύπακτον ἐκέλευσεν ἀφελόντα τὴν σφραγῖδα Φαλύ-
σιον ἐπιλέγεσθαι τὰ γεγραμμένα. τῷ δὲ ἄλλως μὲν οὐ
δυνατὰ ἐφαίνετο ἰδεῖν τὰ γράμματα ἔχοντι οὕτω τῶν
ὀφθαλμῶν· ἐλπίζων δέ τι ἐκ τοῦ Ἀσκληπιοῦ χρηστὸν
ἀφαιρεῖ τὴν σφραγῖδα, καὶ ἰδὼν ἐς τὸν κηρὸν ὑγιής τε
ἦν, καὶ δίδωσι τῇ Ἀνύτῃ τὸ ἐν τῇ δέλτῳ γεγραμμένον,
στατῆρας δισχιλίους χρυσοῦ.

INDEX.

(Numerus primus libri est, secundus capitis, tertius segmenti.)